










BIBLIOTHECA · BODLEIANA

Bibliothek
der
Kirchenväter.

Eine Auswahl aus deren Werken.

Urschrift mit deutscher Uebersetzung.

Begründet und unter Mitwirkung Anderer herausgegeben

von

Dr. Franz Oehler.

I. Theil.

Gregor von Nyssa.

Dritter Band.

Leipzig,
Verlag von Wilhelm Engelmann.
1859.

Gregor's
Bischof's von Nyssa

Abhandlung
von der Erschaffung des Menschen

und

Fünf Reden auf das Gebet.


Griechisch und deutsch

von

Dr. Franz Oehler.

Leipzig,
Verlag von Wilhelm Engelmann.
1859.






BIBLIOTHECA·BODLEIANA

Bibliothek
der
Kirchenväter.

Eine Auswahl aus deren Werken.

Urschrift mit deutscher Uebersetzung.

Begründet und unter Mitwirkung Anderer herausgegeben

von

Dr. Franz Oehler.

I. Theil.

Gregor von Nyssa.

Dritter Band.

Leipzig,
Verlag von Wilhelm Engelmann.
1859.

Gregor's
Bischof's von Nyssa

Abhandlung
von der Erschaffung des Menschen
und
Fünf Reden auf das Gebet.

Griechisch und deutsch

von

Dr. Franz Oehler.

Leipzig,
Verlag von Wilhelm Engelmann.
1859.

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΠΕΡΙ

ΚΑΤΑΣΚΕΥΗΣ ΑΝΘΡΩΠΟΥ.

Unseres heiligen Vaters

Gregor Bischofs von Nyssa

Abhandlung

von der Erschaffung des Menschen.

ΤΩΙ ΑΔΕΛΦΩΙ ΔΟΥΛΩΙ ΘΕΟΥ

ΠΕΤΡΩΙ

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ ΝΥΣΣΗΣ.

Gregor. Nyss. Opp. ed. 1638. Tom. I. pag. 44. Prov. 17, 6.

Εἰ ταῖς διὰ τῶν χρημάτων τιμαῖς ἔδει γεραίρειν τοὺς κατ᾽ ἀρετὴν διαφέροντας, μικρὸς ἂν, καθὼς φησιν ὁ Σολομῶν, ὅλος ὁ κόσμος τῶν χρημάτων ἐφάνη πρὸς τὸ γενέσθαι τῆς σῆς ἀρετῆς ἰσοϛάσιος. [1]Ἐπειδὴ δὲ κρείττων ἢ κατὰ πλούτου τιμὴν ἡ χρεωϛουμένη τῇ σεμνότητί σου χάρις ἐϛὶν, ἀπαιτεῖ δὲ τὸ ἅγιον πάσχα τὴν συνήθη τῆς ἀγάπης [2]δωροφορίαν, προϛάγομέν σου τῇ μεγαλοφροσύνῃ δῶρον, ὦ ἄνθρωπε [3]τοῦ θεοῦ, μικρότερον μὲν ἢ ὡς ἄξιον εἶναί σοι προϛκομίζεσθαι, τῆς γε μὴν δυνάμεως ἡμῶν οὐκ ἐνδεέϛερον. p. 45. Τὸ δὲ δῶρον λόγος ἐϛὶν, οἷον ἱμάτιόν τι πενιχρὸν ἐκ τῆς πτωχῆς ἡμῶν διανοίας οὐκ ἀπόνως ἐξυφασμένον, ἡ δὲ τοῦ λόγου ὑπόθεσις τολμηρὰ μὲν ἴσως τοῖς πολλοῖς εἶναι δόξει, πλὴν οὐκ ἔξω τοῦ πρέποντος ἐνομίσθη. Μόνος [4]μὲν γὰρ ἀξίως τὴν κτίσιν τοῦ θεοῦ κατενόησεν ὁ κατὰ θεὸν κτισθεὶς ὄντως, καὶ ἐν εἰκόνι τοῦ κτίσαντος τὴν ψυχὴν μεμορφωμένος Βασίλειος, ὁ κοινὸς ἡμῶν πατὴρ καὶ διδάσκαλος, ὃς τὴν ὑψηλὴν τοῦ παντὸς διακόσμησιν εὔληπτον τοῖς πολλοῖς διὰ τῆς ἰδίας θεωρίας ἐποίησε, [5]τὸν ἐν τῇ ἀληθινῇ σοφίᾳ παρὰ τοῦ θεοῦ συ-

---

1) Morel ἐπειδὴ κρεῖττον. — 2) M. δωροφορίαν, ἣν προσάγ. — 3) τοῦ fehlt bei M. — 4) μὲν fehlt bei M. — 5) M. καὶ τόν.

Gregor Bischof von Nyssa

an

seinen Bruder Petrus den Knecht Gottes.

Wenn man mit Gaben an Geld und Gut die durch Tugend sich Auszeichnenden ehren müßte, so würde nicht einmal die ganze Welt von Schätzen, wie Salomo sagt, in gleichem Werthe mit Deiner Tugend erscheinen. Da nun aber der Deiner Heiligkeit schuldige Dank stärker ist als daß er nach Reichthum geschätzt zu werden vermöchte, und das heilige Osterfest die gewohnte Gabe der Liebe fordert, so bringen wir, o Mann Gottes, Deiner Großmuth ein Geschenk, welches, obgleich geringer als daß es würdig wäre Dir dargebracht zu werden, darum doch keineswegs hinter unsern Kräften zurücksteht. Das Geschenk ist eine Abhandlung, wie ein dürftiges Gewand nicht ohne Mühe von unserem Geiste zusammengewoben; der Stoff der Abhandlung wird der Menge vielleicht kühn und gewagt vorkommen, ist jedoch als ein nicht unangemessener Gegenstand erachtet worden. Denn allein Basilius, der in Wirklichkeit nach Gott geschaffene, und nach dem Bilde des Schöpfers in seiner Seele gestaltete, unser gemeinsamer Vater und Lehrer, hat in würdiger Weise die Schöpfung Gottes beobachtet, und die erhabene Ordnung des Weltalls durch seine Betrachtung der Menge faßlich gemacht, indem er die in der wahrhaftigen Weisheit Gottes bestehende

ςάντα κόσμον γνώριμον τοῖς διὰ τῆς συνέσεως αὐτοῦ τῇ θεωρίᾳ προςαγομένοις ποιήσας. Ἡμεῖς δὲ καὶ τοῦ θαυμάζειν αὐτὸν κατ' ἀξίαν ἐνδεῶς ἔχοντες ὅμως τὸ λεῖπον τοῖς τεθεωρημένοις τῷ μεγάλῳ προςθεῖναι διενοήθημεν, οὐχ ὡς νοθεύοντες δι' [6]ὑπερβολῆς τὸν ἐκείνου πόνον οὐδὲ γὰρ θέμις τὸ ὑψηλὸν ἐκεῖνο καθυβρισθῆναι ςόμα τοῖς ἡμετέροις ἐπιφημιζόμενον λόγοις, ἀλλ' ὡς μὴ δοκεῖν ἐλλιπῆ τοῦ διδασκάλου τὴν δόξαν ἐν τοῖς μαθηταῖς αὐτοῦ εἶναι. Εἰ γὰρ λειπούσης [7]τῇ Ἑξαημέρῳ τῆς ἐς τὸν ἄνθρωπον θεωρίας μηδεὶς τῶν μαθητευσάντων αὐτῷ σπουδήν τινα πρὸς τὴν τοῦ λείποντος ἀναπλήρωσιν [8]εἰςηνέγκατο, ἔσχεν ἂν εἰκότως κατὰ τῆς μεγάλης αὐτοῦ δόξης ὁ μῶμος λαβήν, ὡς μὴ βουληθέντος ἕξιν τινὰ κατανοητικὴν τοῖς ἀκροαταῖς ἐνεργάσασθαι. Νυνὶ δὲ κατὰ δύναμιν ἡμῶν ἐπιτολμησάντων τῇ ἐξηγήσει τοῦ λείποντος, εἰ μέν τι τοιοῦτον ἐν τοῖς ἡμετέροις εὑρεθείη οἷον τῆς ἐκείνου διδασκαλίας μὴ ἀνάξιον εἶναι, εἰς τὸν διδάσκαλον πάντως τὴν ἀναφορὰν ἕξει· εἰ δὲ μὴ [9]καθικνοῖτο τῆς μεγαλοφυοῦς θεωρίας ὁ ἡμέτερος λόγος, ὁ μὲν ἔξω τῆς τοιαύτης ἔςαι κατηγορίας, τοῦ μὴ βούλεσθαι δοκεῖν τοῖς μαθηταῖς ἐγγενέσθαί τι δεξιὸν [10]ἐκφεύγων τὴν μέμψιν, ἡμεῖς δ' ἂν εἰκότως ὑπεύθυνοι [11]δόξαιμεν τοῖς μωμοσκοποῦσιν, ὡς οὐ χωρήσαντες ἐν τῷ μικροφυεῖ τῆς καρδίας ἡμῶν τοῦ καθηγητοῦ τὴν σοφίαν.

Ἔςι δὲ οὐ μικρὸς ὁ προκείμενος ἡμῖν εἰς θεωρίαν σκοπὸς, οὐδέ τινος τῶν ἐν [12]τῷ κόσμῳ θαυμάτων τὰ δεύτερα φερόμενος, τάχα δὲ καὶ μείζων ἑκάςου τῶν γινωσκομένων, διότι οὐδὲν ἕτερον θεῷ ἐκ τῶν ὄντων ὡμοίω-
p. 46. ται πλὴν τῆς κατὰ τὸν ἄνθρωπον κτίσεως. Ὥςε παρὰ τοῖς εὐγνώμοσι τῶν ἀκροατῶν πρόχειρον ἡμῖν τὴν ἐπὶ τοῖς λεγομένοις συγγνώμην εἶναι, κἂν πολὺ κατόπιν τῆς ἀξίας ὁ λόγος ἔλθοι. Δεῖ γὰρ, οἶμαι, τῶν περὶ τὸν ἄνθρωπον ἁπάντων, τῶν τε προγεγενῆσθαι [13]πεπιςευμένων καὶ τῶν

6) M. ὑποβολῆς. — 7) M. τῆς ἑξαημέρου. — 8) M. εἰσενέγκαιτο. — 9) M. καθίκοιτο. — 10) M. ἐκφυγὼν. — 11) M. δόξωμεν. — 12) τῷ

und von ihr geschaffene Welt denen zur Erkenntniß brachte welche er durch seine Wissenschaft und Einsicht zur Betrachtung derselben anleitete. Wir aber, obgleich wir ebenfalls ihn nicht genug nach seinem Verdienste bewundern können, haben trotzdem den Gedanken gefaßt die Betrachtungen des großen Mannes da wo es Noth thut zu ergänzen, nicht um durch unangemessene Ueberladung seine Arbeit zu fälschen (denn frech wäre es den erhabenen Mund mit den Worten die ihn feiern sollen zu verhöhnen), sondern damit der Ruhm seiner Schüler nicht hinter dem des Lehrers zurückzubleiben scheine. Denn wenn, da in dem Werke über die sechs Tage der Weltschöpfung die Betrachtung über den Menschen fehlt, keiner seiner Schüler diese Lücke zu ergänzen sich die Mühe nehmen würde, so dürfte der Tadel eine passende Gelegenheit gewinnen können die Größe seines Ruhmes anzutasten, als ob er seine Zuhörer nicht geistig geschickt und tüchtig habe machen wollen. Wenn nun, da wir nach unseren Kräften uns gegenwärtig an die Ausführung dessen was fehlt wagen, in unseren Leistungen Etwas gefunden werden sollte was seiner Unterweisung nicht unwürdig ist, so wird dies ganz und gar dem Lehrer zuzuschreiben sein; sollte jedoch unser Wort an seine geistvolle Betrachtung nicht hinanreichen, so wird er von dieser Anklage frei sein daß es den Anschein habe als habe er seinen Schülern Geschick und Tüchtigkeit mißgönnt, und wird so dem Tadel entgehen, während wir nach Gebühr dem Urtheil derer welche nach Tadel spähen anheimfallen dürften, als solche die in der Beschränktheit ihres Geistes die Weisheit ihres Lehrers nicht erfaßt haben.

Der vorliegende Gegenstand unserer Betrachtung ist kein unbedeutender, noch steht er irgend einem Wunder der Welt nach, ja er ist vielleicht großartiger als alle die wir kennen, weil außer der menschlichen Kreatur kein ander Ding gottähnlich geschaffen ist. Darum werden nachsichtige Zuhörer unserer Darstellung gern Verzeihung angedeihn lassen, wenn sie auch weit hinter dem ihres Gegenstandes würdigen Ziele zurückbleiben sollte. Denn nach meiner Meinung darf Nichts von Allem was mit dem Menschen, wie wir

---

fehlt bei M. — 13) M. πεπις., καὶ τῶν εἰσύςερον ἐκβήσ. προσδοκωμένων, καὶ τ. νῦν θεωρ. μηδὲν.

νῦν θεωρουμένων καὶ τῶν εἰς ὕςερον ἐκβήσεσθαι προςδοκωμένων, μηδὲν παραλιπεῖν ἀνεξέταςον. Ἡ γὰρ ἂν ἐλλιπεςέρα τοῦ ἐπαγγέλματος ἡ σπουδὴ διελέγχοιτο, εἰ τοῦ ἀνθρώπου προκειμένου τῇ θεωρίᾳ παρεθείη τι τῶν συντεινόντων πρὸς τὴν ὑπόθεσιν. Ἀλλὰ καὶ τὰ δοκοῦντα περὶ αὐτὸν ἐναντίως ἔχειν διὰ τὸ μὴ τὰ αὐτὰ τοῖς ἐξ ἀρχῆς γεγενημένοις καὶ νῦν περὶ τὴν φύσιν ὁρᾶσθαι διά τινος ἀναγκαίας ἀκολουθίας, ἔκ τε τῆς γραφικῆς ὑφηγήσεως καὶ ἐκ τῆς παρὰ τῶν λογισμῶν [14]εὑρισκομένης συναρτῆσαι προςήκει, ὡς ἂν συμβαίνοι πᾶσα [15]πρὸς ἑαυτὴν ἡ ὑπόθεσις εἱρμῷ καὶ τάξει τῶν ἐναντίως ἔχειν δοκούντων πρὸς ἓν καὶ τὸ αὐτὸ πέρας συμφερομένων, [16]οὕτω τῆς θείας δυνάμεως ἐλπίδα τοῖς ὑπὲρ ἐλπίδα καὶ πόρον τοῖς ἀμηχάνοις ἐφευρισκούσης. Σαφηνείας δὲ χάριν καλῶς ἔχειν ᾠήθην, ἐπὶ κεφαλαίων σοι προθεῖναι τὸν λόγον, ὡς ἂν ἔχοις πάσης τῆς πραγματείας ἐν ὀλίγῳ τῶν καθέκαςον ἐπιχειρημάτων εἰδέναι τὴν [17]δύναμιν.

---

[1]Κεφ. α΄. Ἐν ᾧ τις ἔςι μερικὴ περὶ τοῦ κόσμου φυσιολογία, καί τις ἁβροτέρα διήγησις περὶ τῶν προγεγονότων τῆς τοῦ ἀνθρώπου γενέσεως.

Κεφ. β΄. Διὰ τί [2]τελευταῖος μετὰ τὴν κτίσιν ὁ ἄνθρωπος.

Κεφ. γ΄. Ὅτι τιμιωτέρα πάσης τῆς φαινομένης κτίσεως ἡ τοῦ ἀνθρώπου φύσις.

Κεφ. δ΄. Ὅτι διὰ πάντων ἐπισημαίνει τὴν ἀρχικὴν ἐξουσίαν ἡ τοῦ ἀνθρώπου κατασκευή.

Κεφ. ε΄. Ὅτι ὁμοίωμα τῆς θείας βασιλείας ὁ ἄνθρωπος.

Κεφ. ς΄. Ἐξέτασις τῆς τοῦ νοῦ πρὸς τὴν φύσιν συγγενείας, ἐν ᾧ καὶ ἐκ παρόδου τὸ τῶν Ἀνομοίων διελέγχεται δόγμα.

---

14) M. εὑρισκομένης ἐπινοίας συναρτῆσαι. — 15) πρὸς ἑαυτὴν fehlt bei M. — 16) M. οὕτω καὶ τῆς. — 17) M. ὑπόθεσιν.

1) Nachfolgenden Kapitelüberschriften, welche schwerlich ächt sind, wollte ich der Uebersichtlichkeit wegen eher hier nebeneinander eine Stelle gönnen als

glauben, früher geschehen ist, und was wir jetzt an ihm beobachten, und was ihm, wie wir hoffen, später begegnen wird, von der Untersuchung ausgeschlossen bleiben. In der That nämlich würde unsere Leistung sich als eine solche nachweisen welche das was sie ankündigt nicht erfüllt, wenn, wo der Mensch zur Betrachtung vorliegt, etwas auf diese Vorlage Bezügliches übergangen würde. Im Gegentheil auch dasjenige was uns an ihm verschieden vorkommt, weil unsere jetzige Natur mit dem was im Anfang geschaffen worden ist in Widerspruch steht, muß in einer gewissen nothwendigen Folge aus der Erzählung der Schrift und aus Schlüssen des Verstandes in Zusammenhang gebracht werden, damit der gesammte Stoff durch Verbindung und Ordnung der anscheinenden Gegensätze, welche aber in einem einzigen und gemeinsamen Ziele zusammentreffen (denn die Macht Gottes erfindet so Hoffnung für das was über die Hoffnung hinausliegt und Möglichkeit für das Unmögliche), in richtigem Einklange stehe. Der Deutlichkeit halber hielt ich es aber für gut Dir das Buch in Hauptabschnitten vorzulegen, damit Du über Werth und Inhalt der einzelnen Untersuchungen der Gesammtabhandlung in kurzem Ueberblick Einsicht gewännest.

---

getrennt über den betreffenden einzelnen Kapiteln aufführen, wo man sie in der Morel'schen Ausgabe antrifft.

2) M. μετὰ τὴν κτίσιν τελευταῖος.

Κεφ. ζ΄. Διὰ τί γυμνὸς τῶν ἐκ φύσεως ὅπλων τε καὶ προκαλυμμάτων ὁ ἄνθρωπος.

Κεφ. η΄. Διὰ τί ὄρθιον τοῦ ἀνθρώπου τὸ σχῆμα, καὶ ὅτι διὰ τὸν λόγον αἱ χεῖρες· ἐν ᾧ τις καὶ περὶ διαφορᾶς ψυχῶν φιλοσοφία.

Κεφ. θ΄. Ὅτι ὀργανικὸν κατεσκευάσθη τοῦ ἀνθρώπου τὸ σχῆμα πρὸς τὴν τοῦ λόγου χρείαν.

Κεφ. ι΄. Ὅτι διὰ τῶν αἰσθήσεων ὁ νοῦς ἐνεργεῖ.

Κεφ. ια΄. Ὅτι ἀθεώρητος ἡ [3] τοῦ νοῦ φύσις.

Κεφ. ιβ΄. Ἐξέτασις ἐν τίνι τὸ ἡγεμονικὸν νομιστέον· ἐν ᾧ καὶ περὶ δακρύων καὶ περὶ γέλωτος φυσιολογία, καὶ θεώρημά τι φυσικὸν περὶ τῆς κατὰ τὴν ὕλην καὶ τὴν φύσιν καὶ τὸν νοῦν κοινωνίας.

Κεφ. ιγ΄. Περὶ ὕπνου καὶ χάσμης καὶ ὀνείρων αἰτιολογία.

Κεφ. ιδ΄. Ὅτι οὐκ ἐν μέρει τοῦ σώματος ὁ νοῦς· ἐν ᾧ καὶ διάκρισις τῶν τε σωματικῶν [4] καὶ τῶν ψυχικῶν κινημάτων.

Κεφ. ιε΄. Ὅτι κυρίως ψυχὴ ἡ λογικὴ καὶ ἔστι καὶ λέγεται, αἱ δὲ ἄλλαι ὁμωνύμως κατονομάζονται· ἐν ᾧ καὶ τὸ διὰ παντὸς τοῦ σώματος διήκειν τὴν τοῦ νοῦ δύναμιν, καταλλήλως ἑκάστου μέρους προσαπτομένην.

Κεφ. ιϛ΄. Θεωρία τοῦ θείου ῥητοῦ [5] τοῦ εἰπόντος, Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν· ἐν ᾧ ἐξετάζεται τίς ὁ τῆς εἰκόνος λόγος, καὶ εἰ ὁμοιοῦται τῷ μακαρίῳ τε καὶ ἀπαθεῖ τὸ ἐμπαθὲς καὶ ἐπίκηρον, καὶ πῶς ἐν τῇ εἰκόνι τὸ ἄῤῥεν καὶ τὸ θῆλυ, ἐν τῷ πρωτοτύπῳ τούτων οὐκ ὄντων.

Κεφ. ιζ΄. Τί χρὴ λέγειν πρὸς τοὺς ἐπαποροῦντας, εἰ μετὰ τὴν ἁμαρτίαν ἡ παιδοποιΐα, πῶς ἂν ἐγένοντο αἱ ψυχαί, εἰ ἀναμάρτητοι διέμειναν οἱ ἐξ ἀρχῆς ἄνθρωποι;

---

3) M. τοῦ ἀνθρώπου. — 4) M. καὶ ψυχικῶν. — 5) τοῦ fehlt bei M.

Kap. 7. Warum der Mensch der natürlichen Waffen und Bedeckungen entbehrt.

Kap. 8. Warum die Gestalt des Menschen aufrecht, und daß die Hände der Rede wegen da sind; worin auch eine Betrachtung über den Unterschied der Seelen.

Kap. 9. Daß der Mensch mit den für das Bedürfniß der Sprache nöthigen Werkzeugen ausgerüstet ist.

Kap. 10. Daß der Geist durch die Sinne thätig ist.

Kap. 11. Daß die Natur des Geistes sich der Betrachtung entziehe.

Kap. 12. Untersuchung darüber, wo man das Hauptvermögen der Seele aufzusuchen habe; worin zugleich auf die Ursachen von Weinen und Lachen erörternd eingegangen, und eine untersuchende Betrachtung über den Zusammenhang der Materie, der Natur und des Geistes angestellt wird.

Kap. 13. Ursache des Schlafs, des Gähnens und der Träume.

Kap. 14. Daß der Geist nicht in einem Theile des Körpers sich aufhalte; worin zugleich der Unterschied der Körper- und Seelenbewegungen bestimmt wird.

Kap. 15. Daß eigentlich die denkende Seele dem Namen wie der That nach Seele sei, die übrigen dagegen nur den gleichen Namen führen; worin zugleich darüber gehandelt wird daß die Kraft des Geistes den ganzen Körper durchdringe, indem sie in entsprechender Weise jedem einzelnen Theile anhaftet.

Kap. 16. Betrachtung des göttlichen Ausspruchs welcher sagt, Laßt uns einen Menschen machen der nach unserem Bilde und uns gleich sei; worin der Begriff von Bild in Untersuchung gezogen wird, und ob das dem Affect Unterworfene und Vergängliche mit dem Glückseligen und Affectlosen eine Aehnlichkeit eingehen, und welchergestalt in dem Abbilde ein Unterschied von Männlich und Weiblich stattfinden könne, während er in dem Urbilde nicht vorhanden ist.

Kap. 17. Was man denen zu antworten habe welche Anstoß nehmend fragen wie, wenn die Erzeugung von Kindern nach dem Sündenfalle eingetreten ist, für den Fall daß die ersten Menschen sündlos geblieben wären, hätten Seelen geboren werden können.

Κεφ. ιη'. Ὅτι τὰ ἄλογα ἐν ἡμῖν πάθη ἐκ τῆς πρὸς τὴν ἄλογον φύσιν συγγενείας τὰς ἀφορμὰς ἔχει.

Κεφ. ιθ'. Πρὸς τοὺς λέγοντας πάλιν ἐν βρώσει καὶ ἐν πόσει εἶναι τῶν ἐλπιζομένων ἀγαθῶν τὴν ἀπόλαυσιν, διὰ τὸ ἐξ ἀρχῆς ἐν τῷ παραδείσῳ γεγράφθαι διὰ τούτων τὸν ἄνθρωπον ζῆν.

Κεφ. κ'. Τίς ἡ ἐν τῷ παραδείσῳ ζωὴ, καὶ τί τὸ ἀπηγορευμένον ξύλον;

Κεφ. κα'. Ὅτι ἡ ἀνάςασις οὐ τοσοῦτον ἐκ τοῦ κηρύγματος τοῦ γραφικοῦ ὅσον ἐξ αὐτῆς τῆς ἀνάγκης τῶν πραγμάτων ἀκολούθως ἐλπίζεται.

Κεφ. κβ'. Πρὸς τοὺς λέγοντας, Εἰ καλόν τι καὶ ἀγαθὸν ἡ ἀνάςασις, τί οὐχὶ ἤδη γέγονεν, ἀλλὰ χρόνων τισὶ περιόδοις ἐλπίζεται;

Κεφ. κγ'. Ὅτι ὁ τὴν ἀρχὴν τῆς τοῦ κόσμου συςάσεως ὁμολογῶν ἀναγκαίως καὶ περὶ τοῦ τέλους συνθήσεται.

Κεφ. κδ'. Ἀντίῤῥησις πρὸς τοὺς λέγοντας συναΐδιον εἶναι τῷ Θεῷ τὴν ὕλην.

Κεφ. κε'. Πῶς ἄν τις καὶ τῶν ἔξωθεν προςαχθείη πιςεῦσαι τῇ γραφῇ περὶ τῆς ἀναςάσεως διδασκούσῃ;

Κεφ. κϛ'. Ὅτι οὐκ ἔξω τοῦ εἰκότος ἡ ἀνάςασις.

Κεφ. κζ'. Ὅτι δυνατόν ἐςιν εἰς τὰ τοῦ παντὸς ςοιχεῖα τοῦ ἀνθρωπίνου σώματος ἀναλυθέντος πάλιν ἐκ τοῦ κοινοῦ ἑκάςῳ τὸ ἴδιον ἀποσωθῆναι.

Κεφ. κη'. Πρὸς τοὺς λέγοντας προϋφεςάναι τὰς ψυχὰς τῶν σωμάτων, ἢ τὸ ἔμπαλιν, πρὸ τῶν ψυχῶν διαπεπλᾶσθαι τὰ σώματα· ἐν ᾧ τις καὶ ἀνατροπὴ τῆς κατὰ τὰς μετεμψυχώσεις μυθοποιΐας.

Κεφ. κθ'. Κατασκευὴ τοῦ μίαν καὶ τὴν αὐτὴν ψυχῇ τε καὶ σώματι τὴν αἰτίαν τῆς ὑπάρξεως εἶναι.

Κεφ. λ'. Θεωρία τις ἰατρικωτέρα περὶ τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς δι' ὀλίγων.

Kap. 18. Daß die unvernünftigen Leidenschaften in uns ihren Ursprung in der Verwandtschaft mit der unvernünftigen Natur haben.

Kap. 19. Gegen diejenigen welche sagen daß der Genuß der gehofften Güter wiederum in Speise und Trank bestehen werde, weil geschrieben stehe daß der Mensch von Anfang an im Paradiese davon gelebt habe.

Kap. 20. Welcher Art das Leben im Paradiese und der verbotene Baum sei.

Kap. 21. Daß wir auf die Auferstehung der Todten nicht sowohl auf Grund der Verheißung der Schrift als der Nothwendigkeit der Dinge selbst folgerichtig zu hoffen haben.

Kap. 22. Gegen diejenigen welche sagen, Wenn die Auferstehung etwas Schönes und Gutes ist, warum ist sie nicht bereits eingetreten, sondern läßt erst nach Verlauf der Zeiten sich erhoffen?

Kap. 23. Daß derjenige welcher an einen Anfang der Existenz der Welt glaubt, nothwendiger Weise auch ein Ende derselben zugestehen muß.

Kap. 24. Widerlegung derer welche behaupten daß die Materie gleich ewig mit Gott sei.

Kap. 25. Auf welche Weise auch ein Nichtchrist dazu gebracht werden könne, an die Lehre der Schrift über die Auferstehung zu glauben.

Kap. 26. Daß die Auferstehung nicht außerhalb der Wahrscheinlichkeit liege.

Kap. 27. Daß es möglich ist daß nach Auflösung des menschlichen Körpers in die Elemente des Alls einem Jeden das Seinige aus dem Allgemeinen erhalten und wieder zurückgegeben werde.

Kap. 28. Gegen diejenigen welche sagen daß die Seelen vor den Körpern existieren, oder umgekehrt, daß die Körper vor den Seelen gebildet worden seien; worin auch eine Widerlegung der Fabelei von den Seelenwanderungen.

Kap. 29. Beweis daß Seele und Körper eine und dieselbe Ursache ihres Daseins haben.

Kap. 30. Eine kurze, mehr von dem ärztlichen Standpunkt aus angestellte, Betrachtung über unseren Körperbau.

p. 47. Gen. 2,4. Κεφ. α΄. Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, φησὶν ἡ γραφή. Ὅτε συνετελέσθη πᾶν τὸ φαινόμενον, καὶ πρὸς τὴν οἰκείαν θέσιν ἕκαςον τῶν ὄντων ἀποκριθὲν ἀνεχώρησεν, ὅτε περιέσχεν ἐν κύκλῳ τὰ πάντα τὸ οὐράνιον σῶμα, τὴν δὲ μέσην τοῦ παντὸς ἀπέλαβε χώραν τὰ βαρέα καὶ κατωφερῆ τῶν σωμάτων, γῆ τε καὶ ὕδωρ, ἐν ἀλλήλοις διακρατούμενα, σύνδεσμος δέ τις καὶ βεβαιότης τῶν γεγενημένων ἡ θεία τέχνη καὶ δύναμις τῇ φύσει τῶν ὄντων ἐναπετέθη, διπλαῖς ἐνεργείαις ἡνιοχοῦσα τὰ πάντα. Στάσει γὰρ καὶ κινήσει τὴν γένεσιν τοῖς μὴ οὖσι, καὶ τὴν διαμονὴν τοῖς οὖσιν ἐμηχανήσατο, περὶ τὸ [1]βαρύ τε καὶ ἀμετάθετον τῆς ἀκινήτου φύσεως, οἷον περί τινα πάγιον ἄξονα, τὴν ὀξυτάτην τοῦ πόλου κίνησιν τροχοῦ δίκην ἐν κύκλῳ περιελαύνουσα, καὶ δι᾽ ἀλλήλων ἀμφοτέροις συντηροῦσα τὸ ἀδιάλυτον, τῆς τε κυκλοφορουμένης οὐσίας διὰ τῆς ὀξείας κινήσεως τὸ ναςὸν τῆς γῆς ἐν κύκλῳ περισφιγγούσης, τοῦ τε ςεῤῥοῦ καὶ ἀνενδότου διὰ τῆς ἀμεταθέτου παγιότητος ἀδιαλείπτως ἐπιτείνοντος τῶν περὶ αὐτὴν κυκλουμένων τὴν δίνησιν. Ἴση δὲ καθ᾽ ἑκάτερον τῶν ταῖς [2]ἐνεργείαις διεςηκότων ἡ ὑπερβολὴ ἐναπειργάσθη, τῇ τε ςασίμῳ φύσει καὶ τῇ ἀςάτῳ περιφορᾷ. Οὔτε γὰρ ἡ γῆ τῆς ἰδίας βάσεως μετατίθεται, οὔτε ὁ οὐρανός ποτε τὸ σφοδρὸν ἐνδίδωσι καὶ ὑποχαλᾷ τῆς κινήσεως.

---

1) M. βαρὺ καὶ. — 2) Bei M. steht der aus der Baseler Ausg. mit herübergenommene Druckfehler ἐνεργείας.

Kap. 1. Dies ist das Buch der Schöpfung Himmels und der Erde, sagt die Schrift. Da Alles was wir sehen vollendet worden, und ein jegliches Ding abgeschieden nach dem ihm zugehörigen Ort zurückgewichen war, da der Himmelskörper das All rings umspannt, und die schweren und nach der Tiefe strebenden Körper, Erde und Wasser, in einander sich umschließend und zusammenhaltend, die Mitte eingenommen hatten, da ward als ein gemeinsames Band und Befestigung für das was geschaffen war die göttliche Kunst und Kraft in die Natur der Dinge gelegt, welche mit ihrer doppelten Thätigkeit das Ganze lenkt. Denn durch Stillstand und Bewegung hat sie für das was nicht war das Werden, und für das was war das Bestehen ins Werk gerichtet, indem sie um das Schwere und Unveränderliche der unbeweglichen Natur, wie um eine feste Axe, die Himmelskugel wie ein Rad in ihren reißend schnellen Kreislauf brachte, und beiden gegenseitig durch sich selbst ihr unauflösliches Zusammenhalten sicherte, indem die sich im Kreise bewegende Substanz durch die Schnelligkeit ihrer Bewegung die Dichtigkeit der Erde rings zusammenschnürt, und andererseits das Feste und Unnachgiebige durch seine unveränderliche Solidität den Kreislauf der sich um dasselbe bewegenden Körper ununterbrochen in Spannung erhält. Für beide durch ihre Thätigkeiten geschiedenen Kräfte ist die gleiche überreiche Fülle in die feste Natur und ihre unstäte Umgebung gelegt worden; denn weder verändert die Erde ihren festen Stand, noch läßt der Himmel jemals in der reißenden Schnelligkeit seiner Bewegung nach.

Ταῦτα δὲ καὶ πρῶτα κατὰ τὴν τοῦ πεποιηκότος σο-
p. 48. φίαν οἷόν τις ἀρχὴ τοῦ παντὸς μηχανήματος προκατεσκευάσθη τῶν ὄντων, δεικνῦντος, οἶμαι, τοῦ μεγάλου Μωϋσέως διὰ τοῦ ἐν ἀρχῇ τὸν οὐρανὸν καὶ τὴν γῆν παρὰ τοῦ θεοῦ γεγενῆσθαι εἰπεῖν ὅτι κινήσεώς τε καὶ ςάσεως ἔκγονα τὰ ἐν τῇ κτίσει φαινόμενα πάντα, [3]κατὰ τὸ θεῖον βούλημα παραχθέντα εἰς γένεσιν. Τοῦ τοίνυν οὐρανοῦ καὶ τῆς γῆς ἐκ διαμέτρου πρὸς ἄλληλα κατὰ τὸ ἐναντίον [4]ταῖς ἐνεργείαις διεςηκότων, ἡ μεταξὺ τῶν ἐναντίων κτίσις ἐν μέρει τῶν παρακειμένων μετέχουσα δι' ἑαυτῆς μεσιτεύει τοῖς ἄκροις, ὡς ἂν ἐπίδηλον γενέσθαι τὴν πρὸς ἄλληλα τῶν ἐναντίων διὰ τοῦ μέσου συνάφειαν. Τὸ γὰρ ἀεικίνητον καὶ λεπτὸν τῆς πυρώδους οὐσίας μιμεῖται μέν πως ὁ ἀὴρ, ἔν τε τῷ κούφῳ τῆς φύσεως καὶ τῷ πρὸς τὴν κίνησιν ἐπιτηδείως ἔχειν. Οὐ μὴν τοιοῦτός ἐςιν οἷος τῆς πρὸς τὰ πάγια συγγενείας ἀλλοτριοῦσθαι, οὔτε ἀεὶ μένων ἀκίνητος, οὔτε διὰ παντὸς ῥέων καὶ σκεδαννύμενος, ἀλλὰ τῇ [5]πρὸς ἑκάτερον οἰκειότητι οἷόν τι μεθόριον τῆς τῶν ἐνεργειῶν ἐναντιότητος γίνεται, μιγνὺς ἅμα καὶ διαιρῶν ἐν αὐτῷ τὰ διεςῶτα τῇ φύσει. Κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ ὑγρὰ οὐσία διπλαῖς ποιότησι πρὸς ἑκάτερον τῶν ἐναντίων ἁρμόζεται. Τῷ μὲν γὰρ βαρεῖά τε καὶ κατωφερὴς εἶναι πολλὴν πρὸς τὸ γεῶδες τὴν συγγένειαν ἔχει, τῷ δὲ μετέχειν ῥοώδους τινὸς καὶ πορευτικῆς ἐνεργείας οὐ πάντῃ τοῖς κινουμένης ἠλλοτρίωται φύσεως, ἀλλά τις ἔςι καὶ διὰ τούτου μίξις τῶν ἐναντίων καὶ σύνοδος, τῆς τε βαρύτητος εἰς κίνησιν μετατεθείσης, καὶ τῆς κινήσεως ἐν τῷ βάρει μὴ πεδηθείσης, ὥςε συμβαίνειν πρὸς ἄλληλα τὰ κατὰ τὸ ἀκρότατον τῇ φύσει διεςηκότα διὰ τῶν μεσιτευόντων ἀλλήλοις ἑνούμενα. Μᾶλλον δὲ κατὰ τὸν ἀκριβῆ λόγον οὐδὲ αὐτὴ τῶν ἀντικειμένων ἡ φύσις ἀμίκτως πάντῃ πρὸς τὴν ἑτέραν τοῖς ἰδιώμασιν ἔχει, ὡς ἂν, οἶμαι, πάντα πρὸς ἄλληλα νεύοι τὰ κατὰ τὸν κόσμον φαινόμενα, καὶ ξυμπνέοι πρὸς ἑαυτὴν ἡ κτίσις ἐν τοῖς τῶν ἀντικειμένων

---

3) M. τὰ κατὰ. — 4) M. τῆς ἐνεργείας. — 5) M. πρὸς ἕτερον.

Dies ward nach der Weisheit des Schöpfers als ein Anfang für das ganze Kunstwerk zuerst und vor allen Dingen geschaffen, und, meiner Meinung nach, will eben Moses durch die Worte, daß im Anfang Himmel und Erde von Gott geschaffen worden seien, andeuten daß Alles was in der Schöpfung zur Erscheinung kommt, und nach Gottes Rathschluß zur Existenz geführt worden ist, von Bewegung und Stillstand ausgegangen sei. Während sonach Himmel und Erde nach der Gegensätzlichkeit ihrer Kräfte von einander diametral geschieden sind, bildet die zwischen den Gegensätzen befindliche Schöpfung, indem sie auch an den Grenzen Theil hat, die Vermittlung zwischen den Extremen; hierdurch tritt der Zusammenhang der Gegensätze unter sich, vermöge dessen was ihre Mitte ausmacht, klar hervor. Denn die Luft ahmt gewissermaßen die stäte Beweglichkeit und Feinheit der Feuersubstanz nach, sowohl in der Leichtigkeit ihrer Natur, als in ihrer Beweglichkeit. Gleichwohl ist sie nicht derartig daß sie der Verwandtschaft mit dem Festen entfremdet wäre, indem sie weder stets unbeweglich, noch fortwährend im Fluß bleibt und sich ausbreitet, sondern sie wird durch ihre Verwandtschaft zu dem Einen und dem Anderen zu einer Art von Grenze der einander entgegengesetzten Kräfte, und vermischt zugleich durch sich und hält das seiner Natur nach Verschiedene aus einander. Auf dieselbe Weise verbindet sich auch die nasse Substanz durch eine zwiefache Eigenschaft mit beiden Gegensätzen. Dadurch nämlich daß sie schwer ist und nach Unten strebt hat sie eine große Verwandtschaft mit der Erde, und dadurch daß sie die Kraft des Flüssigen und Unstäten ebenfalls besitzt ist sie der bewegten Natur nicht ganz entfremdet, sondern auch hierdurch findet eine Vermischung und Vereinigung der Gegensätze statt, indem die Schwere sich in Bewegung wandelt, und die Bewegung durch die Schwere nicht gehindert wird, so daß auf diese Weise die strengsten Gegensätze der Natur durch ihre Mittelglieder vereint und mit einander versöhnt werden. Noch mehr, erwägt man die Sache genau, so bleibt nicht einmal die Natur der Gegensätze selbst die eine von der anderen in ihren Eigenschaften unberührt und unvermischt, damit, wie ich glaube, alles in der Welt zur Erscheinung Kommende in gegenseitiger Eintracht, und die Schöpfung, obgleich wir sie im Kampfe der Eigenthümlichkeiten ihrer Ge-

ἰδιώμασιν εὑρισκομένη. Τῆς γὰρ κινήσεως οὐ μόνον κατὰ τὴν τοπικὴν μετάςασιν νοουμένης, ἀλλὰ καὶ ἐν τροπῇ καὶ
p. 49. ἀλλοιώσει θεωρουμένης, πάλιν δ' αὖ τῆς ἀμεταθέτου φύσεως τὴν κατὰ τὸ ἀλλοιοῦσθαι κίνησιν οὐ προςιεμένης, ἐναλλάξασα τὰς ἰδιότητας ἡ τοῦ θεοῦ σοφία τῷ μὲν ἀεικινήτῳ τὸ ἄτρεπτον, τῷ δὲ ἀκινήτῳ τὴν τροπὴν ἐνεποίησε, προμηθείᾳ τινὶ τάχα τὸ τοιοῦτον οἰκονομήσασα ὡς ἂν μὴ τὸ τῆς [6] θείας φύσεως ἴδιον, ὅπερ ἐςὶ τὸ ἄτρεπτόν τε καὶ ἀμετάθετον, ἐπί τινος τῶν κατὰ τὴν κτίσιν [7] βλεπόμενον θεὸν νομίζεσθαι τὸ κτίσμα ποιήσειεν. Οὐ γὰρ [8] ἂν ἔτι θεότητος ὑπόληψιν σχοίη, ὅπερ ἂν κινούμενον ἢ ἀλλοιούμενον τύχῃ. Διὰ τοῦτο ἡ μὲν γῆ ςάσιμός ἐςι, καὶ οὐκ ἄτρεπτος, ὁ δὲ οὐρανὸς [9] ἐκ τοῦ ἐναντίου τὸ τρεπτὸν οὐκ ἔχων, οὐδὲ [10] τὸ ςάσιμον ἔχει, ἵνα τῇ μὲν [11] ἑςώσῃ φύσει τὴν τροπήν, τῇ δὲ μὴ τρεπομένῃ τὴν κίνησιν ἡ θεία συμπλέξασα δύναμις καὶ ἀλλήλαις ἀμφοτέρας τῇ ἐναλλάξει τῶν ἰδιωμάτων προςοικειώσῃ, καὶ τῆς περὶ τὸ θεῖον ὑπολήψεως ἀλλοτριώσῃ. Οὐδέτερον γὰρ ἂν τούτων, καθὼς εἴρηται, τῆς θειοτέρας φύσεως νομισθείη, οὔτε τὸ ἄςατον, οὔτε τὸ ἀλλοιούμενον.

Ἤδη τοίνυν τὰ πάντα πρὸς τὸ ἴδιον ἔφθασε τέλος. Συνετελέσθη γάρ, καθώς φησι Μωϋσῆς, ὅ τε οὐρανὸς καὶ
Gen. 2, 4. ἡ γῆ καὶ τὰ διὰ μέσου πάντα, καὶ τῷ καταλλήλῳ κάλλει τὰ καθέκαςον διεκοσμήθη, ὁ οὐρανὸς μὲν ταῖς τῶν φωςήρων αὐγαῖς, θάλαττα δὲ καὶ ἀὴρ τοῖς νηκτοῖς τε καὶ ἐναερίοις τῶν ζώων, γῆ δὲ ταῖς παντοίαις τῶν φυτῶν τε καὶ βοσκημάτων διαφοραῖς, ἅπερ ἀθρόως ἅπαντα θείῳ βουλήματι δυναμωθεῖσα κατὰ ταὐτὸν ἀπεκύησε. Καὶ πλήρης μὲν ἦν τῶν ὡραίων ἡ γῆ, ὁμοῦ τοῖς ἄνθεσι τοὺς καρποὺς ἐκβλαςήσασα, πλήρεις δὲ οἱ λειμῶνες τῶν ὅσα τοὺς λειμῶνας ἐπέρχεται, πᾶσαί τε ῥαχίαι καὶ ἀκρώρειαι, καὶ πᾶν ὅσον πλάγιόν τε καὶ ὕπτιον, καὶ ὅσον ἐν κοίλοις, τῇ νεοθαλεῖ πόᾳ καὶ τῇ ποικίλῃ τῶν δένδρων

---

6) θείας fehlt bei M. — 7) M. βλεπομένων. — 8) ἂν fehlt bei M. — 9) ἐκ fehlt bei M. — 10) τὸ fehlt bei M. — 11) M. φύσει ἑςώσῃ.

gensätze antreffen, mit sich selbst doch in Frieden stehe. Da nämlich die Bewegung nicht bloß in der örtlichen Veränderung beobachtet wird, sondern auch in Gestalt von Wechsel und Umwandlung auftritt, und da andrerseits wiederum die unveränderliche Natur die Bewegung durch Umwandlung nicht zuläßt, so hat Gottes Weisheit die Eigenschaften vertauscht und dem Ewigbeweglichen die Unveränderlichkeit und dem Unbeweglichen den Wechsel verliehen, und hat in weiser Vorsicht diese Anordnung wohl getroffen, damit die Eigenthümlichkeit der göttlichen Natur, das ist die Unwandelbarkeit und Unveränderlichkeit, an irgend einem Ding der Schöpfung hervortretend, die Kreatur nicht für Gott selbst gelten lasse. Denn schwerlich dürfte das noch fähig sein für Gott gehalten zu werden was bewegt oder verändert wird. Darum ist die Erde wohl fest, aber nicht unveränderlich, und der Himmel besitzt andrerseits, obgleich er keinem Wechsel unterworfen ist, dennoch keine Festigkeit, indem die göttliche Macht durch diese Verbindung des Wechsels mit der beständigen, und der Bewegung mit der unveränderlichen Natur, beide ebenso durch den Tausch ihrer Eigenschaften mit einander befreunden, als dem Scheine der Göttlichkeit fernstellen wollte. Denn keins von beiden, wie gesagt, kann für der göttlichen Natur angehörig gelten, weder das Unbeständige, noch das der Veränderung Unterworfene.

Es hatte also bereits Alles seine Vollendung empfangen. Denn es war, wie Moses sagt, der Himmel und die Erde und Alles was dazwischen liegt fertig, und ein Jegliches mit entsprechender Schönheit geschmückt, der Himmel durch den Glanz der Gestirne, Meer und Luft durch die schwimmenden und fliegenden Geschöpfe, die Erde aber durch allerlei Mannichfaltigkeit von Pflanzen und Thieren, welche sie allesammt mit einem Male, durch den göttlichen Willen dazu befähigt, erzeugt hatte. Und die Erde war voll von den Schönheiten, und trieb zugleich Blumen und Früchte, und die Wiesen waren voll von all dem was sich über die Wiesen dahin breitet, und alle Felsen und Bergeshöhen, und alle Seitenflächen und Hänge, und alle Thäler waren bekränzt mit dem jungen Gras und der bunten Pracht der Bäume, welche so eben erst aus der Erde sich

ὥρᾳ κατεςεφάνωτο, ἄρτι μὲν τῆς γῆς [12]ἀνασχόντων, εὐθὺς δὲ πρὸς τὸ τέλειον κάλλος ἀναδραμόντων. Ἐγεγήθει δὲ πάντα κατὰ τὸ εἰκὸς καὶ διεσκίρτα τὰ τῷ προςάγματι τοῦ Θεοῦ ζωογονηθέντα βοτὰ, κατ᾽ ἀγέλας τε καὶ κατὰ
p. 50. γένη ταῖς λόχμαις ἐνδιαθέοντα, ταῖς δὲ τῶν μουσικῶν ὀρνίθων ᾠδαῖς ἁπανταχῇ περιηχεῖτο πᾶν ὅσον κατηρεφές τε καὶ σύσκιον, ἥ τε κατὰ θάλατταν ὄψις, ὡς εἰκὸς, ἄλλη τοιαύτη τις ἦν, ἄρτι πρὸς ἡσυχίαν τε καὶ γαλήνην ἐν ταῖς συναγωγαῖς τῶν κοίλων καθιςαμένη, καθ᾽ ἣν ὅρμοι καὶ λιμένες θείᾳ βουλήσει ταῖς ἀκταῖς αὐτομάτως ἐγκοιλανθέντες, προςημέρουν τῇ ἠπείρῳ τὴν θάλατταν, αἵ τε ἠρεμαίαι τῶν κυμάτων κινήσεις τῷ κάλλει τῶν λειμώνων ἀνθωραΐζοντο, ὑπὸ λεπταῖς [13]τε καὶ ἀπήμοσιν αὔραις κατ᾽ ἄκραν τὴν ἐπιφάνειαν γλαφυρῶς ἐπιφρίσσουσαι, καὶ ἅπας ὁ κατὰ τὴν κτίσιν πλοῦτος κατὰ γῆν τε καὶ θάλατταν ἕτοιμος ἦν, ἀλλ᾽ ὁ μετέχων οὐκ ἦν.

Κεφ. β΄. Οὔπω γὰρ τὸ μέγα τοῦτο καὶ τίμιον χρῆμα, ὁ ἄνθρωπος, τῷ κόσμῳ τῶν ὄντων ἐπεχωρίαζεν. Οὐδὲ γὰρ ἦν εἰκὸς τὸν ἄρχοντα πρὸ τῶν ἀρχομένων ἀναφανῆναι, ἀλλὰ τῆς ἀρχῆς πρότερον ἑτοιμασθείσης ἀκόλουθον ἦν ἀναδειχθῆναι τὸν βασιλεύοντα. Ἐπειδὴ τοίνυν οἷόν τινα βασίλειον καταγωγὴν τῷ μέλλοντι βασιλεύειν ὁ τοῦ παντὸς ποιητὴς προηυτρέπισεν, — αὕτη δὲ ἦν γῆ τε καὶ νῆσοι καὶ θάλαττα καὶ οὐρανὸς ὑπὲρ τούτων ὀρόφου δίκην ἐπικυρτούμενος, — πλοῦτος δὲ παντοδαπὸς τοῖς βασιλείοις τούτοις ἐναπετέθη, — πλοῦτον δὲ λέγω πᾶσαν τὴν κτίσιν, ὅσον ἐν φυτοῖς καὶ βλαςήμασι, καὶ ὅσον αἰσθητικόν τε καὶ ἔμπνουν καὶ ἔμψυχον, εἰ δὲ χρὴ καὶ τὰς ὕλας εἰς πλοῦτον καταριθμήσασθαι, ὅσαι διά τινος εὐχροίας τίμιαι τοῖς ἀνθρωπίνοις ὀφθαλμοῖς ἐνομίσθησαν, οἷον χρυσίον τε καὶ ἀργύριον, καὶ τῶν λίθων δὴ τούτων ἃς ἀγαπῶσιν οἱ ἄνθρωποι, καὶ τούτων πάντων τὴν ἀφθονίαν καθάπερ τισὶ βασιλικοῖς θησαυροῖς τοῖς τῆς γῆς κόλποις ἐγκατακρύψας, — οὕτως ἀναδείκνυσιν ἐν τῷ κό-

12) M. ἀνισχόντων. — 13) τε fehlt bei M.

erhoben hatten, und doch bereits zur vollendeten Schönheit emporgewachsen waren. Da war, wie begreiflich, alles Gethier in Lust und Freude und hüpfte und sprang, weil es Gottes Befehl lebendig gemacht hatte, und heerden- und artenweis lief es in dem Gebüsch umher, und alle Laubdächer und schattigen Plätze tönten rings von den Liedern der Singvögel; auch der Anblick des Meeres war, selbstverständlicher Weise, ein anderer, und es stand noch ruhig und still in den Sammlungen seiner Höhlen, und die Häfen und Buchten, durch Gottes Willen von selbst in die Ufer eingehöhlt, verbanden gewöhnend und versöhnend das Meer mit dem Festland, und die sanften Bewegungen der Wellen wetteiferten an Herrlichkeit mit der Schönheit der Wiesen, indem sie unter leichten und unschädlichen Lüftchen die Spitzen ihrer Fläche zierlich kräuselten, — kurz aller Reichthum der Schöpfung zu Land und zu Wasser war vorhanden, aber der welcher ihn genießt war nicht.

Kap. 2. Noch hatte nämlich nicht das großartige und achtungswürdige Geschöpf, der Mensch, seinen Wohnsitz in der Welt der Dinge aufgeschlagen. Denn begreiflicher Weise durfte der Herrscher nicht vor demjenigen über welches er herrschen soll zum Vorschein kommen, sondern dann erst, nachdem das Reich bereitet worden war, war es an der Zeit den König zu ernennen. Nachdem also der Schöpfer des Alls dem zukünftigen Könige vorher einen königlichen Wohnsitz zurecht gemacht hatte, — das war die Erde, die Inseln, das Meer, und der sich darüber wie eine Decke wölbende Himmel, — und nachdem allerlei Reichthum in dies Königshaus niedergelegt worden war, — unter Reichthum verstehe ich die gesammte Schöpfung in dem was wächst und sproßt, und was Gefühl, Leben und Athem hat, und muß man auch alle die Stoffe mit unter den Reichthum rechnen welche wegen ihres schönen Aussehens für die menschlichen Augen Werth und Geltung gewonnen haben, als Gold und Silber, und edle Steine, welche die Menschen lieben, auch von diesem Allen barg er die Menge in dem Schoße der Erde wie in einer königlichen Schatzkammer, — da bestimmte er in der Welt den Men-

σμῳ τὸν ἄνθρωπον τῶν ἐν τούτῳ θαυμάτων τῶν μὲν θεα-
p. 51. τὴν ἐσόμενον, τῶν δὲ κύριον, ὡς διὰ μὲν τῆς ἀπολαύσεως τὴν σύνεσιν τοῦ χορηγοῦντος ἔχειν, διὰ δὲ τοῦ κάλλους τε καὶ μεγέθους τὴν ἄῤῥητόν τε καὶ ὑπὲρ λόγον τοῦ πεποιηκότος δύναμιν ἀνιχνεύειν. Διὰ ταῦτα τελευταῖος μετὰ τὴν κτίσιν εἰςήχθη ὁ ἄνθρωπος, οὐχ ὡς ἀπόβλητος ἐν ἐσχάτοις ἀποῤῥιφεὶς, ἀλλ' ὡς ἅμα τῇ γενέσει βασιλεὺς εἶναι τῶν ὑποχειρίων προςήκων. Καὶ ὥςπερ τις ἀγαθὸς ἑςιάτωρ οὐ πρὸ τῆς παρασκευῆς τῶν ἐδωδίμων τὸν ἑςιώμενον εἰςοικίζεται, ἀλλ' εὐπρεπῆ τὰ πάντα παρασκευάσας, καὶ φαιδρύνας τοῖς καθήκουσι κόσμοις τὸν οἶκον, τὴν κλισίαν, τὴν τράπεζαν, ἐφ' ἑτοίμοις ἤδη τοῖς πρὸς τὴν τροφὴν ἐπιτηδείοις ἐφέςιον ποιεῖται τὸν δαιτυμόνα, κατὰ τὸν αὐτὸν τρόπον ὁ πλούσιός τε καὶ πολυτελὴς τῆς φύσεως ἡμῶν ἑςιάτωρ παντοίοις κάλλεσι κατακοσμήσας τὴν οἴκησιν, καὶ τὴν μεγάλην ταύτην καὶ παντοδαπῆ πανδαισίαν ἑτοιμασάμενος, οὕτως εἰςάγει τὸν ἄνθρωπον, ἔργον αὐτῷ δοὺς οὐ τὴν κτῆσιν τῶν μὴ προςόντων, ἀλλὰ τὴν ἀπόλαυσιν τῶν παρόντων. Καὶ διὰ τοῦτο διπλᾶς αὐτῷ τῆς κατασκευῆς τὰς ἀφορμὰς καταβάλλεται, τῷ γηΐνῳ τὸ θεῖον ἐγκαταμίξας, ἵνα δι' ἀμφοτέρων συγγενῶς τε καὶ οἰκείως πρὸς ἑκατέραν ἀπόλαυσιν ἔχῃ, τοῦ θεοῦ μὲν διὰ τῆς θειοτέρας φύσεως, τῶν δὲ κατὰ τὴν γῆν ἀγαθῶν διὰ τῆς ὁμογενοῦς αἰσθήσεως ἀπολαύων.

Κεφ. γ'. Ἄξιον δὲ μηδὲ τοῦτο παριδεῖν ἀθεώρητον, ὅτι τοῦ τηλικούτου κόσμου καὶ τῶν κατ' αὐτὸν μερῶν ςοιχειωδῶς πρὸς τὴν τοῦ παντὸς σύςασιν ὑποβληθέντων ἀποσχεδιάζεταί πως ἡ κτίσις ὑπὸ τῆς θείας δυνάμεως ὁμοῦ τῷ προςάγματι ὑφιςαμένη, τῆς δὲ τοῦ ἀνθρώπου κατασκευῆς βουλὴ προηγεῖται, καὶ προτυποῦται παρὰ τοῦ τεχνιτεύοντος διὰ τῆς τοῦ λόγου γραφῆς τὸ ἐσόμενον, καὶ οἷον εἶναι προςήκει, καὶ πρὸς ποῖον ἀρχέτυπον τὴν ὁμοιότητα φέρειν, καὶ ἐπὶ τίνι γενήσεται, καὶ τί ἐνεργήσει
p. 52. γενόμενον, καὶ τίνων ἡγεμονεύσει, πάντα προδιασκοπεῖται ὁ λόγος, ὡς πρεσβυτέραν αὐτὸν τῆς γενέσεως τὴν ἀξίαν

schen theils zu einem künftigen Beschauer, theils zu einem Herrn ihrer Wunderwerke, damit er durch den Genuß Kenntniß von dem gewönne welcher ihn spendet, und durch die Schönheit und Größe dessen was er erblickt auf die Spur der unnennbaren und unbeschreiblichen Macht dessen der es gemacht hat hingeleitet würde. Darum macht der Mensch den Schluß der Schöpfung, nicht als ein Verächtliches unter das Letzte zurückgeschoben, sondern als einer der gleich mit seiner Geburt König über seine Unterthanen sein sollte. Wie ein guter Wirth nicht bevor er die Speisen angeschafft den Gast in sein Haus führt, sondern erst wenn er Alles herrlich hergerichtet und das Haus, die Speisepolster, den Tisch mit dem gehörigen Schmucke versehen hat, wenn das was zum Mahle gehört bereits fertig ist, den Gast in seine Wohnung bringt, eben so hat der reiche und fürstliche Bewirther unserer Natur das Haus mit allerlei Pracht und Herrlichkeit geschmückt, und hat dieses große und an allerlei Speise reiche Mahl hergerichtet, und dann führt er den Menschen hinein, und giebt ihm zu seinem Tagewerk nicht den Erwerb von dem Nichtvorhandenen, sondern den Genuß dessen was da ist. Darum legt er auch zwei Anlagen in seine Natur, indem er das Göttliche mit dem Irdischen vermischte, damit er kraft beider dem Genuß des Einen wie des Anderen nahe stände und dafür befähigt wäre, Gottes sich erfreue kraft seiner mehr göttlichen Natur, der Güter der Erde aber durch die ihnen je entsprechenden und gleichartigen Sinne.

Kap. 3. Auch das verdient bei unserer Betrachtung nicht außer Acht gelassen zu werden, daß, als dieser so große Weltkörper und seine Theile als Urstoffe zur Herstellung des Alls geschaffen wurden, die Schöpfung von der göttlichen Macht gewissermaßen aus dem Stegreif vollzogen wurde, und sofort mit dem Gebot ins Leben trat, der Erschaffung des Menschen dagegen ein Ueberlegen vorangeht, und nach den Worten der Schrift von dem Künstler erst ein Plan von dem was werden soll, entworfen wird, und wie es beschaffen sein, und mit welchem Urbilde es Aehnlichkeit haben, und wozu es werden, und was es, wenn es geworden, wirken und über welche es herrschen solle, — Alles überlegt das Wort vorher mit sich, damit der Mensch, ehe er zum Antritt der Herrschaft über die Dinge

λαχεῖν, πρὶν παρελθεῖν εἰς τὸ εἶναι τὴν τῶν ὄντων ἡγε-
Gen. 1,26. μονίαν κτησάμενον. Εἶπε γάρ, φησίν, ὁ Θεός, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς. Ὢ τοῦ θαύματος, ἥλιος κατασκευάζεται, καὶ οὐδεμία προηγεῖται βουλή, οὐρανὸς ὡσαύτως, ὧν οὐδέν τι τῶν κατὰ τὴν κτίσιν ἴσον ἐστί· ῥήματι μόνῳ τὸ τοιοῦτον θαῦμα συνίσταται, οὔτε ὅθεν, οὔτε ὅπως, οὔτε ἄλλο τι τοιοῦτον παρασημηναμένου τοῦ λόγου. Οὕτω καὶ τὰ καθ' ἕκαστον πάντα, αἰθήρ, ἀστέρες, ὁ διὰ μέσου ἀήρ, θάλαττα, γῆ, ζῶα, φυτά, πάντα λόγῳ πρὸς γένεσιν ἄγεται. Μόνῃ δὲ τοῦ ἀνθρώπου κατασκευῇ περιεσκεμμένως πρόσεισιν ὁ τοῦ παντὸς ποιητής, ὡς καὶ ὕλην αὐτῷ τῆς συστάσεως προετοιμάσαι, καὶ ἀρχετύπῳ τινὶ κάλλει τὴν μορφὴν ὁμοιῶσαι, καὶ προθέντα τὸν σκοπὸν οὗ χάριν γενήσεται, κατάλληλον αὐτῷ καὶ οἰκείαν ταῖς ἐνεργείαις δημιουργῆσαι τὴν φύσιν, ἐπιτηδείως πρὸς τὸ προκείμενον ἔχουσαν.

Κεφ. δ'. Καθάπερ γὰρ ἐν τῷ βίῳ τούτῳ καταλλήλως τῇ χρείᾳ σχηματίζεται παρὰ τῶν τεχνιτευόντων τὸ ὄργανον, οὕτως οἷόν τι σκεῦος εἰς βασιλείας ἐνέργειαν ἐπιτήδειον τὴν ἡμετέραν φύσιν ὁ ἀριστοτέχνης ἐδημιούργησε, τοῖς τε κατὰ τὴν ψυχὴν προτερήμασι καὶ αὐτῷ τῷ τοῦ σώματος σχήματι τοιοῦτον εἶναι παρασκευάσας οἷον ἐπιτηδείως πρὸς βασιλείαν ἔχειν. Ἡ μὲν γὰρ ψυχὴ τὸ βασιλικόν τε καὶ ἐπηρμένον αὐτόθεν δείκνυσι πόῤῥω τῆς ἰδιωτικῆς ταπεινότητος κεχωρισμένον, ἐκ τοῦ ἀδέσποτον αὐτὴν εἶναι καὶ αὐτεξούσιον, ἰδίοις θελήμασιν αὐτοκρατορικῶς διοικουμένην. Τίνος γὰρ ἄλλου τοῦτο καὶ οὐχὶ βασι-
p. 53. λέως ἐστίν; καὶ ἔτι πρὸς τούτοις, τὸ τῆς δυναστευούσης τῶν πάντων φύσεως εἰκόνα γενέσθαι οὐδὲν ἕτερόν ἐστιν ἢ εὐθὺς βασιλίδα δημιουργηθῆναι τὴν φύσιν. Ὥσπερ γὰρ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν οἱ τὰς εἰκόνας τῶν κρατούντων κατασκευάζοντες τόν τε χαρακτῆρα τῆς μορφῆς ἀναμάσσον-

in das Sein tritt, eine Würdestellung erlange welche älter als seine Erschaffung ist. Denn Gott, heißt es, sprach, Laßt uns Menschen machen, nach unserem Bilde und Gleichniß, und sie sollen herrschen über die Fische des Meeres, und über die Thiere der Erde, und über die Vögel des Himmels, und über das Vieh, und über die ganze Erde. O des Wunders! die Sonne wird erschaffen, und kein Berathen geht voraus, ebenso der Himmel, und doch ist diesen beiden in der Schöpfung Nichts an die Seite zu setzen! durch ein bloßes Wort tritt dieses Wunder in das Dasein, ohne daß die Erzählung angiebt woher, oder wie, oder sonst etwas Derartiges. So wird auch der Reihe nach Alles, Aether, Gestirne, die die Mitte einnehmende Luft, Meer, Erde, Thiere, Pflanzen, Alles durch das Wort ins Leben geführt. Bloß zur Erschaffung des Menschen schreitet der Schöpfer des Alls mit Ueberlegung, so daß er erst den Stoff zu seiner Herstellung zurichtet, dann die Gestalt nach einem Urbild der Schönheit formt, dann die ihm angemessene Bestimmung wozu er ins Leben treten soll darlegt, und nun die Natur seiner Thätigkeit entsprechend so einrichtet daß sie mit ihrer Bestimmung in Einklang steht.

Kap. 4. Wie nämlich im Leben von den Künstlern das Werkzeug so geformt wird daß es seinem Gebrauche entsprechend ist, so hat auch der Künstler aller Künstler unsere Natur gleichwie ein Geräth zur Ausübung der Königsgewalt geschaffen, und ihn sowohl durch geistige Vorzüge als schon durch die Körpergestalt als besonders geschickt für den Besitz dieses Herrscherthums ausgerüstet. Denn die Seele zeigt ihre jeder Niedrigkeit fern stehende königliche Würde und Erhabenheit darin daß sie unumschränkt ist, ihren eigenen Willen hat, und nach freien Entschlüssen unabhängig sich selbst leitet und lenkt. Ist dies etwas Anderes als Königliches? Und ferner, daß er das Ebenbild des über alle Dinge herrschenden Wesens ist, auch dies will nichts Anderes bedeuten als daß seine Natur gleich von Anfang an zur Königin bestimmt und hergestellt war. Denn wie nach menschlicher Gewohnheit diejenigen welche die Bilder der Mächtigen verfertigen den eigenthümlichen Ausdruck der Gestalt nachahmen, und durch den Umwurf des Purpurmantels die könig-

ται καὶ τῇ περιβολῇ τῆς πορφυρίδος τὴν βασιλικὴν ἀξίαν συμπαραγράφουσι, καὶ λέγεται κατὰ συνήθειαν καὶ ἡ εἰκὼν βασιλεὺς, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις, ἐπειδὴ πρὸς ἀρχὴν τῶν ἄλλων κατεσκευάζετο, διὰ τῆς πρὸς τὸν βασιλέα τοῦ παντὸς ὁμοιότητος οἷόν τις ἔμψυχος εἰκὼν ἀνεςάθη, κοινωνοῦσα τῷ ἀρχετύπῳ καὶ τῆς ἀξίας καὶ τοῦ ὀνόματος, οὐ πορφυρίδα περικειμένη, οὐδὲ σκήπτρῳ καὶ διαδήματι τὴν ἀξίαν ἐπισημαίνουσα· οὐδὲ γὰρ τὸ ἀρχέτυπον ἐν τούτοις ἐςὶν, ἀλλ᾽ ἀντὶ μὲν τῆς ἁλουργίδος τὴν ἀρετὴν ἠμφιεσμένη, ὃ δὴ πάντων βασιλικώτατον ἐσθημάτων ἐςίν, ἀντὶ δὲ τοῦ σκήπτρου τῇ μακαριότητι τῆς ἀθανασίας ἐρειδομένη, ἀντὶ δὲ τοῦ βασιλικοῦ διαδήματος τῷ τῆς δικαιοσύνης ςεφάνῳ κεκοσμημένη. Ὥςε διὰ πάντων ἐν τῷ τῆς βασιλείας ἀξιώματι δείκνυσθαι δι᾽ ἀκριβείας πρὸς τὸ ἀρχέτυπον κάλλος ὁμοιωθεῖσαν.

Κεφ. ε΄. Τὸ δὲ [1] δὴ θεῖον κάλλος οὐ σχήματί τινι, καὶ μορφῆς εὐμοιρίᾳ διά τινος εὐχροίας [2] ἐναγλαΐζεται, ἀλλ᾽ ἐν ἀφράςῳ μακαριότητι κατ᾽ ἀρετὴν θεωρεῖται. Ὥςπερ τοίνυν τὰς ἀνθρωπίνας μορφὰς διὰ χρωμάτων τινῶν ἐπὶ τοὺς πίνακας οἱ γραφεῖς μεταφέρουσι, τὰς οἰκείας τε καὶ καταλλήλους βαφὰς [3] ἐπαλείφοντες τῷ μιμήματι, ὡς ἂν δι᾽ ἀκριβείας τὸ ἀρχέτυπον κάλλος μετενεχθείη πρὸς τὸ ὁμοίωμα, οὕτω μοι νόει καὶ τὸν ἡμέτερον πλάςην οἷόν τισι βαφαῖς τῇ τῶν ἀρετῶν ἐπιβολῇ πρὸς τὸ ἴδιον κάλλος τὴν εἰκόνα περιανθίσαντα ἐν ἡμῖν δεῖξαι τὴν ἰδίαν ἀρ-
p. 54. χήν. Πολυειδῆ δὲ καὶ ποικίλα τὰ οἱονεὶ χρώματα τῆς εἰκόνος, δι᾽ ὧν ἡ ἀληθινὴ ἀναζωγραφεῖται μορφὴ, οὐκ [4] ἐρύθημα καὶ λαμπρότης, καὶ ἡ ποιὰ τούτων πρὸς ἄλληλα μίξις, οὐδέ τινος μέλανος ὑπογραφὴ ὀφρῦν τε καὶ [5] ὀφθαλμὸν ὑπαλείφουσα, καὶ κατά τινα κρᾶσιν τὰ κοῖλα τοῦ χαρακτῆρος ὑποσκιάζουσα, καὶ ὅσα τοιαῦτα ζωγράφων χεῖρες [6] ἐπετεχνάσαντο, ἀλλ᾽ ἀντὶ τούτων καθαρότης,

1) δὴ fehlt bei M. — 2) M. ἀγλαΐζεται. — 3) M. ἀπαλείφοντες. — 4) M. ἐρύθρημα. — 5) M. ὀφθαλμοὺς. — 6) M. ἐπετεχνήσαντο.

liche Würde zugleich mit ausdrücken, und auch das Bild herkömmlicher Weise „König" genannt wird, so ist auch die menschliche Natur, nachdem sie zur Herrschaft über die Anderen geschaffen ward, wegen ihrer Aehnlichkeit mit dem König des Alls, gleichwie ein lebendiges Bild aufgestellt worden, und theilt mit seinem Urbild die Würde und den Namen. Zwar trägt sie kein Purpurkleid, hat kein Scepter und Diadem zum Abzeichen ihrer Würde, denn darin liegt nicht das Urbild: aber an Stelle des Purpurs trägt sie das Gewand der Tugend, und das ist doch das königlichste aller Gewänder, und anstatt des Scepters stützt sie sich auf das selige Glück der Unsterblichkeit, anstatt mit dem fürstlichen Diadem ist sie mit der Krone der Gerechtigkeit geschmückt. Sie führt also in allen Stücken der Würde ihres Königthums den Beweis daß sie die genaue Nachahmung der Schönheit ihres Urbildes ist.

Kap. 5. In der That prangt die göttliche Schönheit nicht in äußerer Anmuth und glücklicher Gestaltung durch ein liebliches Aussehen, sondern sie giebt sich in einer unbeschreiblichen Glückseligkeit innerer Vollkommenheit zu erkennen. Wie nun die Maler die menschlichen Gestalten mittelst einiger Farben auf die Gemälde übertragen, indem sie die passenden und entsprechenden Tinten ihrem Conterfei mit dem Pinsel auflegen, um so genau die Schönheit des Urbildes wiederzugeben, so denke dir auch daß unser Bildner die Tugenden gleichwie Farben in uns gelegt und das Abbild nach seiner eigenen Schönheit herrlich geschmückt habe, um dadurch seine eigene fürstliche Macht in uns nachzuweisen. Vielfach und mannichfaltig sind die Farben des Bildes, durch welches die Wahrheit des Urbildes wiedergegeben wird, nicht Roth und glänzendes Weiß, und die verhältnißmäßige Mischung beider, kein Untermalen der Brauen und des Auges mit Schwarz, welches in richtigem Verhältniß die tiefer liegenden Theile des Bildes düsterer schattirt, und was die Hände der Maler sonst Derartiges künstlich anzubringen pflegen, sondern Reinheit, Leidenschaftslosigkeit, Glückseligkeit, Freiheit von

ἀπάθεια, μακαριότης, κακοῦ παντὸς ἀλλοτρίωσις, καὶ ὅσα τοῦ τοιούτου γένους ἐςὶ, δι' ὧν μορφοῦται τοῖς ἀνθρώποις ἡ πρὸς τὸ θεῖον ὁμοίωσις. Τοιούτοις ἄνθεσιν ὁ δημιουργὸς τῆς ἰδίας εἰκόνος τὴν ἡμετέραν διεχάραξε φύσιν. Εἰ δὲ καὶ τὰ ἄλλα συνεξετάζοις δι' ὧν τὸ θεῖον κάλλος χαρακτηρίζεται, εὑρήσεις καὶ πρὸς ἐκεῖνα δι' ἀκριβείας σωζομένην ἐν τῇ καθ' ἡμᾶς εἰκόνι τὴν ὁμοιότητα. Νοῦς καὶ λόγος ἡ θειότης ἐςίν. Ἐν ἀρχῇ τε γὰρ ἦν ὁ
Joann. 1, 1, λόγος, καὶ [7] οἱ κατὰ Παῦλον νοῦν Χριςοῦ ἔχουσι, τὸν ἐν
1 Cor. 2, 16. αὐτοῖς λαλοῦντα. Οὐ πόῤῥω τούτων καὶ τὸ ἀνθρώπινον.
2 Cor. 13, 3. Ὁρᾷς ἐν σεαυτῷ καὶ τὸν λόγον, καὶ [8] τὴν διάνοιαν, μίμημα τοῦ ὄντως νοῦ τε καὶ λόγου. Ἀγάπη πάλιν ὁ θεὸς,
Joann. 4, 7. 8. καὶ ἀγάπης πηγή· τοῦτο γάρ φησιν Ἰωάννης ὁ μέγας, ὅτι [9] ἡ ἀγάπη ἐκ τοῦ θεοῦ, καὶ ὁ θεὸς ἀγάπη ἐςί. Τοῦτο καὶ ἡμέτερον πεποίηται πρόσωπον ὁ τῆς φύσεως πλάςης. Ἐν τούτῳ γὰρ, φησὶ, γνώσονται πάντες ὅτι μαθηταί μού
Joann. 13, 35. ἐςε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Οὐκοῦν μὴ παρούσης ταύτης ἅπας ὁ χαρακτὴρ τῆς εἰκόνος μεταπεποίηται. Πάντα ἐπιβλέπει, καὶ πάντα ἐπακούει τὸ θεῖον, καὶ πάντα διερευνᾶται. Ἔχεις καὶ σὺ τὴν δι' ὄψεως καὶ ἀκοῆς τῶν ὄντων ἀντίληψιν, καὶ τὴν ζητητικήν τε καὶ διερευνητικὴν τῶν ὄντων διάνοιαν.

Κεφ. ς'. Καί με μηδεὶς οἰέσθω καθ' ὁμοιότητα τῆς ἀνθρωπίνης ἐνεργείας ἐν διαφόροις δυνάμεσι τὸ θεῖον λέ-
p. 55. γειν τῶν ὄντων ἐφάπτεσθαι. Οὐ γάρ ἐςι δυνατὸν ἐν τῇ ἁπλότητι τῆς [1] θεότητος τὸ ποικίλον τε καὶ πολυειδὲς τῆς ἀντιληπτικῆς ἐνεργείας κατανοῆσαι. Οὐδὲ γὰρ ἡμῖν πολλαί τινές εἰσιν αἱ ἀντιληπτικαὶ τῶν πραγμάτων δυνάμεις, εἰ καὶ πολυτρόπως διὰ τῶν αἰσθήσεων τῶν [2] κατὰ τὴν ζωὴν ἐφαπτόμεθα. Μία γάρ τίς ἐςι δύναμις, αὐτὸς ὁ ἐγκείμενος νοῦς, ὁ δι' ἑκάςου τῶν αἰσθητηρίων διεξιὼν, καὶ τῶν ὄντων ἐπιδρασσόμενος. Οὗτος θεωρεῖ διὰ τῶν ὀφθαλμῶν τὸ φαινόμενον, οὗτος [3] συνίησι διὰ τῆς ἀκοῆς τὸ λεγόμενον, ἀγαπᾷ τε τὸ [4] καταθύμιον καὶ τὸ μὴ καθ'

---

7) οἱ προφῆται κατὰ hat M., προφῆται fehlt in der Baseler Ausg.

allem Uebel und alles andere Derartige ist es wodurch die Menschen Gott ähnlich gestaltet werden. Mit solcher Farbenpracht hat der Schöpfer seines Bildes unsere Natur gezeichnet. Forschest du aber auch nach den anderen Zügen der göttlichen Schönheit, so wirst du auch in Bezug auf sie die Aehnlichkeit unseres Bildes genau bewahrt finden. Verstand und Vernunft sind göttliches Wesen. Denn im Anfang war das Wort, das ist die Vernunft, und Paulus hat Christi Verstand, welcher in ihm redet. Nicht allzu verschieden davon steht es mit dem Menschen. Du bemerkst in Dir ebenfalls Vernunft und Denkkraft, eine Nachbildung des wahrhaften Verstandes und der Urvernunft. Gott ist ferner Liebe und Quelle der Liebe; denn das sagt der große Johannes, daß die Liebe aus Gott stammt, und Gott die Liebe ist. Das hat der Bildner unserer Natur auch in unser Antlitz gelegt. Denn an dem, sagt er, werden Alle erkennen daß Ihr meine Schüler seid, wenn Ihr Euch unter einander liebt. Ist also diese nicht vorhanden, so ist das ganze Gepräge des Bildes verändert. Alles überschaut und Alles hört die Gottheit, und Alles durchforscht sie. Auch Du hast vermittelst Deines Gesichts und Gehörs Verständniß von dem was ist, und hast die Denkkraft welche die Dinge untersucht und durchforscht.

Kap. 6. Niemand glaube aber daß ich damit die Behauptung aufstellen will daß die Gottheit nach Art der menschlichen Thätigkeit mit verschiedenen Kräften wirke. Denn es ist unmöglich bei der Einfachheit des göttlichen Wesens an eine Mannichfaltigkeit und Vielfachheit seines Wirkens zu denken. Sind doch auch wir nicht einmal bei unserem Handeln mit einer Vielheit der Geisteskräfte thätig, wenn gleich wir durch die Sinneswerkzeuge die Dinge im Leben auf vielfache Weise auffassen. Es giebt nämlich nur eine einzige Kraft, und diese ist eben das uns innewohnende Denkvermögen, welches jedes Sinneswerkzeug durchdringt und die Dinge erfaßt. Dieses schaut vermittelst der Augen was sich ihm darbietet, dieses vernimmt vermittelst des Gehörs was gesprochen wird, findet Gefallen an dem

---

— 8) τὴν fehlt bei M., in der Baseler Ausg. steht es. — 9) ἡ fehlt bei M.

1) M. θειότητος. — 2) M. κατὰ ζωὴν ἐφαπτώμεθα. — 3) M. συνιεῖ. — 4) M. κατευθύμιον.

ἡδονὴν ἀποστρέφεται, καὶ τῇ χειρὶ χρῆται [5]πρὸς ὅ τι βούλεται, κρατῶν δι' αὐτῆς καὶ [6]ἀπωθούμενος καθ' ὅπερ ἂν λυσιτελεῖν κρίνῃ, τῇ τοῦ ὀργάνου συνεργίᾳ εἰς τοῦτο συγχρώμενος. Εἰ τοίνυν ἐν τῷ ἀνθρώπῳ, κἂν διάφορα τύχῃ τὰ πρὸς αἴσθησιν κατεσκευασμένα παρὰ τῆς φύσεως ὄργανα, ὁ διὰ πάντων ἐνεργῶν καὶ κινούμενος, καὶ καταλλήλως ἑκάστῳ πρὸς τὸ προκείμενον κεχρημένος, εἷς ἐστι καὶ ὁ αὐτὸς, ταῖς διαφοραῖς τῶν ἐνεργειῶν οὐ συνεξαλλάσσσων τὴν φύσιν, πῶς ἂν τις ἐπὶ τοῦ θεοῦ διὰ τῶν ποικίλων δυνάμεων τὸ πολυμερὲς τῆς οὐσίας [7]καθυποπτεύσειεν; ὁ γὰρ πλάσας τὸν ὀφθαλμὸν, καθώς φησιν
Psalm. 93, 9. ὁ προφήτης, καὶ ὁ φυτεύσας τὸ οὖς, πρὸς τὰ ἐν αὐτῷ παραδείγματα τὰς ἐνεργείας ταύτας οἷόν τινας γνωριστικοὺς χαρακτῆρας τῇ φύσει τῶν ἀνθρώπων ἐνεσημήνατο. Ποιήσωμεν γὰρ, φησὶν, ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. Ἀλλὰ ποῦ μοι τῶν Ἀνομοίων ἡ αἵρεσις; τί πρὸς τὴν τοιαύτην ἐροῦσι φωνήν; πῶς διασώσουσιν ἐν τοῖς εἰρημένοις τοῦ δόγματος αὐτῶν τὴν κενότητα; ἆρα δυνατὸν εἶναι φήσουσι μίαν εἰκόνα διαφόροις ὁμοιωθῆναι μορφαῖς; εἰ ἀνόμοιος κατὰ τὴν φύσιν τῷ πατρὶ ὁ υἱὸς, πῶς μίαν κατασκευάζει τῶν διαφόρων φύσεων τὴν εἰκόνα; ὁ γὰρ, [8]Ποιήσωμεν κατ' εἰκόνα ἡμετέραν, εἰπὼν καὶ διὰ τῆς πληθυντικῆς σημασίας τὴν ἁγίαν τριάδα δηλώσας οὐκ ἂν τῆς εἰκόνος μοναδικῶς ἐπεμνήσθη, εἴπερ ἀνομοίως [9]εἶχε πρὸς ἄλληλα τὰ ἀρχέτυπα. [10]Οὐδὲ γὰρ ἦν δυνατὸν τῶν ἀλλήλοις μὴ συμβαινόντων [11]ἓν ἀναδειχθῆναι ὁμοίωμα, ἀλλ' εἰ διάφοροι ἦσαν αἱ φύσεις, διαφόρους [12]ἂν πάντως καὶ τὰς εἰκόνας αὐτῶν ἐνεστήσατο, τὴν κατάλληλον ἑκάστῃ δημιουργήσας. Ἀλλ' ἐπειδὴ μία μὲν ἡ εἰκὼν, οὐχ
p. 56. ἓν δὲ τὸ τῆς εἰκόνος ἀρχέτυπον, τίς οὕτως ἔξω διανοίας ἐστὶν ὡς ἀγνοεῖν ὅτι τὰ τῷ ἑνὶ ὁμοιούμενα καὶ πρὸς ἄλληλα πάντως ὁμοίως ἔχει; διὰ τοῦτό φησι τάχα τὴν κα-

5) M. πρὸς, τὸ ὅ, τι. — 6) M. ἀπωθούμενος ἅπερ. — 7) M. κατοπτεύσειεν. — 8) M. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα. — 9) M. ἔχοι. — 10) M. Οὐ γὰρ. — 11) M. εἰς ἕν. — 12) ἂν fehlt bei M.

Angenehmen, und verabscheut das Unangenehme, braucht die Hand wozu es will, indem sie damit ergreift oder zurückstößt, und bedient sich des Beistandes dieses Gliedes wozu es ihr nützlich erscheint. Wenn also bei dem Menschen, trotz der Verschiedenheit der ihm von der Natur bestellten Sinneswerkzeuge, es Einer und derselbe ist welcher durch alle wirkt und sich in Bewegung setzt, und ein jedes in der ihm angemessenen Weise für seine Absicht braucht, und welcher trotz der Verschiedenheit seiner Thätigkeiten seine Natur nicht mitverändert, wie sollte dann ob der Mannichfaltigkeit seiner Kräfte Jemand von Gott auch nur die leise Vermuthung einer Vieltheiligkeit seines Wesens fassen wollen? Der das Auge gebildet hat, wie der Prophet spricht, und das Ohr gepflanzt hat, der hat nach in ihm selber vorhandenen Mustern diese Kräfte gleichwie Erkennungszeichen in die Natur der Menschen eingedrückt. Denn er sagt, Laßt uns Menschen machen nach unserem Bilde. Wo bleibt hienach die Sonderlehre der Anomoier? Was wollen sie auf diese Rede sagen? Wie wollen sie nach dem was gesagt ist die Richtigkeit ihrer Glaubensansicht aufrecht erhalten? Wollen sie vielleicht behaupten daß es möglich sei, daß verschiedene Gestalten einem einzigen Bilde ähnlich nachgebildet wurden? Wenn der Sohn seiner Natur nach dem Vater unähnlich ist, wie beweist er dann die Einheit des Bildes in den verschiedenen Personen? Denn der welcher gesagt hat, Laßt uns machen nach unserem Bilde, und dadurch daß er sich in der Mehrzahl ausdrückte die heilige Dreieinigkeit angedeutet hat, würde des Bildes nicht in der Einzahl Erwähnung gethan haben, wenn die Urbilder sich unähnlich zu einander verhalten hätten. Es war ein Ding der Unmöglichkeit, wenn sie nicht übereinstimmten, nach ihnen eine Nachbildung herzustellen; vielmehr, wenn die Naturen verschieden waren, so würde er jedenfalls auch wohl verschiedene Bilder von ihnen hergestellt, und für eine jede ein ihr entsprechendes angefertigt haben. Allein da das Bild nur ein einziges ist, das Urbild dagegen nicht bloß ein einziges, wer sollte da wohl so unvernünftig sein, zu verkennen daß die welche Einem gleichen auch sich selbst untereinander gleichen müssen? Darum sagt das Wort, vielleicht um schon bei der Erschaffung

κίαν ταύτην ἐν τῇ κατασκευῇ τῆς ἀνθρωπίνης ζωῆς ὁ λόγος ὑποτεμνόμενος, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν.

Κεφ. ζ΄. Ἀλλὰ τί βούλεται τὸ τοῦ σχήματος ὄρθιον; τί δὲ οὐχὶ συμφυεῖς εἰσιν αἱ πρὸς τὸν βίον δυνάμεις τῷ σώματι, ἀλλὰ γυμνὸς μὲν τῶν φυσικῶν σκεπασμάτων, [1]ἄνοπλος δέ τις καὶ πένης ὁ ἄνθρωπος, καὶ τῶν πρὸς τὴν χρείαν ἐνδεὴς ἁπάντων ἐπὶ τὸν βίον παράγεται, ἐλεεῖσθαι μᾶλλον ἢ μακαρίζεσθαι κατὰ τὸ φαινόμενον ἄξιος; Οὐ προβολαῖς κεράτων καθωπλισμένος, οὐκ ὀνύχων ἀκμαῖς, οὐχ ὁπλαῖς, ἢ ὀδοῦσιν, ἤ τινι κέντρῳ θανατηφόρον ἰὸν ἐκ φύσεως ἔχοντι, οἷα δὴ τὰ πολλὰ τῶν ζώων ἐν ἑαυτοῖς πρὸς τὴν τῶν λυπούντων ἄμυναν κέκτηται, οὐ τῇ τῶν τριχῶν περιβολῇ τὸ σῶμα [2]κεκάλυπται. Καίτοιγε ἴσως τὸν εἰς ἀρχὴν τῶν ἄλλων προτεταγμένον οἰκείοις ὅπλοις ἔδει περιπεφράχθαι παρὰ τῆς φύσεως, ὡς ἂν μὴ τῆς παρ' ἑτέρων ἐπικουρίας πρὸς τὴν ἰδίαν ἀσφάλειαν δέοιτο. Νυνὶ δὲ λέων μὲν, καὶ σῦς, καὶ τίγρις, καὶ πάρδαλις, καὶ εἴ τι τοιοῦτον ἕτερον, ἀρκοῦσαν ἔχει πρὸς σωτηρίαν τὴν ἐκ φύσεως δύναμιν, καὶ τῷ ταύρῳ μὲν τὸ κέρας, καὶ τῷ λαγωῷ τὸ τάχος. καὶ τῇ δορκάδι τὸ πήδημα καὶ τὸ [3]κατὰ τὸν ὀφθαλμὸν ἀσφαλὲς, καὶ ἄλλῳ τινὶ ζώῳ τὸ μέγεθος, καὶ ἑτέροις ἡ προνομαία, καὶ τοῖς πετεινοῖς τὸ πτερὸν, καὶ τῇ μελίσσῃ τὸ κέντρον, καὶ πᾶσι πάντως ἕν τι εἰς σωτηρίαν παρὰ τῆς φύσεως ἐμπέφυκε. Μόνος δὲ πάντων ὁ ἄνθρωπος τῶν μὲν ταχυδρομούντων ἀργότερος, τῶν δὲ πολυσαρκούντων βραχύτερος, τῶν δὲ τοῖς συμφύτοις ὅπλοις ἠσφαλισμένων εὐαλωτότερος, καὶ πῶς, ἐρεῖ τις, ὁ τοιοῦτος τὴν ἀρχὴν τὴν κατὰ πάντων κεκλήρωται; Ἀλλ' οὐδὲν, οἶμαι, χαλεπὸν δεῖξαι ὅτι τὸ δοκοῦν ἐπιδεὲς τῆς φύσεως ἡμῶν ἀφορμὴ πρὸς τὸ κρατεῖν τῶν ὑποχειρίων ἐστίν. Εἰ γὰρ οὕτω δυνάμεως εἶχεν ὁ ἄνθρωπος ὡς τῇ μὲν ὠκύτητι παρατρέχειν τὸν ἵππον,
p. 57. ἄτριπτον δὲ ὑπὸ στεῤῥότητος ἔχειν τὸν πόδα, ὁπλαῖς τισιν

1) M. ἄοπλος. Doch hat die Baseler Ausg. richtig ἄνοπλος. — 2) M. καλύπτεται. — 3) M. κατ' ὀφθαλμόν.

des Menschen diese Schmährede zu entkräften. Laßt uns Menschen machen nach unserem Bilde, und unserem Gleichniß.

Kap. 7. Was bedeutet aber die aufrechte Gestalt? und warum sind nicht mit dem Körper zugleich die für das Leben nöthigen Kräfte angeboren, sondern wird der Mensch entblößt der natürlichen Bedeckungen, wehrlos und arm, und aller zu seiner Nothdurft nöthigen Dinge entbehrend in das Leben eingeführt, dergestalt daß er dem Anscheine nach mehr bemitleidet als glücklich gepriesen zu werden verdient? Er ist weder durch hervortretende Hörner, noch mit spitzigen Krallen, Hufen, oder Zähnen, oder durch einen von Natur mit todbringendem Gifte versehenen Stachel gewaffnet, Dinge welche ja die Mehrzahl der Thiere zum Schutz gegen ihre Beleidiger besitzt; nicht einmal in ein Kleid von Haaren ist der Körper eingehüllt. Dennoch müßte vielleicht gerade der welcher von Vorne herein zur Herrschaft über die Anderen bestimmt ist von der Natur mit eigenen Waffen gerüstet sein, damit er zu seiner Sicherheit nicht fremden Beistandes bedürfte. So haben doch Löwe, Eber, Tiger, Panther, und alle andere Thiere dieser Art, von Natur aus eine zu ihrer Sicherung ausreichende Kraft, und dem Stiere ist das Horn, dem Hasen die Schnelligkeit, der Gazelle die elastische Sprungkraft und die Sicherheit des Auges, einem anderen Thiere die Größe, wieder anderen der Rüssel, den Vögeln das Gefieder, der Biene der Stachel, und überhaupt allen von der Natur Etwas zu ihrer Sicherheit verliehen worden. Allein der Mensch ist langsamer als alle die schnellfüßigen, kleiner als alle die gewaltigen und massenhaften, leichter zu besiegen als alle die durch angeborene Waffen geschützten Thiere. Und wie, fragt man, hat er in diesem Zustande die Herrschaft über Alle erhalten können? Ich glaube ohne Schwierigkeit zeigen zu können daß das was in unserer Natur anscheinend Mangel ist, den Grund zur Herrschaft über die anderen Geschöpfe bildet. Denn hätte der Mensch eine solche Kraft daß er an Schnelligkeit das Pferd überträfe, begabt mit einem durch seine Härte unverletzbaren Fuß, ge-

ἢ χηλαῖς ἐρειδόμενον, κέρατα δὲ καὶ κέντρα καὶ ὄνυχας ἐν ἑαυτῷ φέρειν, πρῶτον μὲν θηριώδης τις ἂν ἦν, καὶ δυςάντητος, τοιούτων αὐτοῦ τῷ σώματι συμπεφυκότων, ἔπειτα δὲ παρεῖδεν ἂν τὴν [4] κατὰ τῶν ἄλλων ἀρχὴν, οὐδὲν τῆς συνεργίας τῶν ὑποχειρίων δεόμενος· νυνὶ δὲ τούτου χάριν ἐφ' ἕκαςον τῶν ὑπεζευγμένων ἡμῖν αἱ τοῦ βίου χρείαι κατεμερίσθησαν, ὡς ἀναγκαίαν ποιεῖν τὴν κατ' ἐκείνων ἀρχὴν. Τὸ μὲν [5] γὰρ βραδὺ τοῦ σώματος [6] ἡμῶν καὶ δυςκίνητον τὸν ἵππον τῇ χρείᾳ προςήγαγέ τε καὶ ἐδαμάσατο, ἡ δὲ τῆς σαρκὸς γυμνότης ἀναγκαίαν τὴν τῶν προβάτων ἐπιςασίαν ἐποίησεν, ἐκ τῆς ἐτησίου τῶν ἐρίων φορᾶς τῆς ἡμετέρας φύσεως ἀναπληροῦσαν τὸ λεῖπον. Τὸ δὲ τὰς ἀφορμὰς ἡμῖν τὰς πρὸς τὸν βίον καὶ ἐξ ἑτέρων εἰςάγεσθαι τὰ ἀχθοφόρα τῶν ζώων ταῖς τοιαύταις ὑπηρεσίαις ὑπέζευξεν. Ἀλλὰ μὴν τὸ μὴ δύνασθαι καθ' ὁμοιότητα τῶν βοσκημάτων ποηφαγεῖν ὑποχείριον τῷ βίῳ τὸν βοῦν ἀπειργάσατο, τοῖς ἰδίοις πόνοις τὴν ζωὴν ἡμῖν ἐξευμαρίζοντα. Ἐπεὶ δὲ καὶ ὀδόντων καὶ δήγματος ἦν [7] ἡμῖν χρεία πρὸς τὸ καταγωνίζεσθαί τινα τῶν ἄλλων ζώων διὰ τῆς τῶν ὀδόντων [8] λάβης, παρέσχεν ὁ κύων μετὰ τοῦ τάχους τὴν ἰδίαν γένυν τῇ ἡμετέρᾳ χρείᾳ, οἷόν τις ἔμψυχος μάχαιρα τῷ ἀνθρώπῳ [9] γινόμενος. Κεράτων δὲ προβολῆς καὶ ὀνύχων ἀκμῆς [10] ἰσχυρότερός τε καὶ τομώτερος ἐπινενόηται τοῖς ἀνθρώποις ὁ σίδηρος, οὐκ ἀεὶ συμπεφυκὼς ἡμῖν, ὥςπερ τοῖς θηρίοις ἐκεῖνα, ἀλλ' ἐπὶ καιροῦ συμμαχήσας τὸ λοιπὸν ἐφ' ἑαυτοῦ μένει. Καὶ ἀντὶ [11] τῆς κροκοδείλου φολίδος ἔςι μὲν καὶ αὐτὸν ἐκεῖνον ὅπλον ποιήσασθαι, κατὰ καιρὸν τὴν δορὰν περιθέμενον. Εἰ δὲ μὴ, σχηματίζεται καὶ πρὸς τοῦτο παρὰ τῆς τέχνης ὁ σίδηρος, ὃς ἐπὶ καιροῦ πρὸς τὸν πόλεμον ὑπηρετήσας πάλιν ἐλεύθερον τοῦ ἄχθους ἐπ' εἰρήνης τὸν ὁπλίτην κατέλιπεν. Ὑπηρετεῖ δὲ τῷ βίῳ καὶ τὸ πτερὸν τῶν ὀρνέων, ὡς μηδὲ τοῦ πτηνοῦ τάχους δι' ἐπινοίας ἡμᾶς ἀπολείπεσθαι. Τὰ

---

4) κατὰ fehlt bei M., steht aber in der Baseler Ausg. — 5) γὰρ fehlt bei M. — 6) ἡμῶν καὶ fehlt bei M. — 7) ἡμῖν fehlt bei M. —

schützt durch Hufe oder Klauen, und hätte dazu noch Hörner und Stachel und Krallen an sich, so würde er im natürlichen Besitz solcher körperlichen Waffen erstlich wie ein wildes und grausames Thier auftreten, ferner aber auch um die Herrschaft über die anderen sich gar nicht gekümmert haben, weil er des Beistandes der Untergebenen gar nicht bedurfte: so sind nun aber gerade um dessentwillen jedem einzelnen unserer Unterthanen gewisse Bedürfnisse von uns zur Befriedigung zuertheilt worden, wodurch wir die Herrschaft über sie zu einer Nothwendigkeit für uns gemacht haben. Die Langsamkeit und mindere Beweglichkeit unseres Körpers hat das Pferd unserem Gebrauche zugeführt und es gebändigt, die Blöße unseres Fleisches hat die Dienstbarkeit der Schafe nöthig gemacht, welche aus dem alljährlichen Ertrag der Wolle den Mangel unserer Natur ergänzt. Der Umstand daß die Mittel für unser Leben auch von anderswoher uns zugeführt werden, hat die lasttragenden Thiere diesen Dienstleistungen unterworfen. Daß wir nicht Gras wie das Vieh essen, hat den Ochsen unserem Dasein dienstbar gemacht, welcher durch seine Arbeit unser Leben erleichtert. Da wir nun auch Zähne und Gebiß zur Bekämpfung anderer Geschöpfe nöthig hatten, um sie zu erfassen, so hat der Hund mit seiner Schnelligkeit unserem Bedürfniß seine Kinnbacke geliehen, indem er für den Menschen zu einem lebendigen Messer wird. Als ein stärkeres und schärferes Vertheidigungsmittel als der Vorsprung der Hörner und die Schärfe der Krallen ist hat der Mensch sich das Eisen ersonnen, was uns nicht immer begleitet, wie jene Waffen die Thiere, sondern wenn es seiner Zeit uns seinen Beistand geliehen hat, im Weiteren für sich bleibt. Anstatt des Schuppenpanzers des Krokodils vermag er sich selbst die gleiche Rüstung herzustellen, und legt sich seiner Zeit das Lederwamms an, oder, wenn er das nicht will, wird von der Kunst das Eisen zu diesem Zwecke geformt, dient zeitweilig für den Krieg, und nimmt zur Zeit des Friedens dem damit Gewappneten wiederum seine Last ab. Auch das Gefieder der Vögel dient dem menschlichen Leben, so daß wir kraft unserer Erfindungsgabe nicht einmal hinter der Schnelligkeit dieser

8) M. βλάβης. — 9) M. γενόμενος. — 10) M. ἰσχυρώτερος. — 11) M. τῆς τοῦ κρ. φωλίδος.

ται καὶ τῇ περιβολῇ τῆς πορφυρίδος τὴν βασιλικὴν ἀξίαν συμπαραγράφουσι, καὶ λέγεται κατὰ συνήθειαν καὶ ἡ εἰκὼν βασιλεὺς, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις, ἐπειδὴ πρὸς ἀρχὴν τῶν ἄλλων κατεσκευάζετο, διὰ τῆς πρὸς τὸν βασιλέα τοῦ παντὸς ὁμοιότητος οἷόν τις ἔμψυχος εἰκὼν ἀνεςάθη, κοινωνοῦσα τῷ ἀρχετύπῳ καὶ τῆς ἀξίας καὶ τοῦ ὀνόματος, οὐ πορφυρίδα περικειμένη, οὐδὲ σκήπτρῳ καὶ διαδήματι τὴν ἀξίαν ἐπισημαίνουσα (οὐδὲ γὰρ τὸ ἀρχέτυπον ἐν τούτοις ἐςὶν), ἀλλ' ἀντὶ μὲν τῆς ἁλουργίδος τὴν ἀρετὴν ἠμφιεσμένη, ὃ δὴ πάντων βασιλικώτατον ἐσθημάτων ἐςίν, ἀντὶ δὲ τοῦ σκήπτρου τῇ μακαριότητι τῆς ἀθανασίας ἐρειδομένη, ἀντὶ δὲ τοῦ βασιλικοῦ διαδήματος τῷ τῆς δικαιοσύνης ςεφάνῳ κεκοσμημένη. Ὥςε διὰ πάντων ἐν τῷ τῆς βασιλείας ἀξιώματι δείκνυσθαι δι' ἀκριβείας πρὸς τὸ ἀρχέτυπον κάλλος ὁμοιωθεῖσαν.

Κεφ. ε'. Τὸ δὲ [1] δὴ θεῖον κάλλος οὐ σχήματί τινι, καὶ μορφῆς εὐμοιρίᾳ διά τινος εὐχροίας [2] ἐναγλαΐζεται, ἀλλ' ἐν ἀφράςῳ μακαριότητι κατ' ἀρετὴν θεωρεῖται. Ὥςπερ τοίνυν τὰς ἀνθρωπίνας μορφὰς διὰ χρωμάτων τινῶν ἐπὶ τοὺς πίνακας οἱ γραφεῖς μεταφέρουσι, τὰς οἰκείας τε καὶ καταλλήλους βαφὰς [3] ἐπαλείφοντες τῷ μιμήματι, ὡς ἂν δι' ἀκριβείας τὸ ἀρχέτυπον κάλλος μετενεχθείη πρὸς τὸ ὁμοίωμα, οὕτω μοι νόει καὶ τὸν ἡμέτερον πλάςην οἷόν τισι βαφαῖς τῇ τῶν ἀρετῶν ἐπιβολῇ πρὸς τὸ ἴδιον κάλλος τὴν εἰκόνα περιανθίσαντα ἐν ἡμῖν δεῖξαι τὴν ἰδίαν ἀρ-
p. 54. χήν. Πολυειδῆ δὲ καὶ ποικίλα τὰ οἱονεὶ χρώματα τῆς εἰκόνος, δι' ὧν ἡ ἀληθινὴ ἀναζωγραφεῖται μορφὴ, οὐκ [4] ἐρύθημα καὶ λαμπρότης, καὶ ἡ ποιὰ τούτων πρὸς ἄλληλα μίξις, οὐδέ τινος μέλανος ὑπογραφὴ ὀφρῦν τε καὶ [5] ὀφθαλμὸν ὑπαλείφουσα, καὶ κατά τινα κρᾶσιν τὰ κοῖλα τοῦ χαρακτῆρος ὑποσκιάζουσα, καὶ ὅσα τοιαῦτα ζωγράφων χεῖρες [6] ἐπετεχνάσαντο, ἀλλ' ἀντὶ τούτων καθαρότης,

1) δὴ fehlt bei M. — 2) M. ἀγλαΐζεται. — 3) M. ἀπαλείφοντες. — 4) M. ἐρύθρημα. — 5) M. ὀφθαλμούς. — 6) M. ἐπετεχνήσαντο.

liche Würde zugleich mit ausdrücken, und auch das Bild herkömmlicher Weise „König" genannt wird, so ist auch die menschliche Natur, nachdem sie zur Herrschaft über die Anderen geschaffen ward, wegen ihrer Aehnlichkeit mit dem König des Alls, gleichwie ein lebendiges Bild aufgestellt worden, und theilt mit seinem Urbild die Würde und den Namen. Zwar trägt sie kein Purpurkleid, hat kein Scepter und Diadem zum Abzeichen ihrer Würde, denn darin liegt nicht das Urbild: aber an Stelle des Purpurs trägt sie das Gewand der Tugend, und das ist doch das königlichste aller Gewänder, und anstatt des Scepters stützt sie sich auf das selige Glück der Unsterblichkeit, anstatt mit dem fürstlichen Diadem ist sie mit der Krone der Gerechtigkeit geschmückt. Sie führt also in allen Stücken der Würde ihres Königthums den Beweis daß sie die genaue Nachahmung der Schönheit ihres Urbildes ist.

Kap. 5. In der That prangt die göttliche Schönheit nicht in äußerer Anmuth und glücklicher Gestaltung durch ein liebliches Aussehen, sondern sie giebt sich in einer unbeschreiblichen Glückseligkeit innerer Vollkommenheit zu erkennen. Wie nun die Maler die menschlichen Gestalten mittelst einiger Farben auf die Gemälde übertragen, indem sie die passenden und entsprechenden Tinten ihrem Conterfei mit dem Pinsel auflegen, um so genau die Schönheit des Urbildes wiederzugeben, so denke dir auch daß unser Bildner die Tugenden gleichwie Farben in uns gelegt und das Abbild nach seiner eigenen Schönheit herrlich geschmückt habe, um dadurch seine eigene fürstliche Macht in uns nachzuweisen. Vielfach und mannichfaltig sind die Farben des Bildes, durch welches die Wahrheit des Urbildes wiedergegeben wird, nicht Roth und glänzendes Weiß, und die verhältnißmäßige Mischung beider, kein Untermalen der Brauen und des Auges mit Schwarz, welches in richtigem Verhältniß die tiefer liegenden Theile des Bildes düsterer schattirt, und was die Hände der Maler sonst Derartiges künstlich anzubringen pflegen, sondern Reinheit, Leidenschaftslosigkeit, Glückseligkeit, Freiheit von

ἀπάθεια, μακαριότης, κακοῦ παντὸς ἀλλοτρίωσις, καὶ ὅσα τοῦ τοιούτου γένους ἐςὶ, δι' ὧν μορφοῦται τοῖς ἀνθρώποις ἡ πρὸς τὸ θεῖον ὁμοίωσις. Τοιούτοις ἄνθεσιν ὁ δημιουργὸς τῆς ἰδίας εἰκόνος τὴν ἡμετέραν διεχάραξε φύσιν. Εἰ δὲ καὶ τὰ ἄλλα συνεξετάζοις δι' ὧν τὸ θεῖον κάλλος χαρακτηρίζεται, εὑρήσεις καὶ πρὸς ἐκεῖνα δι' ἀκριβείας σωζομένην ἐν τῇ καθ' ἡμᾶς εἰκόνι τὴν ὁμοιότητα. Νοῦς καὶ λόγος ἡ θειότης ἐςίν. Ἐν ἀρχῇ τε γὰρ ἦν ὁ
Joann. 1, 1. λόγος, καὶ [7] οἱ κατὰ Παῦλον νοῦν Χριςοῦ ἔχουσι, τὸν ἐν
1 Cor. 2, 16. αὐτοῖς λαλοῦντα. Οὐ πόῤῥω τούτων καὶ τὸ ἀνθρώπινον.
2 Cor. 13, 3. Ὁρᾷς ἐν σεαυτῷ καὶ τὸν λόγον, καὶ [8] τὴν διάνοιαν, μίμημα τοῦ ὄντως νοῦ τε καὶ λόγου. Ἀγάπη πάλιν ὁ θεὸς,
Joann. 4, 7. 8. καὶ ἀγάπης πηγή· τοῦτο γάρ φησιν Ἰωάννης ὁ μέγας, ὅτι [9] ἡ ἀγάπη ἐκ τοῦ θεοῦ, καὶ ὁ θεὸς ἀγάπη ἐςί. Τοῦτο καὶ ἡμέτερον πεποίηται πρόσωπον ὁ τῆς φύσεως πλάςης. Ἐν τούτῳ γὰρ, φησὶ, γνώσονται πάντες ὅτι μαθηταί μού
Joann. 13, 35. ἐςε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Οὐκοῦν μὴ παρούσης ταύτης ἅπας ὁ χαρακτὴρ τῆς εἰκόνος μεταπεποίηται. Πάντα ἐπιβλέπει, καὶ πάντα ἐπακούει τὸ θεῖον, καὶ πάντα διερευνᾶται. Ἔχεις καὶ σὺ τὴν δι' ὄψεως καὶ ἀκοῆς τῶν ὄντων ἀντίληψιν, καὶ τὴν ζητητικήν τε καὶ διερευνητικὴν τῶν ὄντων διάνοιαν.

Κεφ. ς'. Καί με μηδεὶς οἰέσθω καθ' ὁμοιότητα τῆς ἀνθρωπίνης ἐνεργείας ἐν διαφόροις δυνάμεσι τὸ θεῖον λέ-
p. 55. γειν τῶν ὄντων ἐφάπτεσθαι. Οὐ γάρ ἐςι δυνατὸν ἐν τῇ ἁπλότητι τῆς [1] θεότητος τὸ ποικίλον τε καὶ πολυειδὲς τῆς ἀντιληπτικῆς ἐνεργείας κατανοῆσαι. Οὐδὲ γὰρ ἡμῖν πολλαί τινές εἰσιν αἱ ἀντιληπτικαὶ τῶν πραγμάτων δυνάμεις, εἰ καὶ πολυτρόπως διὰ τῶν αἰσθήσεων τῶν [2] κατὰ τὴν ζωὴν ἐφαπτόμεθα. Μία γάρ τίς ἐςι δύναμις, αὐτὸς ὁ ἐγκείμενος νοῦς, ὁ δι' ἑκάςου τῶν αἰσθητηρίων διεξιὼν, καὶ τῶν ὄντων ἐπιδρασσόμενος. Οὗτος θεωρεῖ διὰ τῶν ὀφθαλμῶν τὸ φαινόμενον, οὗτος [3] συνίησι διὰ τῆς ἀκοῆς τὸ λεγόμενον, ἀγαπᾷ τε τὸ [4] καταθύμιον καὶ τὸ μὴ καθ'

---

7) οἱ προφῆται κατὰ hat M., προφῆται fehlt in der Baseler Ausg.

allem Uebel und alles andere Derartige ist es wodurch die Menschen Gott ähnlich gestaltet werden. Mit solcher Farbenpracht hat der Schöpfer seines Bildes unsere Natur gezeichnet. Forschest du aber auch nach den anderen Zügen der göttlichen Schönheit, so wirst du auch in Bezug auf sie die Aehnlichkeit unseres Bildes genau bewahrt finden. Verstand und Vernunft sind göttliches Wesen. Denn im Anfang war das Wort, das ist die Vernunft, und Paulus hat Christi Verstand, welcher in ihm redet. Nicht allzu verschieden davon steht es mit dem Menschen. Du bemerkst in Dir ebenfalls Vernunft und Denkkraft, eine Nachbildung des wahrhaften Verstandes und der Urvernunft. Gott ist ferner Liebe und Quelle der Liebe; denn das sagt der große Johannes, daß die Liebe aus Gott stammt, und Gott die Liebe ist. Das hat der Bildner unserer Natur auch in unser Antlitz gelegt. Denn an dem, sagt er, werden Alle erkennen daß Ihr meine Schüler seid, wenn Ihr Euch unter einander liebt. Ist also diese nicht vorhanden, so ist das ganze Gepräge des Bildes verändert. Alles überschaut und Alles hört die Gottheit, und Alles durchforscht sie. Auch Du hast vermittelst Deines Gesichts und Gehörs Verständniß von dem was ist, und hast die Denkkraft welche die Dinge untersucht und durchforscht.

Kap. 6. Niemand glaube aber daß ich damit die Behauptung aufstellen will daß die Gottheit nach Art der menschlichen Thätigkeit mit verschiedenen Kräften wirke. Denn es ist unmöglich bei der Einfachheit des göttlichen Wesens an eine Mannichfaltigkeit und Vielfachheit seines Wirkens zu denken. Sind doch auch wir nicht einmal bei unserem Handeln mit einer Vielheit der Geisteskräfte thätig, wenn gleich wir durch die Sinneswerkzeuge die Dinge im Leben auf vielfache Weise auffassen. Es giebt nämlich nur eine einzige Kraft, und diese ist eben das uns innewohnende Denkvermögen, welches jedes Sinneswerkzeug durchdringt und die Dinge erfaßt. Dieses schaut vermittelst der Augen was sich ihm darbietet, dieses vernimmt vermittelst des Gehörs was gesprochen wird, findet Gefallen an dem

— 8) τὴν fehlt bei M., in der Baseler Ausg. steht es. — 9) ἡ fehlt bei M.
1) M. θειότητος. — 2) M. κατὰ ζωὴν ἐφαπτώμεθα. — 3) M. συνιεῖ. — 4) M. κατευθύμιον.



ἄψυχον ὕλην οἷον ὑποβάθραν τινὰ τῆς τῶν ἐμψύχων ἰδέας τὴν φυσικὴν ταύτην ζωὴν συςῆναι λέγει ὁ νομοθέτης ἐν
p. 60. τῇ τῶν φυτῶν βλάςῃ προϋποςᾶσαν. Εἶθ' οὕτως ἐπάγει τῶν κατ' αἴσθησιν διοικουμένων τὴν γένεσιν, καὶ ἐπειδὴ κατὰ τὴν αὐτὴν ἀκολουθίαν τῶν διὰ σαρκὸς τὴν ζωὴν εἰληχότων τὰ μὲν αἰσθητικὰ, καὶ δίχα τῆς νοερᾶς φύσεως ἐφ' ἑαυτῶν εἶναι δύναται, τὸ δὲ λογικὸν οὐκ ἂν ἑτέρως γένοιτο ἐν σώματι, εἰ μὴ τῷ αἰσθητῷ συγκραθείη, διὰ τοῦτο τελευταῖος μετὰ τὰ βλαςήματα καὶ τὰ βοτὰ κατεσκευάσθη ὁ ἄνθρωπος, ὁδῷ τινι πρὸς τὸ τέλειον ἀκολούθως προϊούσης τῆς φύσεως. Διὰ πάσης γὰρ ἰδέας τῶν ψυχῶν κατακιρνᾶται τὸ λογικὸν τοῦτο ζῶον, ὁ ἄνθρωπος. Τρέφεται μὲν γὰρ κατὰ τὸ φυσικὸν τῆς ψυχῆς εἶδος, τῇ δὲ αὐξητικῇ δυνάμει ἡ αἰσθητικὴ προςεφύη, μέσως ἔχουσα κατὰ τὴν ἰδίαν φύσιν τῆς τε νοερᾶς καὶ τῆς ὑλωδεςέρας οὐσίας, τοσούτῳ παχυμερεςέρα ταύτης ὅσῳ καθαρωτέρα ἐκείνης. Εἶτά τις γίνεται πρὸς τὸ λεπτὸν καὶ φωτοειδὲς τῆς αἰσθητικῆς φύσεως ἡ τῆς νοερᾶς οὐσίας οἰκείωσίς τε καὶ ἀνάκρασις, ὡς ἐν τρισὶ τούτοις τὸν ἄνθρωπον τὴν σύςασιν ἔχειν· καθὼς καὶ παρὰ τοῦ ἀποςόλου τὸ τοιοῦτον ἐμάθομεν ἐν οἷς πρὸς τοὺς
1 Thessal. 5, 23. Ἐφεσίους ἔφη, [8] ἐπευχόμενος αὐτοῖς τὴν ὁλοτελῆ χάριν τοῦ σώματος καὶ τῆς ψυχῆς καὶ τοῦ πνεύματος ἐν τῇ παρουσίᾳ τοῦ κυρίου φυλαχθῆναι, ἀντὶ τοῦ θρεπτικοῦ μέρους τὸ σῶμα λέγων, τὸ δὲ αἰσθητικὸν τῇ ψυχῇ διασημαίνων, τὸ νοερὸν δὲ τῷ πνεύματι. Ὡςαύτως καὶ τὸν γραμματέα διὰ τοῦ εὐαγγελίου παιδεύει ὁ κύριος πάσης ἐντολῆς προτιθέναι τὴν εἰς θεὸν ἀγάπην, τὴν ἐξ ὅλης καρδίας καὶ ψυχῆς καὶ διανοίας ἐνεργουμέ-
Marc. 12, 13. νην. Καὶ γὰρ ἐνταῦθα τὴν αὐτὴν δοκεῖ μοι διαφορὰν ἑρμηνεύειν ὁ λόγος, τὴν μὲν σωματικωτέραν κατάςασιν καρδίαν εἰπὼν, ψυχὴν δὲ τὴν μέσην, διάνοιαν δὲ τὴν ὑψηλοτέραν φύσιν, τὴν νοεράν τε καὶ [9] διανοητικὴν δύναμιν.

---

8) M. προςευχόμενος. — 9) M. ποιητικὴν.

leblosen Materie zunächst als eine Grundlage der Gattung der belebten Geschöpfe dieses physische, das heißt natürliche, Leben, welches in dem Triebe der Pflanzen schon vor jener auftrat, erschaffen worden sei. Dann läßt er die Schöpfung der durch sinnliche Thätigkeit geleiteten Geschöpfe eintreten, und da ingleichen von den Geschöpfen welche ein fleischliches Leben erhalten haben ein Theil ohne geistige Natur, bloß mit einer sinnlichen Thätigkeit ausgerüstet, für sich wohl bestehen, die Vernunft dagegen in dem Körper auf keine andere Weise Wohnung aufschlagen kann als im innigen Verein mit dem sinnlichen Gefühl, darum ward der Mensch nach den Pflanzen und Thieren zuletzt geschaffen, indem die Natur in folgerechtem Entwicklungsgang der Vollendung entgegenschritt. Denn dieses vernünftige Geschöpf, der Mensch, setzt sich aus jeder Art von Leben zusammen. Erstlich ernährt er sich wie die physische Lebensgattung; dann verband sich mit der Fähigkeit zu wachsen auch noch die sinnliche Kraft, welche ihrer Natur nach in der Mitte zwischen der Denkkraft und der rohen Materie steht, und in dem Grade schwerfälliger und unempfindlicher gegenüber der einen dasteht als sie an Reinheit die andere übertrifft, und endlich tritt die innige Vermischung und Verschmelzung der denkkraftbegabten Substanz mit der feinen und lichten sinnlichen Natur ein. So trägt also der Mensch diese dreifache Zusammensetzung in sich; wie wir dies auch aus den Worten des Apostels welche er an die Ephesier richtet ersehen können, wo er bittet daß sie die volle Reinheit des Leibes und der Seele und des Geistes bis zur Ankunft des Herrn bewahren mögen. Hier nennt er nämlich den Theil der Ernährung Körper, und bezeichnet den sinnlichen durch Seele, den denkenden durch Geist. Ebenso lehrt der Herr im Evangelium die Schriftgelehrten höher als jedes Gebot die Liebe zu Gott zu achten, welche aus ganzem Herzen, aus ganzer Seele und aus ganzem Gemüthe wirksam sein solle. Denn auch hier scheint die Schrift denselben Unterschied klar zu machen, und die körperliche Verfassung mit Herz, die in der Mitte stehende mit Seele, und die höhere Natur, welche denkt und erkennt, mit Ge-

Ὅθεν καὶ τρεῖς διαφορὰς [10] προαιρέσεων ὁ ἀπόςολος οἶδε, τὴν μὲν σαρκικὴν κατονομάζων, ἣ περὶ γαςέρα καὶ τὰς περὶ ταύτην ἡδυπαθείας ἠσχόληται, τὴν δὲ ψυχικὴν, ἣ μέσως πρὸς ἀρετὴν καὶ κακίαν ἔχει, τῆς μὲν ὑπερανεςῶσα,
p. 61. τῆς δὲ καθαρῶς οὐ μετέχουσα, τὴν δὲ πνευματικὴν, ἣ τὸ τέλειον ἐνθεωρεῖ τῆς κατὰ θεὸν πολιτείας. Διό φησι
1 Cor. 3, 3. πρὸς Κορινθίους, τὸ ἀπολαυςικὸν αὐτῶν καὶ ἐμπαθὲς ὀνειδίζων, ὅτι, Σάρκινοί ἐςε, καὶ τῶν τελειοτέρων δογμά-
1 Cor. 2, 14. 15. των ἀχώρητοι· ἑτέρωθι δὲ σύγκρισίν τινα τοῦ μέσου πρὸς τὸ τέλειον ποιούμενος λέγει, Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος, μωρία γὰρ αὐτῷ ἐςιν· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται. Ὡς οὖν ἀναβέβηκεν ὁ ψυχικὸς τὸ σαρκικὸν, κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ ὁ πνευματικὸς τούτου ὑπερανέςηκεν. Εἰ οὖν τελευταῖον μετὰ πᾶν ἔμψυχον ἡ γραφὴ γεγενῆσθαι λέγει τὸν ἄνθρωπον, οὐδὲν ἕτερον ἢ φιλοσοφεῖ τὰ περὶ ψυχῆς ἡμῖν ὁ νομοθέτης, ἐπ᾽ ἀναγκαίᾳ τινι τῇ [11] τῆς τάξεως ἀκολουθία τὸ τέλειον ἐν τελευταίοις βλέπων. Ἐν μὲν γὰρ τῷ λογικῷ καὶ τὰ λοιπὰ περιείληπται, ἐν δὲ τῷ αἰσθητικῷ καὶ τὸ φυσικὸν εἶδος πάντως ἐςίν· ἐκεῖνο δὲ περὶ τὸ ὑλικὸν θεωρεῖται μόνον. Οὐκοῦν εἰκότως, καθάπερ διὰ βαθμῶν ἡ φύσις, τῶν τῆς ζωῆς λέγω ἰδιωμάτων, ἀπὸ τῶν μικροτέρων ἐπὶ τὸ τέλειον ποιεῖται τὴν ἄνοδον. Ἐπειδὴ τοίνυν λογικόν τι ζῶόν ἐςιν ὁ ἄνθρωπος, κατάλληλον ἔδει τῇ χρείᾳ τοῦ λόγου κατασκευασθῆναι τὸ τοῦ σώματος ὄργανον. Καθάπερ τοὺς μουσικοὺς ἔςιν ἰδεῖν πρὸς τὸ τῶν ὀργάνων εἶδος τὴν μουσικὴν ἐκπονοῦντας, καὶ οὔτε διὰ βαρβίτων αὐλοῦντας, οὔτε ἐν αὐλοῖς κιθαρίζοντας, κατὰ τὸν αὐτὸν τρόπον ἔδει τῷ λόγῳ κατάλληλον εἶναι τὴν τῶν ὀργάνων κατασκευὴν, ὡς ἂν προςφυῶς ἐνηχοίη πρὸς τὴν τῶν ῥημάτων χρείαν ὑπὸ

---

10) M. προαιρέσεως. — 11) τῆς fehlt bei M.

müth zu bezeichnen. Daher kennt der Apostel auch drei Unterschiede der Art zu leben, deren eine er die fleischliche nennt, welche dem Bauch und seinem Genuß ergeben ist, die psychische oder natürliche, welche zwischen dem Guten und dem Bösen in der Mitte steht, das eine zwar überragend, des anderen jedoch nicht mit völliger Reinheit theilhaftig, und die geistliche, welche ihren Blick auf den vollendeten Wandel in Gott gerichtet hält. Darum spricht er zu den Corinthiern, indem er ihre Genußsucht und sinnliche Abhängigkeit ihnen vorrückt, Fleischlich seid Ihr, und vermöget nicht die vollkommenere Lehre zu fassen; und an einem anderen Orte stellt er einen Vergleich zwischen dem Mittelzustande mit dem der Vollkommenheit an, und sagt, Der natürliche Mensch aber vernimmt Nichts von den Dingen Gottes, denn sie sind ihm eine Thorheit; der geistliche aber richtet Alles, er selbst aber wird von Niemand gerichtet. Wie nun also das Natürliche über dem Fleischlichen steht, ebenso übertrifft der geistliche Mensch den fleischlichen. Erzählt demnach die Schrift daß der Mensch von allen lebenden Wesen zuletzt geschaffen worden sei, so ist dies eben nichts Anderes als ein tiefes Wort des Gesetzgebers an uns über das Wesen der Seele, in welchem er nach einem Gesetz der nothwendigen und folgerichtigen Entwicklung die Vollkommenheit in dem Letzten sieht. Denn in der vernunftbegabten Natur sind die übrigen zugleich mit vereint, sowie in der sinnlichen jedenfalls auch die natürliche oder physische enthalten ist, während diese in der Materie uns allein entgegentritt. Demnach macht die Natur in richtiger Weise, wie auf einer Stufenleiter, womit ich eben diese Lebenseigenthümlichkeiten meine, einen Fortschritt von dem Geringeren zu dem Vollkommenen. Da nun der Mensch ein vernünftiges und sprachbegabtes Wesen ist, so müßte der Organismus des Körpers entsprechend dem Bedürfniß der Vernunft und der Sprache erschaffen werden. Gleichwie wir die Musiker je nach der Art ihrer Instrumente ihre Kunst zur Ausführung bringen, und weder die Leier wie eine Flöte, noch die Flöte wie eine Zither gebrauchen sehen, ebenso mußte hier die Einrichtung der Werkzeuge der Sprache angemessen sein, damit sie von den redenden Theilen dem Gebrauche der Wörter entsprechend zum Ausdruck gebracht, in richtigen Klängen

τῶν φωνητικῶν μορίων τυπούμενος. Διὰ τοῦτο συνηρτήθησαν αἱ χεῖρες τῷ σώματι. Εἰ γὰρ καὶ μυρίας ἔςιν ἀπαριθμήσασθαι τὰς κατὰ τὸν βίον χρείας πρὸς ἃς τὰ εὐμήχανα ταῦτα καὶ πολυαρκῆ τῶν χειρῶν ὄργανα χρησίμως ἔχει πρὸς πᾶσαν τέχνην, καὶ πᾶσαν ἐνέργειαν [12]τῶν κατὰ πόλεμόν τε καὶ εἰρήνην εὐαφῶς μετιόντα, [13]ἀλλά γε πρὸ τῶν ἄλλων διαφερόντως τοῦ λόγου χάριν προςέθηκεν αὐτὰς ἡ φύσις τῷ σώματι. Εἰ γὰρ ἄμοιρος τῶν χειρῶν ὁ ἄνθρωπος ἦν, πάντως ἂν αὐτῷ καθ' ὁμοιότητα τῶν τετραπόδων καταλλήλως τῇ τῆς τροφῆς χρείᾳ διε-
p. 62. σκεύαςο τοῦ προςώπου τὰ μόρια, ὥςε προμήκη τε τὴν μορφὴν εἶναι, καὶ ἐπὶ μυκτῆρας ἀπολεπτύνεσθαι, καὶ προβεβλῆσθαι τὰ χείλη τοῦ ςόματος [14]τυλώδη καὶ ςαθερὰ καὶ παχέα, πρὸς τὴν ἀναίρεσιν τῆς πόας ἐπιτηδείως ἔχοντα, ἐγκεῖσθαι δὲ τοῖς ὀδοῦσι τὴν γλῶσσαν ἄλλην τινὰ τοιαύτην, πολύσαρκον, καὶ ἀντιτυπῆ καὶ τραχεῖαν, καὶ συγκατεργαζομένην τοῖς ὀδοῦσι τὸ [15]ὑπ' ὀδόντα γινόμενον, ἢ ὑγράν τε καὶ διακεχυμένην κατὰ τὰ πλάγια, οἵα ἡ τῶν κυνῶν τε καὶ τῶν λοιπῶν τῶν ὠμοβόρων ἐςί, τῷ καρχάρῳ τῶν ὀδόντων μεταξὺ τῶν διαςημάτων ἐνδιαῤῥέουσα. Εἰ οὖν μὴ παρῆσαν αἱ χεῖρες τῷ σώματι, πῶς ἂν ἔναρθρος τούτῳ ἐνετυπώθη φωνή, τῆς κατασκευῆς τῶν κατὰ τὸ ςόμα μορίων οὐ συνδιασχηματιζομένης πρὸς τὴν χρείαν τοῦ φθόγγου; ὡς ἐπάναγκες εἶναι ἢ βληχᾶσθαι πάντως, ἢ μηκάζειν, ἢ ὑλακτεῖν, ἢ χρεμετίζειν τὸν ἄνθρωπον, ἢ βουσὶν, ἢ ὄνοις βοᾶν παραπλήσιον, ἤ τινα θηριώδη μυκηθμὸν ἀφιέναι. Νυνὶ δὲ τῆς χειρὸς ἐντεθείσης τῷ σώματι, εὔσχολόν ἐςι τὸ ςόμα τῇ ὑπηρεσίᾳ τοῦ λόγου. Οὐκοῦν ἴδιον τῆς λογικῆς φύσεως αἱ χεῖρες ἀναπεφήνασιν, οὕτω τοῦ πλάςου διὰ τούτων ἐπινοήσαντος τῷ λόγῳ τὴν εὐκολίαν.

Κεφ. θ'. Ἐπειδὴ τοίνυν θεοειδῆ τινα χάριν τῷ πλάσματι ἡμῶν ὁ ποιήσας δεδώρηται, τῶν ἰδίων ἀγαθῶν ἐνθεὶς τῇ εἰκόνι τὰς ὁμοιότητας, διὰ τοῦτο τὰ μὲν λοιπὰ

12) M. τόν. — 13) M. ἀλλὰ καί. — 14) τυλλώδη. — 15) M. ὑπὸ τὸν ὀδόντα.

sich kund geben könnte. Darum sind die Hände dem Körper beigefügt worden. Denn wenngleich man zehntausenderlei Fälle ihres Dienstes für das Leben aufzuzählen vermöchte, wo dieses geschickte und vielfach brauchbare Werkzeug unserer Hände seinen Nutzen für jede Art von Kunst bewährt, und ebenso jeder Art von Thätigkeit des Krieges wie des Friedens sich mit Gewandtheit unterzieht, so hat die Natur vor Allem doch vorzugsweise um der Rede willen sie dem Körper beigegeben. Denn wenn der Mensch die Hände nicht hätte, so würden seine Gesichtstheile, wie es das Bedürfniß nach Nahrung verlangt, jedenfalls so eingerichtet worden sein wie es bei den Vierfüßlern der Fall ist, so daß seine Gestalt sich nach vorn strecken und sich in eine Schnauze zuspitzen, die Lippen des Mundes aber sich aufwerfen und schwielenartig, unbeweglich und dick werdeu würden, um zum Rupfen des Grases geschickt zu sein; es würden* dann die Zähne auch eine andere Zunge einschließen, fleischig, fest und rauh, und derartig daß sie im Verein mit den Zähnen das unter das Gebiß Gekommene zu verarbeiten im Stande wäre, oder auch eine geschmeidige und nach den Seiten hin fügsame, wie die der Hunde und der anderen fleischfressenden Thiere, bei welchen sie sich zwischen dem scharfen Gebiß in der Mitte der Zahnreihen gelenksam dahinschmiegt. Fehlten also dem Körper die Hände, wie hätte dann seine Stimme sich artikuliert ausdrücken können, da ja die Theile des Mundes nicht die nach dem Bedürfniß des Lautes richtige Form zulassen würden? Sonach müßte der Mensch nothwendiger Weise entweder blöken, oder meckern, oder bellen, oder wiehern, oder wie Ochsen und Esel schreien, oder irgend welches andere thierische Gebrüll ausstoßen. Da nun aber Hände am Körper angebracht sind, hat der Mund Muße für den Dienst der Sprache. So haben sich uns die Hände als eine Eigenthümlichkeit der sprachbegabten Natur erwiesen, und so hat ihr Bildner durch sie der Sprache ihre Leichtigkeit verliehen.

Kap. 9. Es hat unser Schöpfer, als er seinem Gebilde göttliche Schönheit verlieh, weil er die Nachahmungen seiner Vollkommenheiten in sein Ebenbild legte, der menschlichen Natur die übri-

τῶν ἀγαθῶν ἔδωκεν ἐκ φιλοτιμίας τῇ ἀνθρωπίνῃ φύσει, νοῦ δὲ καὶ φρονήσεως οὐκ ἔςι κυρίως εἰπεῖν ὅτι δέδωκεν, ἀλλ' ὅτι μετέδωκε, τὸν ἴδιον αὐτοῦ τῆς φύσεως κόσμον ἐπιβαλὼν τῇ εἰκόνι. Ἐπεὶ οὖν νοερόν τι χρῆμα καὶ ἀσώματόν ἐςιν ὁ νοῦς, ἀκοινώνητον ἂν ἔσχε τὴν χάριν καὶ ἄμικτον, μὴ διά τινος ἐπινοίας φανερουμένης αὐτοῦ τῆς
p. 63. κινήσεως. Τούτου χάριν τῆς ὀργανικῆς ταύτης προςεδεήθη κατασκευῆς, ἵνα πλήκτρου δίκην τῶν φωνητικῶν μορίων ἁπτόμενος διὰ τῆς ποιᾶς τῶν φθόγγων τυπώσεως ἑρμηνεύσῃ τὴν ἔνδοθεν κίνησιν. Καὶ ὥςπερ [1] εἴ τις μουσικῆς ἔμπειρος ὢν [2] ἰδίαν ἐκ πάθους μὴ ἔχοι φωνὴν, βουλόμενος δὲ φανερὰν ποιῆσαι τὴν ἐπιςήμην, ἀλλοτρίαις ἐμμελῳδοίη φωναῖς, δι' αὐλῶν ἢ λύρας δημοσιεύων τὴν τέχνην, οὕτω καὶ ὁ ἀνθρώπινος νοῦς παντοδαπῶν νοημάτων εὑρετὴς ὢν, τῷ μὴ δύνασθαι [3] τοῖς διὰ σωματικῶν αἰσθήσεων [4] ἐπαΐουσι γυμνῇ τῇ ψυχῇ δεικνύειν τὰς τῆς διανοίας ὁρμὰς, καθάπερ τις ἁρμοςὴς ἔντεχνος τῶν ἐμψύχων τούτων ὀργάνων ἁπτόμενος διὰ τῆς ἐν τούτοις ἠχῆς φανερὰ ποιεῖ τὰ κεκρυμμένα νοήματα. Σύμμικτος δέ τις ἡ μουσικὴ περὶ τὸ ἀνθρώπινον ὄργανον αὐλοῦ καὶ λύρας, ὥςπερ ἐν συνῳδίᾳ τινι κατὰ ταὐτὸν ἀλλήλοις συμφθεγγομένων. Τὸ μὲν γὰρ πνεῦμα διὰ τῆς ἀρτηρίας ἀπὸ τῶν πνευματοδόχων ἀγγείων ἀνωθούμενον, ὅταν ἡ ὁρμὴ τοῦ φθεγγομένου πρὸς φωνὴν τονώσῃ τὸ μέρος, ταῖς ἔνδοθεν προςαρασσόμενον προςβολαῖς, αἳ κυκλοτερῶς τὸν αὐλοειδῆ τοῦτον διειλήφασι πόρον, μιμεῖταί πως τὴν διὰ τοῦ αὐλοῦ γινομένην φωνὴν, ταῖς ὑμενώδεσιν ἐξοχαῖς ἐν κύκλῳ περιδονούμενον. Ὑπερῷα δὲ τὸν κάτωθεν φθόγγον ἐκδέχεται τῷ κατ' αὐτὴν κενώματι, διδύμοις αὐλοῖς τοῖς ἐπὶ τοὺς μυκτῆρας διήκουσι, καὶ οἷον λεπίδων τισὶν ἐξοχαῖς, τοῖς περὶ τὸν ἠθμὸν χόνδροις, τὴν φωνὴν περισχίζουσα γεγωνοτέραν τὴν ἠχὴν ἀπεργάζεται. Παρειὰ δὲ, καὶ γλῶσσα, καὶ ἡ περὶ τὸν φάρυγγα διασκευὴ, καθ' ἣν ὁ ἀνθερεὼν

1) εἰ fehlt bei M. — 2) M. ἂν ἰδίαν. — 3) Bei M. fehlt τοῖς. — 4) M. ἐπαϊούσῃ τῇ ψυχῇ.

gen dieser Vollkommenheiten in reiner Gnade seiner Freigebigkeit zuertheilt, von der Denkkraft aber und der Einsicht kann man nicht eigentlich sagen daß er sie zuertheilt als vielmehr daß er den Schmuck der eigenen Natur seinem Ebenbilde mitgetheilt und es damit bekleidet habe. Ist nun die Denkkraft ein intellectuales und körperloses Ding, so würde das Ebenbild im Besitze der Gnadengabe ohne die Möglichkeit der Mittheilung und des Austausches gewesen sein, wenn nicht ein Mittel gefunden war wodurch ihr lebendiges Schaffen sich offenbar machen könnte. Darum bedurfte sie dieser organischen Einrichtung, daß sie nach Art eines Plektrons sich mit den Stimmorganen in Verbindung setzend durch den so oder so beschaffenen Ausdruck und die Fassung der Töne ihre innere Thätigkeit kund zu geben vermöchte. Gleichwie ein Musikverständiger, wenn er in Folge eines Leidens keine eigene Stimme besitzt, und doch seine Kunst zeigen will, fremden Stimmen seine Lieder leiht und durch Flöten und Leier diese Kunst in die Oeffentlichkeit bringt, so setzt sich auch der menschliche Geist, der Erfinder von allerlei Gedanken, weil er nicht die Möglichkeit hat denen die bloß durch körperliche Empfindungen zu einem Verständniß gelangen durch die nackte Seele seine Gedanken kundzugeben, wie ein kunsterfahrener Spieler, mit diesen lebendigen Werkzeugen in Verbindung und macht durch ihren Klang die geheimen Gedanken offenbar. Die Musik des menschlichen Organs ist eine Mischung von Flöte und Leier, wenn sie harmonisch in einander klingen. Denn wenn der Wille des Sprechenden den durch die inneren Bewegungen, welche den wie bei der Flöte kreisförmig gewundenen Weg umspielen, angestoßenen Körpertheil zur Stimme anspannt, so wird Luft aus den den Athem haltenden Gefäßen durch die Luftröhre emporgestoßen, und gleicht einigermaßen dem Ton der Flöte, indem er durch eine Art von hervorspringenden Häutchen im Kreise herumgewirbelt wird. Der Gaumen nimmt nun den von Unten heraufdringenden Laut in seine Höhlung auf, in den doppelten zur Nase führenden Kanal, und indem er durch die hervorstehenden fast schuppenartigen Theile, nämlich den um das Sieb herumsitzenden Knorpel, die Stimme zertheilt, bewirkt er dadurch einen helleren Ton. Wange aber, und Zunge und der Bau der Kehle, bei welcher das Kinn in

ὑποχαλᾶται κοιλαινόμενος, καὶ ὀξυτονῶν ἐπιτείνεται, ταῦτα πάντα τὴν ἐν ταῖς νευραῖς τοῦ πλήκτρου κίνησιν ὑποκρίνεται ποικίλως καὶ πολυτρόπως, ἐπὶ καιροῦ σὺν πολλῷ τῷ τάχει μεθαρμόζοντα πρὸς τὴν χρείαν τοὺς τόνους. Χειλέων δὲ διαςολὴ καὶ ἐπίμυσις ταὐτὸν ποιεῖ τοῖς διὰ τῶν δακτύλων ἐπιλαμβάνουσι τοῦ αὐλοῦ τὸ πνεῦμα [5]κατὰ τὴν ἁρμονίαν τοῦ μέλους.

p. 64. Κεφ. ι΄. Οὕτω τοίνυν τοῦ νοῦ διὰ τῆς ὀργανικῆς ταύτης κατασκευῆς ἐν ἡμῖν μουσουργοῦντος τὸν λόγον λογικοὶ γεγόναμεν, οὐκ ἂν, ὡς οἶμαι, ἔχοντες τὴν τοῦ λόγου χάριν, εἰ τὸ βαρύ τε καὶ ἐπίπονον τῆς κατὰ τὴν βρῶσιν [1]λατρείας χείλεσι τῇ χρείᾳ τοῦ σώματος ἐπορίζομεν. Νυνὶ δὲ τὴν τοιαύτην λειτουργίαν αἱ χεῖρες εἰς ἑαυτὰς μετενέγκασαι εὔθετον τῇ ὑπηρεσίᾳ τοῦ λόγου τὸ ςόμα κατέλιπον. Διπλῆ δὲ περὶ τὸ ὄργανον ἡ ἐνέργεια, ἡ μὲν πρὸς ἐργασίαν ἠχῆς, ἡ δὲ πρὸς ὑποδοχὴν τῶν ἔξωθεν νοημάτων. Καὶ οὐκ ἐπιμίγνυται πρὸς τὴν ἑτέραν ἡ ἄλλη, ἀλλὰ παραμένει τῇ ἐνεργείᾳ, ἐφ᾽ ᾗ ἐτάχθη παρὰ τῆς φύσεως, οὐκ ἐνοχλοῦσα τῇ γείτονι, οὔτε τῆς ἀκοῆς λαλούσης, οὔτε τῆς φωνῆς ἀκουούσης. Ἡ μὲν γὰρ ἀεί τι πάντως προΐεται, ἡ δὲ ἀκοὴ δεχομένη διηνεκῶς οὐκ [2]ἐμπίπλαται,
Eccles. 1, 8. καθώς φησί που Σολομὼν, ὅ μοι δοκεῖ καὶ μάλιςα τῶν ἐν ἡμῖν ἄξιον εἶναι καὶ θαυμάζεσθαι, τί τὸ πλάτος ἐκείνου τοῦ ἔνδοθεν χωρήματος, εἰς ὃ πάντα συῤῥεῖ τὰ διὰ τῆς ἀκοῆς εἰςχεόμενα, τίνες οἱ ὑπομνηματογράφοι τῶν εἰςαγομένων ἐν αὐτῇ λόγων, καὶ ποῖα δοχεῖα τῶν ἐντιθεμένων τῇ ἀκοῇ νοημάτων, καὶ πῶς, [3]πολλῶν τε καὶ παντοδαπῶν ἀλλήλοις ἐπεμβαλλομένων, σύγχυσις καὶ πλάνη κατὰ τὴν ἐπάλληλον θέσιν τῶν ἐγκειμένων οὐ γίνεται. Τὸ ἴσον δ᾽ ἄν τις καὶ ἐπὶ τῆς τῶν ὄψεων ἐνεργείας θαυμάσειεν. Ὁμοίως γὰρ καὶ διὰ τούτων ὁ νοῦς τῶν ἔξω τοῦ σώματος ἐπιδράσσεται, καὶ πρὸς ἑαυτὸν ἕλκει τῶν φαινομένων τὰ

---

5) M. καὶ τὴν.

1) M. λατρείας τοῖς χείλεσι πρὸς τὴν χρείαν. — 2) M. ἐμπίμπλαται. — 3) M. πολλῶν καί.

einer Wölbung sanft endigt und in scharfer Spannung sich anschließt, alle diese Theile ahmen in reicher Mannichfaltigkeit die durch das Plektron auf den Saiten hervorgebrachte Bewegung nach, und verändern rechtzeitig mit großer Schnelligkeit je nach dem Bedürfniß die Töne. Das Oeffnen und Schließen der Lippen aber bringt dieselbe Wirkung hervor wie wenn man mit den Fingern den Hauch der Flöte je nach der Harmonie des Stückes anhält.

Kap. 10. Indem nun durch diese organische Einrichtung der Geist in uns die Sprache nach Art einer Musik hervorbringt, sind wir in Besitz der Sprache gesetzt, und würden dieses Gnadengeschenkes entbehren, wie ich glaube, wenn wir das beschwerliche und mühevolle Geschäft des Gewinnens der Nahrung nach dem Bedürfniß des Körpers den Lippen übertragen wollten. So haben aber die Hände ihnen diese Leistung abgenommen und damit den Mund geschickt für den Dienst der Rede gelassen. Zwiefach jedoch ist die Thätigkeit dieser geistigen Werkstätte; einmal bewirkt sie die Hervorbringung des Tons, und zweitens dient sie zur Aufnahme der fremden Gedanken. Jede von ihnen hält sich streng gesondert von der anderen und bleibt, ohne Beeinträchtigung der Nachbarin, bei demjenigen Wirkungskreise für welchen sie die Natur angewiesen hat, so daß weder das Gehör redet, noch die Rede hört. Die erste von ihnen giebt immer nur Etwas von sich, das Gehör dagegen nimmt fortwährend auf, ohne voll zu werden, wie Salomo irgendwo sagt, und dieser Umstand erscheint an uns vorzugsweise bewunderungswürdig, wie groß nämlich die Weite unserer inneren Fassungsfähigkeit sein müsse, in welche alles durch das Gehör Einströmende sich ergießet, wer die Schreiber sein mögen welche die eingebrachten Worte anmerken, welches ferner die Behältnisse für die dem Gehör überlieferten Gedanken sind, und auf welche Weise, trotz der Menge und dem Allerlei dessen was dort niedergelegt wird, dennoch keine Vermengung und Verwechselung in der Lage der dicht zusammengehäuften Aufbewahrungsgegenstände entsteht. Die gleiche Bewunderung möchte man für die Thätigkeit des Gesichts hegen. Auch hierdurch nämlich erfaßt der Geist die außerhalb des Körpers liegenden Gegenstände, und zieht die Bilder dessen was er sieht an sich, um die

εἴδωλα, τοὺς χαρακτῆρας τῶν ὁρατῶν ἐν ἑαυτῷ καταγραφων. Καὶ ὥςπερ εἴ τις πολύχωρος εἴη πόλις ἐκ διαφόρων εἰςόδων τοὺς πρὸς αὐτὴν συμφοιτῶντας εἰςδεχομένη, οὐκ ἐπὶ τὸ αὐτὸ κατά τι τῶν ἐν τῇ πόλει [4] συνδραμοῦνται οἱ πάντες, ἀλλ' οἱ μὲν κατὰ τὴν ἀγορὰν, οἱ δὲ κατὰ [5] τὰς οἰκήσεις, ἄλλοι κατὰ τὰς ἐκκλησίας, ἢ τὰς πλατείας, ἢ τοὺς ςενωποὺς, ἢ τὰ θέατρα, κατὰ τὴν ἰδίαν ἕκαςος γνώμην [6] μεταχωρήσουσι, τοιαύτην τινὰ βλέπω καὶ τὴν τοῦ νοῦ πόλιν τὴν ἔνδοθεν ἐν ἡμῖν συνῳκισμένην, ἣν διάφοροι μὲν
p. 65. αἱ διὰ τῶν αἰσθήσεων εἴςοδοι καταπληροῦσιν, ἕκαςον δὲ τῶν εἰςιόντων [7] φυλοκρινῶν τε καὶ διεξετάζων ὁ νοῦς τοῖς καταλλήλοις τῆς γνώσεως τόποις ἐναποτίθεται. Καὶ ὥςπερ ἐπὶ τοῦ κατὰ τὴν πόλιν ὑποδείγματος ἔςι πολλάκις ὁμοφύλους τινὰς ὄντας καὶ συγγενεῖς [8] μὴ διὰ τῆς αὐτῆς πύλης ἐντὸς γενέσθαι, ἄλλου κατ' ἄλλην εἴςοδον κατὰ τὸ συμβὰν εἰςδραμόντος, οὐδὲν δὲ ἧττον ἐντὸς τῆς περιβολῆς τοῦ τείχους γενόμενοι πάλιν μετ' ἀλλήλων εἰσὶ, πρὸς ἀλλήλους οἰκείως ἔχοντες, καὶ τὸ ἔμπαλιν ἔςιν εὑρεῖν γινόμενον, οἱ γὰρ ἀποξενωμένοι τε καὶ ἄγνωςοι ἀλλήλων μιᾷ χρῶνται πρὸς τὴν πόλιν εἰςόδῳ πολλάκις, ἀλλ' οὐ συνάπτει τούτους ἀλλήλοις ἡ κατὰ τὴν εἴςοδον κοινωνία (δύνανται γὰρ καὶ ἐντὸς γενόμενοι διακριθῆναι πρὸς τὸ ὁμόφυλον), τοιοῦτόν τι βλέπω καὶ ἐπὶ τῆς κατὰ τὸν νοῦν εὐρυχωρίας. Πολλάκις γὰρ καὶ ἐκ διαφόρων αἰσθητηρίων μία γνῶσις ἡμῖν συναγείρεται, τοῦ αὐτοῦ πράγματος πολυμερῶς πρὸς τὰς αἰσθήσεις μεριζομένου. Πάλιν δ' αὖ τὸ ἐναντίον ἔςιν ἐκ μιᾶς τινος τῶν αἰσθήσεων πολλὰ καὶ ποικίλα μαθεῖν, οὐδὲν ἀλλήλοις κατὰ τὴν φύσιν συμβαίνοντα. Οἷον (κρεῖττον γὰρ ἐν ὑποδείγματι διασαφηνίσαι τὸν λόγον), προκείσθω ζητεῖσθαί τι περὶ χυμῶν ἰδιότητος, τί μὲν ἡδὺ πρὸς τὴν αἴσθησιν, τί δὲ φευκτὸν τοῖς γευομένοις ἐςίν. Οὐκοῦν εὑρέθη διὰ τῆς

---

4) M. συνδραμόντες. — 5) τὰς stand in der Baseler Ausg., ist aber bei M. weggelassen. — 6) M. μεταχωροῦσι. — 7) M. φιλοκρινῶν. — 8) M. μηδὲ τῆς αὐτῆς.

Umrisse davon aufzuzeichnen. Und gleichwie in einer geräumigen Stadt, welche aus verschiedenen Zugängen her ihre Besucher aufnimmt, nicht Allesammt auf eine einzige irgend welche Stelle dieser Stadt zusammenlaufen, sondern die Einen nach dem Markt, die Anderen in die Häuser, noch Andere in die Kirchen, oder auf die Straßen und Gäßchen, oder nach den Theatern, ein Jeder nach Lust und eigenem Gutdünken, seinen Weg nehmen wird, für dieser ähnlich sehe ich auch die in uns aufgebaute Stadt unseres denkenden Geistes an, welche die verschiedenen Zugänge unserer Sinneswerkzeuge anfüllen, während der Geist einen jeden Eintretenden einer näheren Prüfung und Untersuchung nach ihrer Verwandtschaft unterwirft und dann an den der von ihm gewonnenen Kenntniß entsprechenden Oertlichkeiten unterbringt. Und wie, um an dem Beispiele von der Stadt festzuhalten, es oft der Fall ist daß Leute desselben Stammes und derselben Familie durch dasselbe Thor eintreten, und der Eine durch diesen, der Andere durch jenen Eingang, je nach Zufall, hineinläuft, und sie nichtsdestoweniger innerhalb der Ringmauer angekommen wiederum zusammen sind und ihren näheren Verkehr erneuern, und wie man andernseits auch Fälle findet daß Fremdlinge und einander Unbekannte oftmals sich des gleichen Weges zur Stadt bedienen, ohne daß die Gemeinsamkeit des Weges sie einander näher bringt (denn kommen sie in die Stadt, so können sie sich ja auch nach ihrer Verwandtschaft wieder trennen), etwas dem Aehnliches erblicke ich auch auf dem weiten Raume des Geistes. Oftmals wird auch von verschiedenen Sinnen zusammen uns eine Erkenntniß vermittelt, indem sich ein und dieselbe Sache auf vielfältige Weise nach den Sinnen vertheilt. Wiederum kann man im Gegentheil aus einem Sinneswerkzeug Viel und Mancherlei erfahren welches seiner Natur nach keine Verbindung mit einander hat. Setzen wir zum Beispiel den Fall (denn es ist besser durch Beispiele den Gegenstand klar zu machen), es handele sich um eine Untersuchung über Geschmackseigenthümlichkeit, darüber was dem Sinn der Kostenden schmeichele und was ihnen hingegen unangenehm sei,

πείρας ἥ τε τῆς χολῆς πικρότης, καὶ τὸ προςηνὲς κατὰ τὸ μέλι ποιότητος. [9] Φανερῶν δὲ ὄντων τούτων, μίαν εἰςάγει γνῶσιν τὸ αὐτὸ πρᾶγμα πολυμερῶς τῇ διανοίᾳ [10] εἰςοικιζόμενον, ἡ γεῦσις, ἡ ὄσφρησις, ἡ ἀκοὴ, πολλάκις δὲ καὶ ἡ ἁφὴ καὶ ἡ ὄψις. Καὶ γὰρ ἰδών τις τὸ μέλι, καὶ τοῦ ὀνόματος ἀκούσας, καὶ τῇ γεύσει λαβὼν, καὶ τὸν ἀτμὸν διὰ τῆς ὀσφρήσεως ἐπιγνοὺς, καὶ τῇ ἁφῇ δοκιμάσας, τὸ αὐτὸ πρᾶγμα δι' ἑκάςου τῶν αἰσθητηρίων ἐγνώρισε. Ποικίλα δὲ πάλιν καὶ πολυειδῆ διὰ μιᾶς τινος αἰσθήσεως διδασκόμεθα, τῆς τε ἀκοῆς παντοίας δεχομένης φωνὰς, τῆς τε διὰ τῶν ὀφθαλμῶν ἀντιλήψεως ἀδιάκριτον ἐχούσης τὴν ἐνέργειαν ἐπὶ τῆς τῶν ἑτερογενῶν θεωρίας. Ὁμοίως γὰρ λευκῷ τε προςπίπτει, καὶ μέλανι, καὶ πᾶσι τοῖς κατὰ τὸ ἐναντίον διεςῶσι τῷ χρώματι. Οὕτως ἡ γεῦσις, οὕτως ἡ ὄσφρησις, οὕτως ἡ διὰ τῆς ἁφῆς κατανόησις, παντοδαπῶν πραγμάτων ἑκάςη διὰ τῆς οἰκείας ἀντιλήψεως τὴν γνῶσιν ἐντίθησιν.

p. 66. Κεφ. ια'. Τί τοίνυν ἐςὶ κατὰ τὴν ἑαυτοῦ φύσιν ὁ νοῦς ὁ ἐν αἰσθητικαῖς δυνάμεσιν ἑαυτὸν ἐπιμερίζων, καὶ δι' ἑκάςης καταλλήλως τὴν τῶν ὄντων γνῶσιν ἀναλαμβάνων; ὅτι γὰρ ἄλλο τι παρὰ τὰς αἰσθήσεις ἐςὶν οὐκ ἂν οἶμαί τινα τῶν ἐμφρόνων ἀμφιβάλλειν. Εἰ γὰρ ταὐτὸν ἦν τῇ αἰσθήσει, πρὸς ἓν πάντως εἶχε τῶν κατ' αἴσθησιν ἐνεργουμένων τὴν οἰκειότητα, διὰ τὸ ἁπλοῦν μὲν αὐτὸν εἶναι, μηδὲν δὲ ποικίλον ἐν τῷ ἁπλῷ θεωρεῖσθαι. Νυνὶ δὲ πάντων συντιθεμένων ἄλλο μέν τι τὴν ἁφὴν εἶναι, ἄλλο δὲ τὴν ὄσφρησιν, καὶ τῶν ἄλλων ὡςαύτως ἀκοινωνήτως τε καὶ ἀμίκτως πρὸς ἄλληλα διακειμένων, ἐπειδὴ κατὰ τὸ ἴσον ἑκάςῃ καταλλήλως πάρεςιν, ἕτερόν [1] τινα χρὴ πάντως αὐτὸν παρὰ τὴν [2] αἰσθητικὴν ὑποτίθεσθαι φύσιν, ὡς ἂν μή τις ποικιλία τῷ νοητῷ συμμιχθείη. Τίς ἔγνω νοῦν κυ-
Rom. 11, 34. ρίου; φησὶν ὁ ἀπόςολος. Ἐγὼ δὲ παρὰ τοῦτό φημι, Τίς

9) M. διαφορῶν. — 10) M. εἰςοικιζόμενον, ἢ γεύσει, ἢ ὀσφρήσει, ἢ ἀκοῇ, πολλάκις δὲ καὶ τῇ ἁφῇ καὶ τῇ ὄψει.

so ist die Bitterkeit der Galle und die dem Honig eigenthümliche Lieblichkeit auf dem Wege des Versuchs entdeckt worden. Sind diese nun bekannt, so führt uns der Geschmack, der Geruch, das Gehör, oft auch der Tastsinn und das Gesicht, dasselbe Ding, welches sich so auf verschiedene Weise in den Geist Eingang verschafft, als eine einzige Erkenntniß zu. Denn sowohl wenn man den Honig sieht, als wenn man den Namen hört, oder davon schmeckt, oder seinen Duft durch die Nase merkt, oder ihn durch Betastung prüft, durch jedes Sinneswerkzeug erkennt man den gleichen Gegenstand. Umgekehrt lernen wir Mancherlei und Verschiedenartiges durch ein einziges Sinneswerkzeng kennen, insofern als das Gehör Allerlei aufnimmt, und die Erkenntniß vermittelst des Gesichts ihre Thätigkeit unterschiedslos über verschiedenartige Gegenstände ausübt. Denn der Blick trifft das Weiße sowohl als das Schwarze, und ebenso alle anderen Farbengegensätze. So führt uns der Geschmack, so der Geruch, so der Tastsinn, ein Jedes in der ihm eigenen Weise das Verständniß zu vermitteln, die Kenntniß von allerlei Dingen zu.

Kap. 11. Was ist nun seiner Natur nach der Geist welcher sich in sinnliche Kräfte vertheilt und durch eine jede in entsprechender Weise die Kenntniß der Dinge auffammelt? Denn daß er etwas Anderes ist als die Sinne, wird, wie ich glaube, kein Verständiger bezweifeln. Wäre er nämlich *eins* mit der sinnlichen Empfindung, so würde er jedenfalls mit einer einzigen sinnlichen Thätigkeit verwandt sein müssen, da er einfacher Natur ist, und in dem Einfachen keine Mannichfaltigkeit sich wahrnehmen läßt. So aber stimmen Alle darin überein daß der Tastsinn etwas Anderes ist als der Geruch, und da auch die übrigen sich ebenso unvereinbar und verschieden zu einander verhalten, so muß man durchaus annehmen daß der Geist, da er einem jeden von ihnen in entsprechender Weise innewohnt, etwas von der sinnlichen Natur Verschiedenes sei, damit der Begriff der Mannichfaltigkeit in keine Gemeinschaft mit dem Intellectualen gebracht werde. „*Wer hat den Sinn des Herrn erkannt?*“ sagt der Apostel. Ich aber sage dem ähnlich, Wer kennt

1) M. τινα πάντως αὐτὸν χρὴ παρά. — 2) M. αἰσθητήν.

τὸν ἴδιον νοῦν κατενόησεν; εἰπάτωσαν οἱ τοῦ Θεοῦ τὴν φύσιν ἐντὸς ποιούμενοι τῆς ἑαυτῶν καταλήψεως, εἰ ἑαυτοὺς κατενόησαν, εἰ τοῦ ἰδίου νοῦ τὴν φύσιν ἐπέγνωσαν. Πολυμερής τίς ἐςι καὶ πολυσύνθετος; καὶ πῶς τὸ νοητὸν ἐν συνθέσει, ἢ τίς ὁ τῆς τῶν ἑτερογενῶν ἀνακράσεως τρόπος; ἀλλ' ἁπλοῦς καὶ ἀσύνθετος. Καὶ πῶς εἰς τὴν πολυμέρειαν τὴν αἰσθητικὴν διασπείρεται; πῶς ἐν μονότητι τὸ ποικίλον; πῶς ἐν ποικιλίᾳ τὸ ἕν; Ἀλλ' ἔγνων τῶν ἠπορημένων τὴν λύσιν, ἐπ' αὐτὴν ἀναδραμὼν τοῦ Θεοῦ τὴν φωνήν. Ποιήσωμεν γάρ, φησὶν, ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν. Ἡ γὰρ εἰκὼν, ἕως ἂν ἐν μηδενὶ λείπηται τῶν κατὰ τὸ ἀρχέτυπον νοουμένων, κυρίως ἐςὶν εἰκών· καθ' ὃ δ' ἂν διαπέσῃ τῆς πρὸς τὸ πρωτότυπον ὁμοιότητος, κατ' ἐκεῖνο τὸ μέρος εἰκὼν οὐκ ἔςιν. Οὐκοῦν ἐπειδὴ ἓν τῶν περὶ τὴν θείαν φύσιν θεω-
p. 67. *ρουμένων ἐςὶ τὸ ἀκατάληπτον τῆς οὐσίας, ἀνάγκη πᾶσα καὶ ἐν τούτῳ τὴν εἰκόνα πρὸς τὸ ἀρχέτυπον ἔχειν τὴν μίμησιν. Εἰ γὰρ ἡ μὲν τῆς εἰκόνος φύσις κατελαμβάνετο, τὸ δὲ πρωτότυπον ὑπὲρ κατάληψιν ἦν, ἡ ἐναντιότης τῶν ἐπιθεωρουμένων τὸ διημαρτημένον τῆς εἰκόνος διήλεγχεν. Ἐπειδὴ δὲ διαφεύγει τὴν γνῶσιν ἡ κατὰ τὸν νοῦν τὸν ἡμέτερον φύσις, ὅς ἐςι κατ' εἰκόνα τοῦ κτίσαντος, ἀκριβῆ πρὸς τὸ ὑπερκείμενον ἔχει τὴν ὁμοιότητα, τῷ καθ' ἑαυτὸν ἀγνώςῳ χαρακτηρίζων τὴν ἀκατάληπτον φύσιν.*

Κεφ. ιβ'. Σιγάτω τοίνυν πᾶσα ςοχαςικὴ ματαιολογία τῶν μορίοις τισὶ σωματικοῖς τὴν νοητὴν ἐναποκλειόντων ἐνέργειαν. Ὧν οἱ μὲν ἐν καρδίᾳ τὸ ἡγεμονικὸν εἶναι τίθενται, οἱ δὲ τῷ ἐγκεφάλῳ τὸν νοῦν ἐνδιαιτᾶσθαί φασιν, ἐπιπολαίοις τισὶ πιθανότησι τὰς τοιαύτας ἐπινοίας κρατοῦντες. Ὁ μὲν γὰρ τῇ καρδίᾳ προςτιθεὶς τὴν ἡγεμονίαν τὴν κατὰ τόπον αὐτῆς θέσιν ποιεῖται τοῦ λόγου τεκμήριον, διὰ τὸ δοκεῖν πως τὴν μέσην τοῦ παντὸς σώματος ἐπέχειν χώραν αὐτὴν, ὡς τῆς προαιρετικῆς κινή-

tigkeit, weil nämlich das Instrument in Folge von Ueberladung und Schwere eine vollständige Abspannung erleidet, oder er wird nur in matter und undeutlicher Weise seine Thätigkeit ausüben, weil eben das Instrument der Sinneswerkzeuge für seine Kunst keine volle Empfindlichkeit besitzt. So wird das verworrene Gedächtniß und die gleichsam wie durch halbdunkle Vorhänge eingeschläferte Voraussicht von Bildern dessen womit man sich im wachenden Zustande beschäftigt umgaukelt, und letztere hat auch schon öfters uns etwas verkündigt was eingetroffen ist. Denn bei der Feinheit ihrer Natur hat sie neben der Grobheit des Körpers etwas darin voraus daß sie das Eine oder Andere aus der Wirklichkeit erblicken kann. Freilich mit einiger Bestimmtheit zu verdeutlichen was sie verkündigt, so daß die Kunde von dem was bevorsteht eine klare und offene wäre, das vermag sie nicht, sondern die Offenbarung der Zukunft geschieht iu einer dunklen und zweideutigen Weise, in einem *Gleichniß*, wie die sich ausdrücken welche sich mit Deutung solcher Orakel beschäftigen. So quetscht der Weinschenk die Traube aus für den Becher des Pharao, so träumte der Bäcker daß er Körbe trage, Dinge mit welchen sich Jeder von ihnen im wachenden Zustande beschäftigte, und sich darum mit ihnen auch im Traume abzugeben vermeinte. Denn die dem auf Erkenntniß der Zukunft gerichteten Theile der Seele eingeprägten Bilder der gewohnten Beschäftigungen lassen seiner Zeit durch diese Vorausverkündigung unseres denkenden Geistes einen Schluß auf die Zukunft machen. Wenn jedoch Daniel und Joseph und andere ihnen Aehnliche, ohne daß erst ein sinnliches Vermögen ihnen eine trübe Andeutung gegeben hätte, durch die Kraft Gottes sich auf die Kenntniß der Zukunft verstanden, so hat dies mit der gegenwärtigen Untersuchung Nichts zu schaffen. Denn es würde wohl auch kaum Jemand dies der Kraft der Träume zuschreiben wollen, weil er sonst folgerichtig auch die im Zustande des Wachens uns werdenden göttlichen Erscheinungen nicht für Gesichte, sondern für ein nach einem Gesetz der Nothwendigkeit ganz von selbst bewirktes Ereigniß halten müßte. Wie es also, während sonst alle Menschen unter dem lenkenden Einflusse ihres eigenen denkenden Geistes stehen, doch einige Wenige giebt welche des Umgangs mit Gott in offenbarer Weise gewürdigt

οὕτω κοινῶς πᾶσι καὶ ὁμοτίμως τῆς ἐν ὕπνοις φαντασίας κατὰ φύσιν ἐγγινομένης μετέχουσί τινες, οὐχὶ πάντες, θειοτέρας τινὸς διὰ τῶν ὀνείρων τῆς ἐμφανείας, τοῖς δ' ἄλλοις πᾶσι κἂν γένηταί τις ἐξ ἐνυπνίων περί τι πρόγνωσις, κατὰ τὸν εἰρημένον γίνεται τρόπον. Εἰ δὲ καὶ ὁ Αἰγύπτιος καὶ ὁ Ἀσσύριος τύραννος θεόθεν πρὸς τὴν τῶν μελλόντων [14] ὁδηγοῦνται γνῶσιν, ἕτερόν ἐςι τὸ διὰ τούτων οἰκονομούμενον. Φανερωθῆναι γὰρ ἔδει κεκρυμμένην τὴν τῶν ἁγίων σοφίαν, ὡς ἂν μὴ ἄχρηςος τῷ κοινῷ παραδράμῃ τὸν βίον. Πῶς γὰρ [15] ἂν ἐγνώσθη τοιοῦτος ὢν Δανιὴλ, μὴ τῶν ἐπαοιδῶν καὶ μάγων πρὸς τὴν εὕρεσιν τῆς φαντασίας ἀτονησάντων; πῶς δ' ἂν περιεσώθη τὸ Αἰγύπτιον, ἐν δεσμωτηρίῳ καθειργμένου τοῦ Ἰωσὴφ, εἰ μὴ παρήγαγεν εἰς [16] μέσον αὐτὸν ἡ τοῦ ἐνυπνίου κρίσις; Οὐκοῦν ἄλλο τι ταῦτα, καὶ [17] οὐ κατὰ τὰς κοινὰς φαντασίας λογίζεσθαι χρή. Ἡ δὲ συνήθης αὕτη τῶν ὀνείρων ὄψις κοινὴ πάντων ἐςὶ, πολυτρόπως καὶ πολυειδῶς ταῖς φαντασίαις ἐγγινομένη. Ἢ γὰρ παραμένει, καθὼς εἴρηται, τῷ μνημονικῷ τῆς ψυχῆς τῶν μεθημερινῶν ἐπιτηδευμάτων τὰ ἀπηχήματα, ἢ πολλάκις καὶ πρὸς τὰς ποιὰς τοῦ σώματος διαθέσεις ἡ τῶν ἐνυπνίων κατάςασις
p. 79. ἀνατυποῦται. Οὕτω γὰρ ὁ διψώδης ἐν πηγαῖς εἶναι δοκεῖ, καὶ ἐν εὐωχίαις ὁ τροφῆς προςδεόμενος, καὶ ὁ νέος σφριγώσης αὐτῷ τῆς ἡλικίας [18] καταλλήλως τῷ πάθει φαντασιοῦται. Ἔγνων δὲ καὶ ἄλλην ἐγὼ τῶν [19] καθ' ὕπνον αἰνιγμάτων αἰτίαν, θεραπεύων τινὰ τῶν ἐπιτηδείων ἑαλωκότα φρενίτιδι, ὃς βαρούμενος τῇ τροφῇ πλείονι τῆς δυνάμεως [20] αὐτῷ προσενεχθείσης ἐβόα τοὺς περιεςῶτας μεμφόμενος ὅτι ἔντερα κόπρου πληρώσαντες εἶεν ἐπιτεθεικότες αὐτῷ· καὶ ἤδη τοῦ σώματος αὐτῷ πρὸς ἱδρῶτα σπεύδοντος, ᾐτιᾶτο τοὺς παρόντας ὕδωρ ἔχειν ἡτοιμασμένον, ἐφ' ᾧ τε καταβρέξαι κείμενον, καὶ οὐκ ἐνεδίδου βο-

---

14) M. ὡδηγοῦντο. — 15) ἂν fehlt bei M. — 16) M. μέσους. — 17) M. οὐχί. — 18) M. καταλλήλῳ. — 19) M. καθ' ὕπνου γενομένων αἰτίαν. — 20) M. αὐτοῦ προςενεχθείσῃ.

rden, so werden auch, während einerseits Alle insgemein und ne Unterschied die Befähigung im Schlafe zu träumen von der itur empfangen, andererseits dennoch Einigen, keineswegs Allen, scheinungen von mehr göttlicher Natur in ihren Träumen zu eil, und bei allen Anderen hat es, wenn sie ja aus ihren Traumdern eine Kenntniß von der Zukunft gewinnen, damit die von uns gegebene Bewandtniß. Wenn aber auch der Aegyptische und Assyrische Fürst durch Gott in der Kenntniß der Zukunft unteresen werden, so hat dies einen anderen Zweck. Denn die verborte Weisheit der Heiligen mußte geoffenbart werden, damit sie ht nutzlos für das Allgemeine im Menschenleben vorübergienge. ie hätte wohl Daniel als ein solcher Mann erkannt werden kön, wenn nicht die Beschwörer und Magier zur Erklärung des Geis unfähig gewesen wären? Wie hätte Aegypten seine Rettung funden, wenn nicht, da Joseph in dem Gefängniß eingesperrt orden war, die Deutung des Traumes ihn in die Oeffentlichkeit ührt hätte? Es verhält sich also anders damit, und man darf se Fälle nicht wie die alltäglichen Traumbilder beurtheilen. Dies vöhnliche Traumgesicht haben Alle gemeinsam, und es tritt in vielfältigsten und vielgestaltigsten Erscheinungen auf. Entwe- verbleiben, wie gesagt, bei dem das Gedächtniß vertretenden eile der Seele die Rückklänge der täglichen Beschäftigungen, oder, s häufig der Fall ist, die Beschaffenheit der Träume gewinnt ihr präge nach den jemaligen Affectionen des Körpers. So meint Durstige neben Quellen, und der der Nahrung Bedürftige an hbesetzten Tafeln sich zu befinden, und der Jüngling in seinem n Sinnlichkeit strotzenden Lebensalter hat seiner Leidenschaft entechende Träume. Ich habe jedoch auch noch eine andere Ursache in Bildern sprechenden Träume unseres Schlafes in Erfahrung racht, als ich einen meiner Angehörigen, welcher von Fieberhnsinn befallen war, pflegte. Der war mit mehr Speise bewert als man ihm Kraft sie zu bezwingen zutrauen konnte, und rie und schalt die Umstehenden daß sie Därme mit Koth gefüllt n aufgebürdet hätten, und als sein Körper bereits zu schwitzen ann, da beschuldigte er die Anwesenden daß sie Wasser zur Hand ten, um ihn auf seinem Lager damit zu benetzen, und so ließ er

ὧν, ἕως ἡ ἔκβασις τῶν τοιούτων μέμψεων τὰς αἰτίας ἡρμήνευσεν. Ἀθρόως γὰρ ἱδρώς τε πολὺς ἐπεῤῥύη τῷ σώματι, καὶ ἡ γαςὴρ ὑποφθαρεῖσα τὴν ἐν τοῖς ἐντέροις βαρύτητα διεσήμανεν. Ὅπερ τοίνυν ἀμβλυνθείσης ὑπὸ τῆς νήψεως ἔπασχεν ἡ φύσις συνδιατιθεμένη τῷ πάθει τοῦ σώματος, τοῦ μὲν ὀχλοῦντος οὐκ ἀναισθήτως ἔχουσα, διασαφῆσαι δὲ τὸ λυποῦν ἐναργῶς διὰ τὴν ἐκ τῆς νόσου παραφορὰν οὐκ ἰσχύουσα, τοῦτο κατὰ τὸ εἰκὸς, εἰ μὴ ἐξ ἀῤῥωςίας, ἀλλὰ τῷ κατὰ φύσιν ὕπνῳ τὸ διανοητικὸν τῆς ψυχῆς κατηυνάσθη, ἐνύπνιον ἂν τῷ οὕτως διακειμένῳ ἐγίνετο, ὕδατι μὲν τῆς τοῦ ἱδρῶτος ἐπιῤῥοῆς, ἐντέρων δὲ βάρει τῆς κατὰ τὴν τροφὴν ἀχθηδόνος σημαινομένης. Τοῦτο καὶ πολλοῖς τῶν τὴν ἰατρικὴν πεπαιδευμένων δοκεῖ, παρὰ τὰς τῶν παθημάτων διαφορὰς καὶ τὰς τῶν ἐνυπνίων ὄψεις τοῖς κάμνουσι γίνεσθαι, ἄλλας μὲν τῶν ςομαχούντων, ἑτέρας δὲ τῶν κεκακωμένων τὰς μήνιγγας, καὶ τῶν ἐν πυρετοῖς πάλιν ἑτέρας, τῶν τε κατὰ χολὴν καὶ τῶν ἐν φλέγματι κακουμένων οὐ τὰς αὐτὰς, καὶ τῶν πληθωρικῶν καὶ τῶν ἐκτετηκότων πάλιν ἄλλας. Ἐξ ὧν ἔςιν ἰδεῖν ὅτι ἡ θρεπτική τε καὶ αὐξητικὴ δύναμις τῆς ψυχῆς [21] ἔχει τι καὶ τοῦ νοεροῦ συγκατεσπαρμένον αὐτῇ διὰ τῆς ἀνακράσεως, ὃ τῇ ποιᾷ διαθέσει τοῦ σώματος τρόπον τινὰ ἐξομοιοῦται, κατὰ τὸ ἐπικρατοῦν πάθος ταῖς φαντασίαις μεθαρμοζόμενον. Ἔτι δὲ καὶ πρὸς τὰς τῶν ἠθῶν καταςάσεις τυποῦται [22] τοῖς πολλοῖς τὰ ἐνύπνια. Ἄλλα τοῦ ἀνδρείου, καὶ ἄλλα τοῦ δειλοῦ τὰ φαντάσματα,
p. 80. ἄλλοι τοῦ ἀκολάςου ὄνειροι, καὶ ἄλλοι τοῦ σώφρονος, ἐν ἑτέροις ὁ μεταδοτικὸς, καὶ ἐν ἑτέροις φαντασιοῦται ὁ ἄπληςος, οὐδαμοῦ τῆς διανοίας, ἀλλὰ τῆς [23] ἀλογωτέρας ἐν τῇ ψυχῇ διαθέσεως τὰς τοιαύτας φαντασίας ἀνατυπούσης,

---

21) M. ἔχῃ. — 22) τοῖς fehlt bei M. — 23) M. ἀλογωτέρας διαθέσεως ἐν τῇ ψυχῇ.

nicht nach mit Schreien bis der Erfolg die Veranlassungen zu solchen Beschuldigungen ins Klare setzte. Denn plötzlich überströmte den Körper ein reichlicher Schweiß, und der allmälig sich lösende Unterleib machte die Beschwerung der Eingeweide offenbar. Was also in Folge der von der Krankheit getrübten Nüchternheit der krankhaft mitaffizierten Natur widerfuhr, daß sie nämlich nicht ohne Empfindung von dem war was sie beschwerte, jedoch den Gegenstand welcher den Schmerz verursachte wegen der durch die Krankheit hervorgerufenen Verstandesverwirrung nicht deutlich zu bezeichnen wußte, das würde wahrscheinlich, wenn das Denkvermögen der Seele nicht in Folge einer Krankheit, sondern unter dem Einflusse des natürlichen Schlafes eingeschlummert gewesen wäre, bei dem betreffenden Menschen in Gestalt eines Traumes sich vollziehen, so daß durch Wasser das Ueberströmen des Schweißes, durch die Belastung der Eingeweide die Beschwerung mit Speise angedeutet würde. Auch sind viele Aerzte der Ansicht daß je nach der Verschiedenheit der Leiden den Kranken auch verschiedene Traumgesichte zu Theil werden, und zwar andere denen die am Magen leiden, andere denen welche eine Verletzung der Gehirnhäutchen davongetragen haben, und wieder andere denen die am Fieber darniederliegen, daß ferner die an der Galle und die welche an Schleimsucht erkrankt sind nicht dieselben haben, und daß die der an Ueberfülle und der an Abmagerung Leidenden wiederum verschieden seien. Hieraus kann man ersehen daß dem das Ernähren und das Wachsthum befördernden Seelenvermögen auch Etwas von der Denkkraft beigemischt ist, welches mit dem jemaligen Zustande des Körpers gewissermaßen Aehnlichkeit annimmt und je nach dem vorwaltenden Einflusse der Krankheit sich mit den Traumgebilden in Harmonie setzt. Außerdem tragen bei der Mehrzahl die Träume das Gepräge der Charactereigenschaften. Anders sind die Phantasiegebilde des Mannhaften, und anders die des Feigen, anders die Träume des Wollüstlings, anders die des maßvollen Menschen, auf anderen Gebieten bewegt sich die Einbildungskraft des Mittheilsamen, auf anderen die des Habgierigen. Hier ruft nirgends das Denkvermögen, sondern die mehr unvernünftige Partie in der Seele solche Phantasiegestalten hervor, indem sie die Bilder von demjenigen was

οἷς προσειθίσθη διὰ τῆς καθ' ὕπαρ μελέτης, τούτων τὰς εἰκόνας καὶ ἐν τοῖς ἐνυπνίοις ἀναπλαττούσης.

Κεφ. ιδ'. Ἀλλὰ πολὺ τῶν προκειμένων ἀπεπλανήθημεν. Δεῖξαι γὰρ ἡμῖν ὁ λόγος προέθετο τὸ μὴ μέρει τινὶ τοῦ σώματος ἐνδεδέσθαι τὸν νοῦν, ἀλλὰ παντὸς κατὰ τὸ ἴσον ἐφάπτεσθαι, καταλλήλως τῇ φύσει τοῦ ὑποκειμένου μέρους ἐνεργοῦντα τὴν κίνησιν. Ἔςι δὲ ὅπου καὶ ἐπακολουθεῖ ταῖς φυσικαῖς ὁρμαῖς ὁ νοῦς, οἷον ὑπηρέτης γενόμενος. Καθηγεῖται γὰρ πολλάκις ἡ τοῦ σώματος φύσις, καὶ τοῦ λυποῦντος αἴσθησιν ἐντιθεῖσα, καὶ τοῦ εὐφραίνοντος ἐπιθυμίαν, ὥςε ταύτην μὲν τὰς πρώτας παρέχειν ἀρχὰς, ἢ βρώσεως ὄρεξιν, ἤ τινος ὅλως τῶν καθ' ἡδονὴν τὴν ὁρμὴν ἐμποιοῦσαν, τὸν δὲ νοῦν ἐκδεχόμενον τὰς τοιαύτας ὁρμὰς ταῖς οἰκείαις περινοίαις τὰς πρὸς τὸ ποθούμενον ἀφορμὰς συνεκπορίζειν τῷ σώματι. Τὸ δὲ τοιοῦτον οὐκ ἐπὶ πάντων ἐςὶν, ἀλλὰ μόνων τῶν ἀνδραποδωδέςερον διακειμένων, [1] οἳ δουλώσαντες τὶν λόγον ταῖς ὁρμαῖς τῆς φύσεως διὰ τῆς τοῦ νοῦ συμμαχίας τὸ κατὰ τὰς αἰσθήσεις ἡδὺ δουλοπρεπῶς κολακεύουσιν. Ἐπὶ δὲ τῶν τελειοτέρων οὐχ οὕτως γίνεται. Καθηγεῖται γὰρ ὁ νοῦς, λόγῳ, καὶ οὐχὶ πάθει, τὸ λυσιτελὲς προαιρούμενος· ἡ δὲ φύσις κατ' ἴχνος ἕπεται τῷ προκαθηγουμένῳ. Ἐπειδὴ δὲ τρεῖς κατὰ τὴν ζωτικὴν δύναμιν διαφορὰς ὁ λόγος εὗρε, τὴν μὲν τρεφομένην χωρὶς αἰσθήσεως, τὴν δὲ τρεφομένην μὲν καὶ [2] αἰσθανομένην, ἀμοιροῦσαν δὲ τῆς λογικῆς ἐνεργείας, τὴν δὲ λογικὴν καὶ τελείαν δι' ἁπά-
p. 81. σης διήκουσαν τῆς δυνάμεως, ὡς καὶ ἐν ἐκείναις εἶναι καὶ τῆς νοερᾶς τὸ πλέον ἔχειν, μηδεὶς διὰ τούτων ὑπονοείτω τρεῖς συγκεκροτῆσθαι ψυχὰς ἐν τῷ ἀνθρωπίνῳ συγκρίματι, ἐν ἰδίαις περιγραφαῖς θεωρουμένας, ὥςε συγκρότημά τι πολλῶν ψυχῶν τὴν ἀνθρωπίνην φύσιν εἶναι νομίζειν. Ἀλλ' ἡ μὲν ἀληθής τε καὶ τελεία

1) M. οἱ. — 2) M. αὐξανομένην.

r durch tägliche Beschäftigung damit im Zustande des Wachens zur
iewohnheit geworden ist aufs Neue auch in den Träumen ausführt.

Kap. 14. Allein wir sind weit von unserem Gegenstande ab-
schweift. Unsere Untersuchung legte uns nämlich auf den Beweis
führen daß der denkende Geist nicht an einen Theil des Körpers
bunden sei, sondern daß er in gleichmäßiger Weise mit dem Gan-
n in Verbindung trete, und der Natur des betreffenden Theils ent-
rechend die Bewegung desselben bewirke. Es kommt aber auch zu-
eilen vor daß die Vernunft den natürlichen Gelüsten nachgiebt,
id gleichsam ihre Dienerin wird. Denn in vielen Fällen thut die
rperliche Natur den ersten Schritt, indem sie das Gefühl daß uns
twas Schmerz oder Lust bringen werde in uns rege macht, so daß
: es also ist welche den ersten Anstoß giebt, und in uns entweder
egierde nach Essen, oder das Verlangen zu irgend welchem sonsti-
en Angenehmen hervorruft, der Verstand wiederum dieses Verlan-
en nun in seine Hand nimmt und durch seine erfinderische Umsicht
em Körper die Mittel es zu befriedigen angiebt. Dies ist jedoch
cht bei allen Menschen der Fall, sondern nur bei solchen die in
ner mehr sklavenartigen Abhängigkeit leben, welche, weil sie die
ernunft in die Knechtschaft der natürlichen Begierden gegeben
iben, unter dem Beistande des Verstandes dem was die Sinne
rgnügt in sklavischer Weise ergeben sind. Bei vollkommeneren
lenschen ist dies nicht so. Denn da steht der Verstand an der Spitze
id dieser entscheidet sich nach Gründen, nicht nach Sinnenkitzel,
r das was nützlich ist, und die Natur folgt der Spur ihres Füh-
rs. Nachdem nun unsere Untersuchung drei Unterschiede in der
bensbefähigung entdeckt hatte, deren eine die des Vegetierens ohne
mpfindung, die zweite die des Vegetierens mit Empfindung, welche
doch der Thätigkeit der Vernunft entbehrt, und die dritte diejenige
ar welche mit Vernunft begabt und vollkommen ist und alle übrige
efähigung durchdringt, dergestalt daß sie ebenso ihnen innewohnt
s in dem Umstande, daß sie denkt, vor ihnen den Vorrang ein-
mmt, so soll darum Niemand wähnen daß in dem Complex der
enschlichen Natur drei Seelen vereinigt seien, deren jede innerhalb
sonderer Grenzen sich beobachten lasse, so daß man zu der Ansicht
langte, die menschliche Natur sei eine Vereinigung von mehreren

6*

ψυχὴ μία τῇ φύσει ἐςὶν, ἡ νοερά τε καὶ ἄϋλος, ἡ διὰ τῶν αἰσθήσεων τῇ ὑλικῇ καταμιγνυμένη φύσει. Τὸ δὲ ὑλῶδες ἅπαν ἐν τροπῇ τε καὶ ἀλλοιώσει κείμενον, εἰ μὲν μετέχοι τῆς ψυχούσης δυνάμεως, κατὰ αὔξησιν κινηθήσεται. Εἰ δὲ ἀποπέσοι τῆς ζωτικῆς ἐνεργείας, εἰς φθορὰν ἀναλύσει τὴν κίνησιν. Οὔτε οὖν αἴσθησις χωρὶς ὑλικῆς οὐσίας, οὔτε τῆς νοερᾶς δυνάμεως χωρὶς αἰσθήσεως ἐνέργεια γίνεται.

Κεφ. ιε'. Εἰ δέ τινα τῆς κτίσεως τὴν θρεπτικὴν ἐνέργειαν ἔχει, ἢ πάλιν ἕτερα τῇ αἰσθητικῇ διοικεῖται δυνάμει, μήτε ἐκεῖνα αἰσθήσεως, μήτε ταῦτα τῆς νοερᾶς μετέχοντα φύσεως, καὶ διὰ τοῦτό τις ψυχῶν πλῆθος καθυποπτεύει, οὐ κατὰ τὸν διαιροῦντα λόγον ὁ τοιοῦτος τὴν τῶν ψυχῶν διαφορὰν δογματίσει. Διότι πᾶν τὸ ἐν τοῖς οὖσι νοούμενον, εἰ μὲν τελείως εἴη ὅπερ ἐςὶ, κυρίως καὶ ὀνομάζεται ὅπερ λέγεται, τὸ δὲ μὴ διὰ πάντων ὂν ἐκεῖνο ὃ κατωνόμαςαι ματαίαν καὶ τὴν προςηγορίαν ἔχει. Οἷον εἴ τις τὸν ἀληθῆ δείξειεν ἄρτον, φαμὲν τὸν τοιοῦτον κυρίως ἐπιλέγειν τῷ ὑποκειμένῳ τὸ ὄνομα, εἰ δέ τις τὸν ἀπὸ λίθου τεχνηθέντα τῷ κατὰ φύσιν ἀντιπαραδείξειεν, ᾧ σχῆμα μὲν τὸ αὐτὸ, καὶ τὸ μέγεθος ἴσον, καὶ ἡ τοῦ χρώματος ὁμοιότης, ὥςε διὰ τῶν πλείςων τὸν αὐτὸν εἶναι
p. 82. τῷ πρωτοτύπῳ δοκεῖν, ἐπιλείπει δὲ αὐτῷ τὸ καὶ τροφὴν δύνασθαι εἶναι, παρὰ τοῦτο οὐ κυρίως, ἀλλ᾽ ἐκ καταχρήσεως τῆς ἐπωνυμίας τοῦ ἄρτου τετυχηκέναι τὸν λίθον λέγομεν. Καὶ [1] πάντα κατὰ τὸν αὐτὸν λόγον, ἃ μὴ δι᾽ ὅλων ἐςὶν ὅπερ λέγεται, ἐκ καταχρήσεως ἔχει τὴν κλῆσιν. Οὕτω τοίνυν καὶ τῆς ψυχῆς ἐν τῷ νοερῷ τε καὶ λογικῷ τὸ τέλειον ἐχούσης, πᾶν ὃ μὴ τοῦτό ἐςιν, ὁμώνυμον μὲν εἶναι

---

1) M. πάντα τὰ κατὰ.

Seelen. Im Gegentheil, die wahre und vollendete Seele ist ihrer Natur nach eine einzige, denkkräftig und immaterial, und doch vermittelst der sinnlichen Empfindungen mit der materialen Natur vereinigt. Alles Materiale, welches auf Wechsel und Veränderung beruht, wird, sobald es der belebenden Kraft theilhaftig ist, sich auf dem Wege des Wachsthums in Bewegung setzen, verliert es hingegen die Lebensfähigkeit, dann wird es diese Bewegung mit seinem Untergange einstellen. Sonach tritt weder sinnliche Empfindung ohne materiales Wesen, noch Thätigkeit der Denkkraft ohne sinnliches Empfinden ein.

Kap. 15. Hat aber ein Theil der Schöpfung die ihn ernährende Kraft, oder wird ein anderer wiederum von der sinnlichen Empfindung regiert, dergestalt daß weder jener die sinnliche Empfindung, noch dieser das Denkvermögen theilt, und es verfiele aus diesem Grunde Jemand auf den Gedanken einer Mehrheit von Seelen, der würde einen solchen Unterschied der Seelen nicht nach scharfer und klarer Begriffsbestimmung als Behauptung aufstellen können, deßhalb nämlich weil Alles was wir in der Welt sehen, sobald es vollkommen das ist was es ist, auch dann ganz eigentlich den Namen führt mit welchem es genannt wird, das hingegen was nicht in allen Stücken das ist was sein Name besagt, auch seinen Namen nur als einen inhaltslosen trägt. Zum Beispiel wenn Jemand das wirkliche Brot zeigt, so sagen wir daß er in eigentlicher Weise dem Gegenstande seinen Namen gebe, wollte aber Jemand dem natürlichen Brot künstlich von Stein gearbeitetes gegenüberstellen, welches wohl von gleicher Gestalt und gleicher Größe wäre, und jenem auch in der Farbe gliche, dergestalt daß es in den meisten Stücken dasselbe mit seinem Urbild zu sein schiene, da würden wir auf Grund dessen daß ihm die Befähigung als Nahrung dienen zu können fehlt erklären daß der Stein nicht in eigentlicher und richtiger Weise, sondern mißbräuchlich die Benennung Brot empfangen habe. Ebenso besitzt alles übrige Derartige was nicht in allen Stücken das ist was es heißt seine Benennung auf Grund mißbräuchlicher Anwendung. Da nun auch die Seele in dem Verstand und der Vernunft den eigenthümlichen Vorzug ihrer Vollkommenheiten besitzt, so kann wohl Alles auch was nicht diese Eigenschaften an sich trägt, den

δύναται τῇ ψυχῇ, οὐ μὴν καὶ ὄντως ψυχὴ, ἀλλά τις ἐνέργεια ζωτικὴ, τῇ τῆς ψυχῆς κλήσει συγκεκριμένη. Διὸ καὶ τὴν τῶν ἀλόγων φύσιν, ὡς οὐ πόῤῥω τῆς φυσικῆς ταύτης ζωῆς κειμένην, ὁμοίως ἔδωκε τῇ χρήσει τοῦ ἀνθρώπου, ὁ τὰ καθ' ἕκαστον νομοθετήσας, ὡς ἀντὶ λαχάνου τοῖς
Gen. 9, 3. μετέχουσιν εἶναι. Πάντα γὰρ, φησὶ, τὰ κρέα φάγεσθε, ὡς λάχανα χόρτου. Μικρὸν γάρ τι πλεονεκτεῖν δοκεῖ τῇ αἰσθητικῇ ἐνεργείᾳ τοῦ δίχα ταύτης τρεφομένου τε καὶ [2]αὐξομένου. Παιδευσάτω τοῦτο τοὺς φιλοσάρκους μὴ πολὺ τοῖς κατ' αἴσθησιν φαινομένοις [3]προσδεσμεῖν τὴν διάνοιαν, ἀλλ' ἐν τοῖς ψυχικοῖς προτερήμασι προσασχολεῖσθαι, ὡς τῆς ἀληθοῦς ψυχῆς ἐν τούτοις θεωρουμένης, τῆς δὲ αἰσθήσεως καὶ ἐν τοῖς ἀλόγοις τὸ ἴσον ἐχούσης. Ἀλλ' ἐφ' ἕτερον ἡ ἀκολουθία παρηνέχθη τοῦ λόγου. Οὐ γὰρ τοῦτο τῇ θεωρίᾳ προέκειτο, ὅτι [4]προτιμότερον τῶν ἐν τῷ ἀνθρώπῳ νοουμένων ἐστὶν ἡ κατὰ νοῦν ἐνέργεια ἢ τὸ ὑλικὸν τῆς ὑποστάσεως, ἀλλ' ὅτι οὐχὶ μέρει τινὶ τῶν ἐν ἡμῖν ὁ νοῦς περιέχεται, ἀλλ' ἐπίσης ἐν πᾶσι καὶ διὰ πάντων ἐστὶν, οὔτε ἔξωθεν περιλαμβάνων, οὔτε ἔνδοθεν κρατούμενος· ταῦτα γὰρ ἐπὶ κάδων ἢ ἄλλων τινῶν σωμάτων ἀλλήλοις ἐντιθεμένων κυρίως λέγεται. Ἡ δὲ τοῦ νοῦ πρὸς τὸ σωματικὸν κοινωνία ἄφραστόν τε καὶ ἀνεπινόητον τὴν συνάφειαν ἔχει, οὔτε ἐντὸς οὖσα ([5]οὐ γὰρ ἐγκρατεῖται σώματι τὸ ἀσώματον), οὔτε ἐκτὸς περιέχουσα (οὐ γὰρ περιλαμβάνει τι τὰ ἀσώματα), ἀλλὰ κατά τινα τρόπον ἀμήχανόν τε καὶ ἀκατανόητον ἐγγίζων ὁ νοῦς τῇ φύσει, καὶ προσαπτόμενος, καὶ ἐν αὐτῇ καὶ περὶ αὐτὴν θεωρεῖται, οὔτε ἐγκαθήμενος, οὔτε περιπτυσσόμενος, [6]ἀλλ'
p. 83. ὡς οὐκ ἔστιν εἰπεῖν ἢ νοῆσαι, πλὴν ὅτι κατὰ τὸν ἴδιον

---

2) M. αὐξανομένου. — 3) M. προσδραμεῖν. — 4) M. προτιμώτερον. — 5) M. οὔτε γάρ. — 6) M. ἀλλά.

gleichen Namen mit der Seele führen, allein in Wirklichkeit ist es nicht Seele, sondern bleibt eben nur eine Lebenskraft welche man mit der Benennung Seele in Verbindung gebracht hat. Deßhalb hat der welcher über alles Einzelne gesetzliche Bestimmungen gegeben hat, den Menschen gestattet sich auch der unvernünftigen Geschöpfe, ganz wie der Kräuter des Feldes zu bedienen, weil zwischen ihnen und dem natürlichen Leben dieser kein großer Abstand herrscht. Alles Fleisch, spricht er, sollt Ihr essen wie grünes Kraut! Denn nur Wenig scheint jene Natur durch ihre sinnliche Thätigkeit vor derjenigen welche ohne dieselbe Nahrung und Wachsthum gewinnt vorauszuhaben. Das mag den Fleischlichgesinnten zur Lehre dienen die Gedanken nicht viel an sinnliche Eindrücke zu ketten, sondern auf Erwerbung von Vorzügen der Seele bedacht zu sein, weil die wahre und ächte Seele nur in diesen uns entgegentritt, das gleiche Maß der sinnlichen Empfindung hingegen auch in den vernunftlosen Wesen vorhanden ist. Der Gang der Untersuchung ist indessen auf etwas Anderes abgeschweift. Denn nicht das hatten wir unserer Betrachtung zur Aufgabe gestellt daß von den Eigenschaften des Menschen die Thätigkeit des Denkens werthvoller sei als die materiale Existenz, sondern daß der Geist nicht auf die Schranken eines Theils an uns angewiesen, sondern in gleichem Verhältniß in allen und durch alle vertheilt ist, weder äußerlich Etwas umschließend, noch innerlich wie in einem Gewahrsam gehalten; denn so spricht man eigentlich und passend von Gefäßen oder anderen Körpern welche in einander enthalten sind. Das Verhältniß des Geistes zum Körper beruht auf einem unerklärlichen und unergründlichen Zusammenhang. Die Seele befindet sich weder drinnen (denn das Unkörperliche kann von einem Körper nicht eingeschlossen werden), noch umschließt sie von Außen (denn das Unkörperliche kann Nichts umschließen), sondern der Geist tritt mit der Natur auf eine unerklärbare und unerforschliche Weise in Zusammenhang und Verbindung, und läßt sich in ihr und an ihr beobachten, ohne daß er in ihr liegt, noch sie umschließt. Die Verbindung ist vielmehr derartig daß man sie weder zu beschreiben, noch zu erkennen vermag, außer insoweit daß nach dem bestehenden eigenthümlichen engen Zusammenhang der Geist, wenn die Natur in

αὐτῆς εἱρμὸν εὐοδουμένης τῆς φύσεως καὶ ὁ νοῦς ἐνεργὸς γίνεται, εἰ δέ τι πλημμέλημα περὶ ταύτην συμπέσοι, σκάζει κατ' ἐκεῖνο καὶ τῆς διανοίας ἡ κίνησις.

Κεφ. ιϛ'. Ἀλλ' ἐπαναλάβωμεν πάλιν τὴν θείαν φωνὴν, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. Ὡς μικρά τε καὶ ἀνάξια τῆς τοῦ ἀνθρώπου μεγαλοφυΐας τῶν ἔξωθέν τινες ἐφαντάσθησαν, τῇ πρὸς τὸν κόσμον τοῦτον συγκρίσει μεγαλύνοντες, ὡς ᾤοντο, τὸ ἀνθρώπινον. Φασὶ γὰρ μικρὸν εἶναι κόσμον τὸν ἄνθρωπον, ἐκ τῶν αὐτῶν τῷ παντὶ ϛοιχείων συνεϛηκότα. Οἱ γὰρ τῷ κόμπῳ τοῦ ὀνόματος τοιοῦτον ἔπαινον τῇ ἀνθρωπίνῃ χαριζόμενοι φύσει λελήθασιν ἑαυτοὺς τοῖς περὶ τὸν κώνωπα καὶ τὸν μῦν ἰδιώμασι σεμνοποιοῦντες τὸν ἄνθρωπον. Καὶ γὰρ κἀκείνοις ἐκ τῶν τεσσάρων τούτων ἡ κρᾶσίς ἐϛι, διότι πάντως ἑκάϛου τῶν ὄντων ἢ πλείων ἢ ἐλάττων τις μοῖρα περὶ τὸ ἔμψυχον θεωρεῖται, ὧν ἄνευ συϛῆναί τι τῶν αἰσθήσεως μετεχόντων φύσιν οὐκ ἔχει. Τί οὖν μέγα κόσμου χαρακτῆρα καὶ ὁμοίωμα νομισθῆναι τὸν ἄνθρωπον, οὐρανοῦ τοῦ περιερχομένου, γῆς τῆς ἀλλοιουμένης, πάντων τῶν ἐν τούτοις περικρατουμένων τῇ παρόδῳ τοῦ περιέχοντος συμπαρερχομένων; Ἀλλ' ἐν τίνι κατὰ τὸν ἐκκλησιαϛικὸν λόγον τὸ ἀνθρώπινον μέγεθος; Οὐκ ἐν τῇ πρὸς τὸν κτιϛὸν κόσμον ὁμοιότητι, ἀλλ' ἐν τῷ κατ' εἰκόνα [1] γεγενῆσθαι τῆς τοῦ κτίσαντος φύσεως. Τίς οὖν ὁ τῆς εἰ-
p. 84. κόνος λόγος; ἴσως ἐρεῖς, Πῶς ὡμοίωται [2] τῷ ἀσωμάτῳ τὸ ἐνσώματον; πῶς τῷ ἀϊδίῳ τὸ πρόσκαιρον; τῷ ἀναλλοιώτῳ τὸ διὰ τροπῆς ἀλλοιούμενον; τῷ ἀπαθεῖ τε καὶ ἀφθάρτῳ τὸ ἐμπαθὲς καὶ φθειρόμενον; τῷ ἀμιγεῖ πάσης κακίας τὸ πάντοτε συνοικοῦν ταύτῃ καὶ συντρεφόμενον; πολὺ γὰρ τὸ μέσον ἐϛὶ τοῦ τε κατὰ τὸ ἀρχέτυπον νοουμένου καὶ τοῦ κατ' εἰκόνα γεγενημένου. Ἡ γὰρ εἰκὼν εἰ

1) M. γενέσθαι. — 2) M. τῷ σώματι τὸ ἀσώματον.

gesundem Zustande sich befindet, seinerseits auch thätig und wirksam ist, dagegen, wenn ihr eine Beschädigung widerfährt, nach Verhältniß dessen dann auch die Thätigkeit des Denkvermögens erlahmt.

Kap. 16. Nehmen wir aber wiederum den göttlichen Ausspruch auf, Laßt uns Menschen machen nach unserem Bilde, und uns ähnlich: von wie kleinlicher und der Größe des Menschen unwürdiger Vorstellung sind einige Nichtchristen befangen gewesen, da sie den Menschen dadurch zu verherrlichen wähnten daß sie ihn mit dieser Welt verglichen! Sie behaupten nämlich der Mensch sei eine kleine Welt und bestehe aus denselben Elementen wie das All. Diejenigen welche mit diesem prahlenden Ausdruck der menschlichen Natur ein solches Lob zu spenden beabsichtigen, vergessen daß sie den Menschen mit keinen anderen Eigenschaften als denen der Mücke und der Maus zieren. Denn auch jene sind aus diesen vier Elementen zusammengesetzt, weil überhaupt ein größerer oder geringerer Theil von Materie an dem lebendigen Geschöpf wahrgenommen wird ohne welche irgend etwas mit sinnlicher Empfindung Begabtes seiner Natur nach nicht bestehen kann. Was ist's demnach Großes den Menschen für ein Bild und Conterfei der Welt zu halten, des Himmels welcher vergeht, der Erde welche sich verändert, da Alles was in diesen enthalten ist mit dem Untergange dessen wodurch es zusammengehalten wird mituntergehen wird? Worin besteht hingegen nach der Lehre der Kirche die Größe des Menschen? Nicht in der Aehnlichkeit mit der geschaffenen Welt, sondern darin daß er nach dem Bilde der Natur des Erschaffers entstanden ist. Wenn dem so ist, sagst Du vielleicht, welchen Sinn hat dann der Ausdruck Bild? Wie hat das Körperliche Aehnlichkeit mit dem Unkörperlichen, wie hat das Zeitliche mit dem Ewigen, das durch Wechsel Veränderliche mit dem Unveränderlichen, das dem Einfluß von Außen und damit dem Verderben Preisgegebene mit dem jeder Affection und dem Untergang Fernstehenden, das durchweg mit dem Bösen Verbundene und Verwachsene mit dem was von allem Bösen rein ist Aehnlichkeit gewinnen können? Denn es ist ein großer Unterschied zwischen dem was wir uns dem Urbilde entsprechend vorstellen und dem was nach dem Bilde gemacht ist.

μὲν ἔχει τὴν πρὸς τὸ πρωτότυπον ὁμοιότητα, κυρίως τοῦτο κατονομάζεται, εἰ δὲ παρενεχθείη τοῦ προκειμένου ἡ μίμησις, ἄλλο τι, καὶ οὐκ εἰκὼν ἐκείνου τὸ τοιοῦτόν ἐςι. Πῶς οὖν ὁ ἄνθρωπος, τὸ θνητὸν τοῦτο καὶ ἐμπαθὲς καὶ ὠκύμορον, τῆς ἀκηράτου καὶ καθαρᾶς καὶ ἀεὶ οὔσης φύσεώς ἐςιν εἰκών; Ἀλλὰ τὸν μὲν ἀληθῆ περὶ τούτου λόγον μόνη ἂν εἰδείη σαφῶς ἡ ὄντως ἀλήθεια. Ἡμεῖς δὲ καθ' ὅσον χωροῦμεν, ςοχασμοῖς τισι καὶ ὑπονοίαις τὸ ἀληθὲς ἀνιχνεύοντες ταῦτα περὶ τῶν ζητουμένων ὑπολαμβάνομεν. Οὔτε ὁ θεῖος ψεύδεται λόγος κατ' εἰκόνα θεοῦ εἰπὼν γεγενῆσθαι τὸν ἄνθρωπον, οὔτε ἡ ἐλεεινὴ τῆς ἀνθρωπίνης φύσεως ταλαιπωρία τῇ μακαριότητι τῆς ἀπαθοῦς ζωῆς καθωμοίωται. Ἀνάγκη γὰρ τῶν δύο τὸ ἕτερον ὁμολογεῖσθαι, εἴ τις συγκρίνοι τῷ θεῷ τὸ ἡμέτερον, ἢ παθητὸν εἶναι τὸ θεῖον, ἢ ἀπαθὲς τὸ ἀνθρώπινον, ὡς ἂν διὰ τῶν ἴσων ὁ τῆς ὁμοιότητος λόγος ἐπ' ἀμφοτέροις καταλαμβάνοιτο. Εἰ δὲ οὔτε τὸ θεῖον ἐμπαθὲς, οὔτε τὸ καθ' ἡμᾶς ἔξω πάθους ἐςὶν, ἆρα τις ἕτερος ὑπολέλειπται λόγος, καθ' ὃν ἀληθεύειν φαμὲν τὴν θείαν φωνὴν, τὴν ἐν εἰκόνι θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον λέγουσαν. Οὐκοῦν αὐτὴν ἐπαναληπτέον ἡμῖν τὴν θείαν γραφὴν, εἴ τις ἄρα γένοιτο διὰ τῶν γεγραμμένων πρὸς τὸ ζητούμενον [3] ἡμῖν χειραγωγία. Μετὰ τὸ εἰπεῖν ὅτι, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα, καὶ ἐπὶ τίσι ποιήσωμεν, ἐπάγει τοῦτον τὸν λόγον ὅτι, Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, καὶ κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Εἴρηται μὲν οὖν ἤδη καὶ ἐν τοῖς ἔμπροσθεν ὅτι πρὸς καθαί-
p. 85. ρεσιν τῆς αἱρετικῆς ἀσεβείας ὁ τοιοῦτος προαναπεφώνηται λόγος, ἵνα διδαχθέντες ὅτι ἐποίησε τὸν ἄνθρωπον ὁ μονογενὴς θεὸς κατ' εἰκόνα θεοῦ, μηδενὶ λόγῳ τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ διακρίνωμεν, ἐπίσης τῆς ἁγίας γραφῆς θεὸν ἑκάτερον ὀνομαζούσης, τόν τε πεποιηκότα τὸν ἄνθρωπον, καὶ οὗ κατ' εἰκόνα ἐγένετο. Ἀλλ'

---

3) Bei M. fehlt ἡμῖν.

Hat nämlich das Bild Aehnlichkeit mit dem Urbilde, so führt es diesen Namen mit Recht und eigentlich; weicht dagegen die Nachahmung von ihrem Gegenstande ab, so ist diese etwas Anderes, aber nicht das Bild von jenem. Wie ist also der Mensch, dieses sterbliche, fremden Einflüssen preisgegebene und hinfällige Wesen, ein Bild der lauteren und reinen und ewigen Natur? In der That, das wahre Verhältniß davon dürfte allein die wirkliche und göttliche Wahrheit selbst mit klarer Sicherheit wissen. Wir suchen nach unserer Fassungskraft durch Rathen und Vermuthen die Wahrheit zu ergründen, und haben über die angeregte Frage folgende Ansicht. Weder das göttliche Wort lügt, wenn es sagt, der Mensch sei nach dem Bilde Gottes erschaffen, noch hat das erbarmungswürdige Elend der menschlichen Natur eine Aehnlichkeit mit der Glückseligkeit des von jedem Affect und Leiden freien Lebens. Wollen wir uns mit Gott vergleichen, so müssen wir uns für Eins von beiden erklären, entweder dafür daß Gott dem Affecte unterworfen, oder daß der Mensch ihm nicht unterworfen ist, damit durch die dadurch bedingte Gleichheit der Begriff der Aehnlichkeit für beide Theile gesichert werde. Ist aber weder Gott dem Affecte unterworfen, noch unsere Natur davon befreit, so bleibt noch ein Drittes, wodurch unserer Meinung nach die Wahrheit des göttlichen Ausspruchs, daß der Mensch nach dem Bilde Gottes geschaffen sei, erwiesen wird. Laßt uns also die heilige Schrift selbst wieder aufnehmen, ob vielleicht in dem was geschrieben steht für uns eine Anleitung zur Lösung der Frage enthalten ist. Nach den Worten, Laßt uns Menschen machen nach unserem Bilde, und nachdem auch gesagt, weßhalb Gott ihn machen will, setzt sie hinzu, Und Gott schuf den Menschen, und schuf ihn nach dem Bilde Gottes; ein Männlein und ein Weiblein schuf er sie. Nun ist bereits schon früher gesagt worden, daß diese Worte gesprochen sind zur Vernichtung der ketzerischen Gottlosigkeit, damit sie, dahin belehrt daß der eingeborene Gott den Menschen nach dem Bilde Gottes geschaffen hat, in keiner Weise die Gottheit des Vaters und die des Sohnes von einander trennen, indem die heilige Schrift den einen ebenso wie den anderen Gott nennt, den welcher den Menschen geschaffen hat, und den nach dessen Bild er geschaffen wurde. Doch

ὁ μὲν περὶ τούτων λόγος ἀφείσθω, πρὸς δὲ τὸ προκείμενον ἐπιςρεπτέον τὴν ζήτησιν, πῶς καὶ τὸ θεῖον μακάριον καὶ ἐλεεινὸν τὸ ἀνθρώπινον, καὶ ὅμοιον ἐκείνῳ τοῦτο παρὰ τῆς γραφῆς ὀνομάζεται. Οὐκοῦν ἐξεταςέον μετ' ἀκριβείας τὰ ῥήματα. [4]Εὑρίσκομεν γὰρ ὅτι ἕτερον μέν τι τὸ κατ' εἰκόνα γενόμενον, ἕτερον δὲ τὸ νῦν ἐν ταλαιπωρίᾳ δεικνύμενον. Ἐποίησεν ὁ θεὸς, φησὶ, τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. Τέλος ἔχει ἡ τοῦ κατ' εἰκόνα γεγενημένου κτίσις. Εἶτα ἐπανάληψιν ποιεῖται τοῦ κατὰ τὴν κατασκευὴν λόγου καί φησιν, Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Πάντι γὰρ οἶμαι γνώριμον εἶναι ὅτι ἔξω τοῦτο τοῦ πρωτοτύπου νοεῖται. Ἐν γὰρ Χριςῷ Ἰησοῦ, καθώς φησιν ὁ ἀπόςολος, οὔτε ἄῤῥεν οὔτε θῆλύ
Galat. 3, 28. ἐςιν. Ἀλλὰ μὴν εἰς ταῦτα διῃρῆσθαι ὁ λόγος φησὶ τὸν ἄνθρωπον. Οὐκοῦν διπλῆ τίς ἐςιν ἡ τῆς φύσεως ἡμῶν κατασκευὴ, ἥ τε πρὸς τὸ θεῖον ὁμοιωμένη, ἥ τε πρὸς τὴν διαφορὰν ταύτην διῃρημένη. Τοιοῦτον γάρ τι ὁ λόγος ἐκ τῆς συντάξεως τῶν γεγραμμένων αἰνίττεται, πρῶτον μὲν εἰπὼν ὅτι, Ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, πάλιν δὲ τοῖς εἰρημένοις ἐπαγαγὼν ὅτι, Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, ὅπερ ἀλλότριον τῶν περὶ θεοῦ νοουμένων ἐςίν. Οἶμαι γὰρ ἐγὼ δόγμά τι μέγα καὶ ὑψηλὸν διὰ τῶν εἰρημένων ὑπὸ τῆς θείας γραφῆς παραδίδοσθαι, τὸ δὲ δόγμα τοιοῦτόν ἐςι. Δύο τινῶν κατὰ τὸ ἀκρότατον πρὸς ἄλληλα διεςηκότων μέσον ἐςὶ τὸ ἀνθρώπινον, τῆς τε θείας καὶ ἀσωμάτου φύσεως, καὶ τῆς ἀλόγου καὶ κτηνώδους ζωῆς. Ἔξεςι γὰρ ἑκατέρου τῶν εἰρημένων ἐν τῷ ἀνθρωπίνῳ συγκρίματι θεωρῆσαι τὴν μοῖραν, τοῦ μὲν θείου τὸ λογικόν τε καὶ διανοητικὸν,
p. 86. ὃ τὴν κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορὰν οὐ προςίεται, τοῦ δὲ ἀλόγου τὴν σωματικὴν κατασκευὴν καὶ διάπλασιν εἰς ἄῤῥεν τε καὶ θῆλυ μεμερισμένην (ἑκάτερον γὰρ τούτων ἐςὶ πάντως ἐν παντὶ τῷ μετέχοντι τῆς ἀνθρωπίνης

4) M. εὑρήσομεν.

lassen wir die weiteren Erörterungen hierüber, und führen wir die Untersuchung auf die Hauptfrage über, wie nämlich bei der einerseits bestehenden Glückseligkeit Gottes, und der andernseits vorhandenen Elendlichkeit des Menschen, von der heiligen Schrift eine Aehnlichkeit beider behauptet werden könne. Untersuchen wir demnach mit Genauigkeit die Worte. Wir finden nämlich daß das was nach dem Bilde geschaffen wurde und das was sich jetzt im Stande des Elends zeigt zwei verschiedene Dinge sind. Gott machte, heißt es, den Menschen, nach dem Bilde Gottes machte er ihn. Die Erschaffung dessen der nach dem Bilde gemacht ist bildet den Beschluß. Hierauf kommt die Schrift nochmals auf die Erzählung von der Erschaffung zurück, und sagt. Ein Männlein und ein Weiblein schuf er sie. Ich glaube daß es Jedem deutlich ist daß dies nicht mit Bezug auf das Urbild verstanden werden kann. Denn in Christo Jesu, wie der Apostel spricht, ist weder Mann, noch Weib. Nun erzählt aber doch die Schrift daß der Mensch nach diesen beiden Richtungen hin getheilt worden sei. Hienach ist die Einrichtung unserer Natur eine doppelte, eine Gott ähnlich gemachte, und eine nach jenem Unterschied getheilte. Nach dem Zusammenhang dessen was geschrieben steht scheint nämlich etwa Folgendes von der Schrift angedeutet zu werden durch die Worte, Gott schuf den Menschen, nach dem Bilde Gottes schuf er ihn, und dann durch den Zusatz, Ein Männlein und ein Weiblein schuf er sie; denn dies Letztere ist den Eigenschaften Gottes fremd. Es wird meiner Ansicht nach durch die Worte der göttlichen Schrift eine große und erhabene Lehre überliefert, und diese Lehre ist folgende. Der Mensch bildet die Mitte von zwei äußersten Gegensätzen, nämlich die Mitte zwischen der göttlichen und körperlosen Natur einerseits und dem vernunftlosen und thierischen Leben andernseits. Von beiden kann man in dem menschlichen Complex den Antheil erkennen, nämlich von dem Göttlichen die Gabe der Vernunft und des Verstandes, welche mit dem Unterschiede von Mann und Weib Nichts zu schaffen hat, von dem Vernunftlosen aber die körperliche Einrichtung und Bildung welche nach Mann und Weib unterschieden ist (in Allem nämlich was menschliches Leben hat ist dieses beides nothwendig vorhanden), aber zu-

ζωῆς), ἀλλὰ προτερεύειν τὸ νοερὸν, καθὼς παρὰ τοῦ τὴν ἀνθρωπογονίαν ἐν τάξει διεξελθόντος ἐμάθομεν, ἐπιγεννηματικὴν δὲ εἶναι τῷ ἀνθρώπῳ τὴν πρὸς τὸ ἄλογον κοινωνίαν τε καὶ συγγένειαν. Πρῶτον μὲν γάρ φησιν ὅτι, Ἐποίησεν ὁ θεὸς κατ' εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρωπον, δεικνὺς διὰ τῶν εἰρημένων, καθώς φησιν ὁ ἀπόςολος, ὅτι ἐν τῷ τοιούτῳ ἄῤῥεν καὶ θῆλυ οὐκ ἔςιν· εἶτα ἐπάγει τῆς ἀνθρωπίνης φύσεως τὰ ἰδώματα ὅτι, Ἄῤῥεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Τί οὖν διὰ τούτου μανθάνομεν; καί μοι μηδεὶς νεμεσάτω πόῤῥωθεν προσάγοντι τὸν λόγον τῷ προκειμένῳ νοήματι. Θεὸς τῇ ἑαυτοῦ φύσει πᾶν ὅτιπερ ἔςι κατ' ἔννοιαν λαβεῖν ἀγαθὸν ἐκεῖνό ἐςι, μᾶλλον δὲ παντὸς ἀγαθοῦ τοῦ νοουμένου τε καὶ καταλαμβανομένου ἐπέκεινα ὢν, οὐ δι' ἄλλο τι κτίζει τὴν ἀνθρωπίνην ζωὴν ἢ διὰ τὸ ἀγαθὸς εἶναι. Τοιοῦτος δὲ ὢν, καὶ διὰ τοῦτο πρὸς τὴν δημιουργίαν τῆς ἀνθρωπίνης φύσεως ὁρμήσας, οὐκ ἂν ἡμιτελῆ τὴν τῆς ἀγαθότητος ἐνεδείξατο δύναμιν, τὸ μέν τι δοὺς ἐκ τῶν προσόντων αὐτῷ, τοῦ δὲ φθονήσας τῆς μετουσίας, ἀλλὰ τὸ τέλειον τῆς ἀγαθότητος εἶδος ἐν τούτῳ ἐςὶν, ἐκ τοῦ καὶ παραγαγεῖν τὸν ἄνθρωπον ἐκ τοῦ μὴ ὄντος εἰς γένεσιν, καὶ ἀνενδεᾶ τῶν ἀγαθῶν ἀπεργάσασθαι. Ἐπεὶ δὲ πολὺς τῶν καθ' ἕκαςον ἀγαθῶν ὁ κατάλογος, οὐμενοῦν ἔςιν ἀριθμῷ ῥαδίως τοῦτον διαλαβεῖν. Διὰ τοῦτο περιληπτικῇ τῇ φωνῇ ἅπαντα συλλαβὼν ὁ λόγος ἐσήμανεν ἐν τῷ εἰπεῖν κατ' εἰκόνα θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον. Ἴσον γάρ ἐςι τοῦτο τῷ εἰπεῖν ὅτι παντὸς ἀγαθοῦ μέτοχον τὴν ἀνθρωπίνην φύσιν ἐποίησεν. Εἰ γὰρ πλήρωμα μὲν ἀγαθῶν τὸ θεῖον, ἐκείνου δὲ τοῦτο εἰκὼν, ἄρ' ἐν τῷ πλῆρες εἶναι παντὸς ἀγαθοῦ πρὸς τὸ ἀρχέτυπον ἡ εἰκὼν ἔχει τὴν ὁμοιότητα. Οὐκοῦν ἔςιν ἐν ἡμῖν παντὸς μὲν καλοῦ ἰδέα, πᾶσα δὲ ἀρετὴ καὶ σοφία, καὶ πᾶν ὅτιπέρ ἐςι πρὸς τὸ κρεῖττον νοούμενον. Ἓν
p. 87. δὲ τῶν πάντων καὶ τὸ ἐλεύθερον ἀνάγκης εἶναι, καὶ μὴ ὑπεζεῦχθαι τινὶ φυσικῇ δυναςείᾳ, ἀλλ' αὐτεξούσιον πρὸς τὸ δοκοῦν ἔχειν τὴν γνώμην. Ἀδέσποτον γάρ τι χρῆμα

gleich auch daß die Gabe des Denkens die erstverliehene ist, wie wir von dem vernahmen welcher die Erschaffung des Menschen ihrem Verlaufe nach erzählt hat, und daß die Gemeinschaft und Verwandtschaft mit dem Unvernünftigen dem Menschen erst später zufiel. Denn zuerst spricht er, Gott schuf den Menschen nach dem Bilde Gottes, und zeigt durch diese Worte daß, wie der Apostel sagt, in solchem Mann und Weib nicht ist; dann fügt er die menschlichen Eigenschaften hinzu mit den Worten, Er schuf sie ein Männlein und ein Weiblein. Was lernen wir also hieraus? Zürne mir Niemand, wenn ich mit meiner Rede weit aushole um auf gegenwärtige Erklärung der Worte der Schrift zu kommen. Gott ist durch seine Natur jene höchste für unser Denken begreifbare Güte, oder vielmehr, er steht noch über aller Güte welche für uns zu denken und zu fassen möglich ist, und er wird zum Schöpfer des Menschenlebens aus keinem anderen Grunde als weil er gut ist. Als solcher, und weil er eben darum sich das Werk der menschlichen Natur unternommen hat, bewies er die Macht seiner Güte schwerlich halb, so daß er ihm nur einen Theil seiner Güter zu eigen gegeben, und den Besitz des anderen neidisch vorenthalten hätte, vielmehr liegt seine vollendete Güte grade darin, daß er den Menschen aus dem Nichtsein in das Dasein rief und ihn reich mit Gütern ausstattete. Die Menge aller dieser Güter ist aber so groß daß man in der That sie nicht leicht durch eine Zahl bestimmen kann. Darum hat die Schrift Alles in dem inhaltsvollen Ausdruck zusammengefaßt bezeichnet, womit sie sagt daß der Mensch nach dem Bilde Gottes geschaffen sei. Denn das ist ebensoviel als wenn sie sagte daß er die menschliche Natur jedes Gutes theilhaftig gemacht habe. Ist nämlich Gott die Fülle aller Güter, und ist jene das Abbild von ihm, so beruht natürlich die Aehnlichkeit des Abbildes mit seinem Urbilde auf dem Vollbesitz jeglichen Gutes. Sonach liegt in uns die Idee alles Guten und Schönen, alle Tugend und Weisheit, und was der Gedanke nur Treffliches findet. Eins davon ist aber daß wir frei von Zwang, und keinem Joche physischer Gewaltherrschaft unterworfen sind, sondern einen selbstständigen Willen, welcher sich nach dem was ihm gut dünkt entschließt, besitzen. Denn die Tugend ist ein Ding was unter keiner Herrschaft steht, was

ἡ ἀρετὴ, καὶ ἑκούσιον, τὸ δὲ κατηναγκασμένον καὶ βεβιασμένον ἀρετὴ εἶναι οὐ δύναται. Ἐν πᾶσι] τοίνυν τῆς εἰκόνος τοῦ πρωτοτύπου κάλλους τὸν χαρακτῆρα φερούσης, εἰ μὴ κατά τι τὴν διαφορὰν ἔχῃ, οὐκέτι ἂν εἴη πάντως ὁμοίωμα, ἀλλὰ ταὐτὸν ἐκεῖνο διὰ πάντων ἀναδειχθήσεται τὸ ἐν παντὶ ἀπαράλλακτον. Τίνα τοίνυν αὐτοῦ τε τοῦ θείου καὶ τοῦ πρὸς τὸ θεῖον ὁμοιωμένου τὴν διαφορὰν καθορῶμεν; Ἐν τῷ τὸ μὲν ἀκτίςως εἶναι, τὸ δὲ διὰ κτίσεως ὑποςῆναι. Ἡ δὲ τῆς τοιαύτης ἰδιότητος διαφορὰ πάλιν ἑτέρων ἰδιωμάτων ἀκολουθίαν ἐποίησε. Συνομολογεῖται γὰρ πάντη τε καὶ πάντως τὴν μὲν ἄκτιςον φύσιν καὶ ἄτρεπτον εἶναι καὶ ἀεὶ ὡςαύτως ἔχειν, τὴν δὲ κτιςὴν ἀδύνατον ἄνευ ἀλλοιώσεως συςῆναι. Αὐτὴ γὰρ ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδος κίνησίς τίς ἐςι καὶ ἀλλοίωσις τοῦ μὴ ὄντος εἰς τὸ εἶναι κατὰ τὸ θεῖον βούλημα μεθιςαμένου. Καὶ ὥςπερ τὸν ἐπὶ τοῦ χαλκοῦ χαρακτῆρα Καίσαρος εἰκόνα λέγει τὸ εὐαγγέλιον, δι' οὗ μανθάνομεν κατὰ μὲν τὸ [5] σχῆμα τὴν ὁμοίωσιν εἶναι τοῦ μεμορφωμένου πρὸς Καίσαρα, ἐν δὲ τῷ ὑποκειμένῳ τὴν διαφορὰν ἔχειν, οὕτω καὶ κατὰ τὸν παρόντα λόγον ἀντὶ χαρακτήρων τὰ ἐπιθεωρουμένα τῇ τε θείᾳ φύσει καὶ τῇ ἀνθρωπίνῃ κατανοήσαντες, ἐν οἷς ἡ ὁμοιότης ἐςὶν, ἐν τῷ ὑποκειμένῳ τὴν διαφορὰν ἐξευρίσκομεν, ἥ τις ἐν τῷ ἀκτίςῳ καὶ τῷ κτιςῷ καθορᾶται. Ἐπειδὴ τοίνυν τὸ μὲν ὡςαύτως [6] ἔχει ἀεὶ, τὸ δὲ διὰ κτίσεως γεγενημένον ἀπ' ἀλλοιώσεως τοῦ εἶναι ἤρξατο, καὶ συγγενῶς πρὸς τὴν τοιαύτην ἔχει τροπὴν, διὰ τοῦτο ὁ εἰδὼς τὰ πάντα πρὶν γενέ-
Susann. 42. σεως αὐτῶν, καθώς φησιν ἡ προφητεία, ἐπακολουθήσας, μᾶλλον δὲ προκατανοήσας τῇ προγνωςικῇ δυνάμει πρὸς ὅ τι ῥέπει κατὰ τὸ αὐτοκρατές τε καὶ αὐτεξούσιον [7] ἡ τῆς ἀνθρωπίνης προαιρέσεως κίνησις, ἐπειδὴ τὸ ἐσόμενον εἶδεν, ἐπιτεχνᾶται τῇ εἰκόνι τὴν περὶ τὸ ἄῤῥεν καὶ θῆλυ διαφοράν.
p. 88. Ἥτις οὐκέτι πρὸς τὸ θεῖον ἀρχέτυπον βλέπει, ἀλλὰ, καθὼς

5) M. πρόσχημα. — 6) M. ἔχει, καὶ ἀεί. — 7) M. τῆς ἀνθρ. πρ. ἡ κίνησις.

eigenen, freien Willens ist, und etwas was durch Zwang und Gewalt hervorgebracht ist, kann unmöglich Tugend sein. Würde nun das Bild in allen Stücken das Gepräge der originalen Schönheit und ohne jeglichen Unterschied an sich tragen, so würde es schwerlich mehr ein Conterfei sein, sondern durch die völlige Unterschiedslosigkeit würde sich die völlige Identität erweisen. Was sehen wir also für einen Unterschied zwischen Gott selbst und dem was ihm ähnlich gemacht worden ist? Der Unterschied liegt darin daß des Einen Existenz eine unerschaffene, des Anderen eine erschaffene ist, und dieser auf diesen Eigenthümlichkeiten beruhende Unterschied hat wiederum andere Eigenthümlichkeiten zur Folge. Man wird allgemein und mit Entschiedenheit zugestehen daß die unerschaffene Natur auch eine unveränderliche ist, und daß sie immer dieselbe bleibt, daß dagegen die erschaffene unmöglich ohne Veränderung bestehen kann. Denn selbst der Uebergang aus dem Nichtsein in das Sein ist eine Bewegung und Veränderung dessen was bisher ohne Existenz war und nun nach dem göttlichen Willen in die Existenz übertritt. Und gleichwie das Evangelium das Gepräge auf dem Erzstücke des Kaisers Bild nennt, woraus wir lernen daß die Aehnlichkeit in der Nachbildung des Kaisers sich auf die äußere Gestaltung bezieht, der Unterschied dagegen in der Sache liegt, so finden wir auch bei gegenwärtiger Untersuchung, wenn wir an Stelle des Gepräges die Eigenschaften der göttlichen und menschlichen Natur, in welchen die Aehnlichkeit enthalten ist, unserer Betrachtung unterziehen, daß der Unterschied in jenen Naturen selbst liegt, wie er uns in dem Begriff von Unerschaffen und Erschaffen entgegentritt. Da nun das Unerschaffene sich immer gleich verhält, dagegen das mittelst Erschaffung ins Dasein Gelangte den Anfang seiner Existenz von einer Veränderung ableitet und mit dem Wechsel verwandt ist, darum richtet der welcher, nach dem Worte des Propheten, Alles wußte ehe es war, weil er erkannte, oder vielmehr in seiner providentialen Kraft im Voraus wußte, welche Richtung die Bewegung des menschlichen Willens nach der ihm eigenen Unabhängigkeit und Selbstständigkeit einschlagen würde, an dem Bilde den Unterschied von Mann und Weib ein. Dieser Unterschied hat Nichts mehr mit dem göttlichen Urbilde zu schaffen, sondern gehört, wie schon gesagt, der

p. 88. εἴρηται, τῇ ἀλογωτέρᾳ προςῳκείωται φύσει. Τὴν δὲ αἰτίαν τῆς τοιαύτης ἐπιτεχνήσεως μόνοι μὲν ἂν εἰδεῖεν οἱ τῆς ἀληθείας αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου, ἡμεῖς δὲ, καθὼς ἐςι δυνατὸν, διὰ ςοχασμῶν τινων καὶ εἰκόνων φαντασθέντες τὴν ἀλήθειαν τὸ ἐπὶ νοῦν ἐλθὸν οὐκ ἀποφαντικῶς ἐκτιθέμεθα, ἀλλ' ὡς ἐν γυμνασίας εἴδει τοῖς εὐγνώμοσι τῶν ἀκροωμένων προςθήσομεν. Τί τοίνυν ἐςὶν ὃ περὶ τούτων διενοήθημεν; Εἰπὼν ὁ λόγος ὅτι, Ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, τῷ ἀορίςῳ τῆς σημασίας ἅπαν ἐνδείκνυται τὸ ἀνθρώπινον. Οὐ γὰρ συνωνομάσθη τῷ κτίσματι νῦν ὁ Ἀδὰμ, καθὼς ἐν τοῖς ἐφεξῆς ἡ ἱςορία φησὶν, ἀλλ' ὄνομα τῷ κτισθέντι ἀνθρώπῳ οὐχ ὁ τὶς, ἀλλ' ὁ καθόλου ἐςίν. Οὐκοῦν τῇ καθολικῇ τῆς φύσεως κλήσει τοιοῦτόν τι ὑπονοεῖν ἐναγόμεθα ὅτι τῇ θείᾳ προγνώσει τε καὶ δυνάμει πᾶσα ἡ ἀνθρωπότης ἐν τῇ πρώτῃ κατασκευῇ περιείληπται· χρὴ γὰρ θεῷ μηδὲν ἀόριςον ἐν τοῖς γεγενημένοις παρ' αὐτοῦ νομίζειν, ἀλλ' ἑκάςου τῶν ὄντων εἶναί τι πέρας καὶ μέτρον, τῇ τοῦ πεποιηκότος σοφίᾳ περιμετρούμενον. Ὥςπερ τοίνυν ὅ τις ἄνθρωπος τῷ κατὰ τὸ σῶμα ποσῷ περιείργεται, καὶ μέτρον αὐτῷ τῆς ὑποςάσεως ἡ πηλικότης ἐςὶν, ἡ συναπαρτιζομένη τῇ ἐπιφανείᾳ τοῦ σώματος, οὕτως οἶμαι καθάπερ ἐν ἑνὶ σώματι ὅλον τὸ τῆς ἀνθρωπότητος πλήρωμα τῇ προγνωςικῇ δυνάμει παρὰ τοῦ θεοῦ τῶν ὅλων περισχεθῆναι, καὶ τοῦτο διδάσκειν τὸν λόγον τὸν εἰπόντα ὅτι, Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, καὶ κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. Οὐ γὰρ ἐν μέρει τῆς φύσεως ἡ εἰκὼν, οὐδὲ ἔν τινι τῶν καθ' [8] αὐτὴν θεωρουμένων ἡ χάρις, ἀλλ' ἐφ' ἅπαν τὸ γένος ἐπίσης ἡ τοιαύτη διήκει δύναμις. Σημεῖον δὲ ὅτι πᾶσιν ὡςαύτως ὁ νοῦς ἐγκαθίδρυται. Πάντες τοῦ διανοεῖσθαι καὶ προβουλεύειν τὴν δύναμιν ἔχουσι, καὶ τὰ ἄλλα πάντα δι' ὧν ἡ θεία φύσις ἐν τῷ κατ' αὐτὴν γεγο-

---

8) M. αὐτὸν.

mehr vernunftlosen Natur an. Die Ursache dieser künstlichen Einrichtung dürften allein die kennen welche die Wahrheit selbst von Angesicht zu Angesicht schauen und Diener des Wortes sind, wir hingegen wollen, nachdem wir durch Rathen und Schließen und durch Bilder nach Möglichkeit eine Vorstellung von der Wahrheit zu gewinnen bemüht gewesen sind, unsere Gedanken zwar offen aussprechen, aber keineswegs mit der Behauptung ihrer unumstößlichen Richtigkeit, sondern sie mehr in Gestalt eines Versuchs unseren nachsichtigen Zuhörern vorlegen. Welches sind also unsere Gedanken über diesen Gegenstand? Wenn die Schrift sagt, Gott schuf den Menschen, so bezeichnet sie durch die Unbestimmtheit des Ausdrucks das ganze Menschengeschlecht. Denn hier ist nicht der Name Adam, wie das die Erzählung im Folgenden thut, mit dem Geschöpfe in Verbindung gebracht, sondern der geschaffene Mensch führt seinen Namen nicht als eine gewisse Persönlichkeit, sondern ganz allgemein. So werden wir durch die allgemeine Benennung der Natur etwa auf die Vermuthung geführt, daß die göttliche Vorsicht und Macht die ganze Menschheit bei jener ersten Erschaffung und Einrichtung zusammenbegriffen hat. Denn Gott darf man keine Unbestimmtheit in seinen Werken beimessen, sondern muß den Glauben haben daß jedes Ding von der Weisheit des Schöpfers sein Ziel und sein Maß zugetheilt erhalten habe. Wie also der individuelle Mensch an ein körperliches Quantitätsverhältniß gebunden, und ihm in seiner Größe, welche sich nach der Fläche des Körpers bestimmt, das Maß seiner Persönlichkeit gegeben ist, so, meine ich, ist von dem Schöpfer aller Dinge in providentialer Macht die Gesammtheit der Menschen gleichsam in einem einzigen Körper zusammengefaßt worden, und dies lehrt uns die Schrift, wenn sie sagt, Und Gott schuf den Menschen, und nach dem Bilde Gottes schuf er ihn. Denn nicht in einem einzelnen Theile der menschlichen Natur ist der Sitz des Bildes, noch ruht die Gnadengabe auf irgend einer ihrer Eigenschaften, sondern die Kraft läuft gleichmäßig durch das ganze Geschlecht. Beweis ist daß das Denkvermögen Allen in gleicher Weise eingepflanzt ist. Alle haben die Fähigkeit zu denken und vorher zu überlegen, und alle übrigen Eigenschaften durch welche die göttliche Natur sich in ihrem Conterfei

νότι ἀπεικονίζεται. Ὁμοίως ἔχει ὅ τε τῇ πρώτῃ τοῦ κό-
p. 89. σμου κατασκευῇ συναναδειχθεὶς ἄνθρωπος καὶ ὁ μετὰ τὴν τοῦ παντὸς συντέλειαν γενησόμενος. Ἐπίσης ἐφ' ἑαυτῶν φέρουσι τὴν θείαν εἰκόνα. Διὰ τοῦτο εἷς ἄνθρωπος κατωνομάσθη τὸ πᾶν ὅτι τῇ δυνάμει τοῦ θεοῦ οὔτε τι παρῴχηκεν, οὔτε μέλλει, ἀλλὰ καὶ τὸ προςδοκώμενον ἐπίσης τῷ παρόντι τῇ περιεκτικῇ τοῦ παντὸς ἐνεργείᾳ περικρατεῖται. Πᾶσα τοίνυν ἡ φύσις ἡ ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων διήκουσα μία τις τοῦ ὄντος ἐςὶν εἰκών. Ἡ δὲ πρὸς τὸ ἄῤῥεν καὶ θῆλυ τοῦ γένους διαφορὰ προςκατεσκευάσθη τελευταῖον τῷ πλάσματι, διὰ τὴν αἰτίαν, ὡς οἶμαι, ταύτην.

Κεφ. ιζ'. Μᾶλλον δὲ, πρὶν τὸ προκείμενον διερευνῆσαι, κρεῖττον ἴσως τοῦ προφερομένου παρὰ τῶν μαχομένων ἡμῖν ἐπιζητῆσαι τὴν λύσιν. Λέγουσι γὰρ περὶ τῆς ἁμαρτίας μήτε τόκον ἱςορεῖσθαι, μήτε ὠδῖνα, μήτε τὴν πρὸς παιδοποιΐαν ὁρμήν. Ἀποικισθέντων δὲ τοῦ παραδείσου μετὰ τὴν ἁμαρτίαν, καὶ τῆς γυναικὸς τῇ τιμωρίᾳ τῶν ὠδίνων κατακριθείσης, οὕτως ἐλθεῖν τὸν Ἀδὰμ εἰς τὸ γνῶναι γαμικῶς τὴν ὁμόζυγον, καὶ τότε τῆς παιδοποιΐας τὴν ἀρχὴν γενέσθαι. Εἰ οὖν γάμος ἐν τῷ παραδείσῳ οὐκ ἦν, οὔτε ὠδὶς, οὔτε τόκος, ἀνάγκην εἶναί φασιν ἐκ τοῦ ἀκολούθου λογίζεσθαι, μὴ ἂν ἐν πλήθει γενέσθαι τὰς τῶν ἀνθρώπων ψυχὰς, εἰ μὴ πρὸς τὸ θνητὸν ἡ τῆς ἀθανασίας χάρις μετέπεσε, καὶ ὁ γάμος διὰ τῶν ἐπιγινομένων συνετήρει τὴν φύσιν, ἀντὶ τῶν ὑπεξιόντων τοὺς ἐξ αὐτῶν ἀντειςάγων. Ὥςε λυσιτελῆσαι τρόπον τινὰ τὴν ἁμαρτίαν ἐπειςελθοῦσαν τῇ ζωῇ τῶν ἀνθρώπων. Ἔμεινε γὰρ ἂν ἐν τῇ τῶν πρωτοπλάςων δυάδι τὸ ἀνθρώπινον γένος, μὴ τοῦ κατὰ τὸν θάνατον φόβου πρὸς δια-
p. 90. δοχὴν τὴν φύσιν ἀνακινήσαντος. Ἀλλ' ἐν τούτοις πάλιν ὁ μὲν ἀληθὴς λόγος, ὅςις ποτὲ ὢν τυγχάνει, μόνοις ἂν εἴη δῆλος τοῖς κατὰ Παῦλον τὰ τοῦ παραδείσου μυηθεῖ-

abbildet. Der Mensch welcher mit dem Weltanfang in das Leben trat und der welcher nach dem Untergang des Alls hervorgehen wird sind dieselben, und tragen in gleicher Weise das Bild Gottes an sich. Darum ward die Gesammtheit mit dem Namen eines Menschen belegt, weil für die Macht Gottes Nichts vergangen, noch zukünftig ist, und die Zukunft der wir entgegensehen wie die Gegenwart von der das All umschlingenden Kraft zusammengehalten wird. Die ganze menschliche Natur also, wie sie von den ersten Zeiten ausgehend bis in die letzten ausläuft, ist ein einziges Bild dessen der ist. Was jedoch den Unterschied des Geschlechts von Mann und Weib betrifft, so ward dieser nach meiner Meinung an dem fertigen Gebilde der Schöpfung aus folgendem Grunde angebracht.

Kap. 17. Ehe wir indessen zur Untersuchung dieser vorliegenden Frage schreiten, dürfte es vielleicht besser sein erst die Lösung eines von den Gegnern vorgebrachten Einwurfs zu bewerkstelligen. Sie sagen nämlich, vor dem Sündenfalle werde weder der Geburt, noch der Geburtswehen, noch des Begattungs- oder Zeugungstriebs Erwähnung gethan. Erst als sie nach dem Sündenfalle aus dem Paradiese vertrieben, und das Weib zur Strafe der Geburtswehen verurtheilt worden, sei Adam daran gegangen seine Genossin ehelich zu erkennen, und da sei der Anfang mit der Zeugung von Kindern gemacht worden. Fand nun im Paradiese kein eheliches Verhältniß statt, gab es daselbst keine Wehen und keine Geburt, so, meinen sie, müsse mit Nothwendigkeit hieraus gefolgert werden daß eine Vervielfältigung von Seelen nicht wohl habe eintreten können, wenn nicht das Gnadengeschenk der Unsterblichkeit in Sterblichkeit verwandelt worden wäre, und die Ehe durch den Zuwachs für die Erhaltung der menschlichen Natur sorgte, indem sie für die das Leben Verlassenden deren Nachkommen in dasselbe einführte. Daher habe die Sünde durch ihren Eintritt in das Leben der Menschen gewissermaßen Nutzen gebracht. Denn es wäre das Menschengeschlecht auf die Zweizahl der Ersterschaffenen beschränkt geblieben, wenn die Todesfurcht nicht die menschliche Natur zu ihrer Fortpflanzung angeregt hätte. Auch dieser Frage wahre Lösung dürfte indessen, welche sie auch sein mag, wiederum nur denen klar sein welche wie Paulus in die Geheimnisse des Paradieses eingeweiht

σιν ἀπόῤῥητα. Ὁ δὲ ἡμέτερος τοιοῦτός ἐστιν. Ἀντιλεγόντων ποτὲ τῶν Σαδδουκαίων τῷ κατὰ τὴν ἀνάστασιν λόγῳ, καὶ τὴν πολύγαμον ἐκείνην γυναῖκα, τὴν τοῖς ἑπτὰ γενομένην ἀδελφοῖς, εἰς σύστασιν τοῦ καθ' ἑαυτοὺς δόγματος προφερόντων, εἶτα τίνος μετὰ τὴν ἀνάστασιν ἔσται πυνθανομένων, ἀποκρίνεται πρὸς τὸν λόγον ὁ κύριος, οὐ μόνον τοὺς Σαδδουκαίους παιδεύων, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα τῆς ἐν τῇ ἀναστάσει ζωῆς φανερῶν τὸ μυστήριον. Ἐν
Matth. 22, 30. γὰρ τῇ ἀναστάσει, φησὶν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται· οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγελοι γάρ εἰσι καὶ υἱοὶ θεοῦ εἰσι, τῆς ἀναστάσεως υἱοὶ ὄντες. Ἡ δὲ τῆς ἀναστάσεως χάρις οὐδὲν ἕτερον ἡμῖν ἐπαγγέλλεται ἢ τὴν εἰς τὸ ἀρχαῖον τῶν πεπτωκότων ἀποκατάστασιν. Ἐπάνοδος γάρ τίς ἐστιν ἐπὶ τὴν πρώτην ζωὴν ἡ προσδοκωμένη χάρις, τὸν ἀποβληθέντα τοῦ παραδείσου πάλιν εἰς αὐτὸν ἐπανάγουσα. Εἰ τοίνυν ἡ τῶν ἀποκαθισταμένων ζωὴ πρὸς τὴν τῶν ἀγγέλων οἰκείως ἔχει, δηλονότι ὁ πρὸ τῆς παραβάσεως βίος ἀγγελικός τις ἦν. Διὸ καὶ ἡ πρὸς τὸ ἀρχαῖον τῆς ζωῆς ἡμῶν ἐπάνοδος τοῖς ἀγγέλοις ὡμοίωται. Ἀλλὰ μὴν, καθὼς εἴρηται, γάμου παρ' αὐτοῖς οὐκ ὄντος, ἐν μυριάσιν ἀπείροις αἱ στρατιαὶ τῶν ἀγγέλων εἰσίν· οὕτω
Dan. 7, 10. γὰρ ἐν ταῖς ὀπτασίαις ὁ Δανιὴλ διηγήσατο. Οὐκοῦν κατὰ τὸν αὐτὸν τρόπον, εἴπερ μηδεμία παρατροπή τε καὶ ἔκστασις ἀπὸ τῆς ἀγγελικῆς ὁμοτιμίας ἐξ ἁμαρτίας ἡμῖν ἐγένετο, οὐκ ἂν οὐδὲ ἡμεῖς τοῦ γάμου πρὸς τὸν πληθυσμὸν ἐδεήθημεν. Ἀλλ' ὅστις ἐστὶν ἐν τῇ φύσει τῶν ἀγγέλων τοῦ πλεονασμοῦ τρόπος, ἄῤῥητος μὲν καὶ ἀνεπινόητος στοχασμοῖς ἀνθρωπίνοις, πλὴν ἀλλὰ πάντως ἐστὶν, οὕ-
Hebr. 2, 7. τος ἂν καὶ ἐπὶ τῶν βραχύ τι παρ' ἀγγέλους [1] ἐλαττωμένων ἐνήργησεν, εἰς τὸ ὡρισμένον ὑπὸ τῆς βουλῆς τοῦ πεποιηκότος μέτρον τὸ ἀνθρώπινον αὔξων. Εἰ δὲ στενοχωρεῖταί τις ἐπιζητῶν τὸν τῆς γενέσεως τῶν [2] ψυχῶν τρόπον, εἰ μὴ προσεδεήθη τῆς διὰ τοῦ γάμου [3] συνεργείας ὁ

1) M. ἐλαττωμένων ἀνθρώπων ἐνήργησεν. — 2) M. ἀνθρώπων. — 3) M. συνεργίας.

sind. Unsere Lösung ist diese. Als einmal die Sadducäer gegen die Lehre von der Auferstehung Widerspruch erhoben und zur Bekräftigung ihrer Behauptung das Beispiel von jenem vielverheiratheten Weibe, welche den sieben Brüdern angehört hatte, vorbrachten, und dann die Frage aufstellten, wessen Weib sie nach der Auferstehung sein werde, da giebt der Herr auf ihre Rede eine Antwort welche nicht bloß eine Lehre für die Sadducäer, sondern auch die Offenbarung des Geheimnisses des Lebens in der Auferstehung für alle später Lebenden enthält. Denn in der Auferstehung, sagt er, werden sie weder freien, noch sich freien lassen, sondern sie sind gleich den Engeln, und Kinder Gottes, weil sie Kinder der Auferstehung sind. Die Gnade der Auferstehung verkündigt uns nichts Anderes als die Wiederherstellung derer die gestorben sind in den alten Zustand. Denn die von uns gehoffte Gnade ist eine Art von Rückkehr in das erste Leben, welche den aus dem Paradiese Verbannten wiederum in dasselbe zurückführt. Wenn nun das Leben der Wiederhergestellten Aehnlichkeit mit dem der Engel hat, so war offenbar das Leben vor dem Sündenfall auch ein engelisches Leben. Darum auch der Vergleich der Rückkehr unseres Lebens in den alten Zustand mit den Engeln. Obgleich nun, wie gesagt, eine Ehe bei den Engeln nicht stattfindet, so sind doch ihrer Schaaren eine unendliche Zahl; denn so hat Daniel in seinen Gesichten erzählt. Auf dieselbe Weise also hätten auch wir wohl nicht der Ehe zur Vermehrung nöthig gehabt, wofern nur eben nicht aus der Sünde für uns eine Abweichung und Entartung unseres den Engeln gleichen Standes erwachsen wäre. Mag die Art der Vermehrung in der Natur der Engel sein welche sie will — ein Geheimniß und für den menschlichen Scharfsinn unergründliches Räthsel bis auf den einzigen Punct daß wir wissen daß sie stattfindet —, diese Vermehrungsweise würde auch bei den nur ein Wenig unter den Engeln erniedrigten Menschen ihre Thätigkeit behauptet und das Menschengeschlecht bis auf das von dem Willen des Schöpfers bestimmte Maß haben anwachsen lassen. Macht sich aber Jemand allzugroße Scrupel über die Entstehungsweise der Seelen, für den Fall daß der Mensch die Vermittlung durch die Ehe dazu nicht nöthig gehabt hätte, an den wollen wir die

ἄνθρωπος, ἀντερωτήσομεν καὶ ἡμεῖς τὸν τῆς ἀγγελικῆς
p. 91. ὑποςάσεως τρόπον πῶς ἐν ἀπείροις μυριάσιν ἐκεῖνοι, καὶ μία οὐσία ὄντες, καὶ ἐν πολλοῖς ἀριθμούμενοι. Τοῦτο γὰρ προςφόρως ἀποκρινούμεθα τῷ προφέροντι πῶς ἂν ἦν δίχα τοῦ γάμου ὁ ἄνθρωπος, εἰπόντες ὅτι καθὼς εἰσι [4] χωρὶς γάμου οἱ ἄγγελοι. Τὸ γὰρ ὅμοιον ἐκείνοις τὸν ἄνθρωπον εἶναι πρὸ τῆς παραβάσεως δείκνυσιν ἡ εἰς ἐκεῖνο πάλιν ἀποκατάςασις. Τούτων οὖν ἡμῖν οὕτω διευκρινηθέντων, ἐπανιτέον ἐπὶ τὸν πρότερον λόγον, πῶς μετὰ τὴν κατασκευὴν τῆς εἰκόνος τὴν κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορὰν ὁ θεὸς ἐπιτεχνᾶται τῷ πλάσματι. Πρὸς τοῦτο γάρ φημι χρήσιμον εἶναι τὸ προδιηνυσμένον ἡμῖν θεώρημα. Ὁ γὰρ τὰ πάντα παραγαγὼν εἰς τὸ εἶναι, καὶ ὅλον ἐν τῷ ἰδίῳ θελήματι τὸν ἄνθρωπον πρὸς τὴν θείαν εἰκόνα διαμορφώσας, οὐ ταῖς κατ᾿ ὀλίγον προςθήκαις τῶν ἐπιγινομένων ἀνέμεινεν ἰδεῖν ἐπὶ τὸ ἴδιον πλήρωμα τὸν ἀριθμὸν τῶν ψυχῶν τελειούμενον, ἀλλ᾿ ἀθρόως αὐτῷ πληρώματι πᾶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς προγνωςικῆς ἐνεργείας κατανοήσας, καὶ τῇ ὑψηλῇ τε καὶ ἰσαγγέλῳ λήξει τιμήσας, ἐπειδὴ προεῖδε τῇ ὁρατικῇ δυνάμει μὴ εὐθυποροῦσαν πρὸς τὸ καλὸν τὴν προαίρεσιν, καὶ διὰ τοῦτο τῆς ἀγγελικῆς ζωῆς ἀποπίπτουσαν, ὡς ἂν μὴ κολοβοθείη τὸ τῶν ψυχῶν τῶν ἀνθρωπίνων πλῆθος, ἐκπεσὸν ἐκείνου τοῦ τρόπου καθ᾿ ὃν οἱ ἄγγελοι πρὸς τὸ πλῆθος ηὐξήθησαν, διὰ τοῦτο τὴν κατάλληλον τοῖς εἰς ἁμαρτίαν κατολισθήσασι τῆς αὐξήσεως ἐπίνοιαν ἐγκατασκευάζει τῇ φύσει, ἀντὶ τῆς ἀγγελικῆς μεγαλοφυΐας τὸν κτηνώδη τε καὶ ἄλογον τῆς ἐξ ἀλλήλων διαδοχῆς τρόπον ἐμφυτεύσας τῇ ἀνθρωπότητι. Ἐντεῦθέν μοι δοκεῖ καὶ ὁ μέγας Δαβὶδ κατοικτιζόμενος τοῦ ἀνθρώπου τὴν ἀθλιότητα, τοιού-
Psalm. 49, 21. τοις λόγοις καταθρηνῆσαι τὴν φύσιν ὅτι, Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, τιμὴν λέγων τὴν πρὸς τοὺς ἀγγέλους ὁμοτιμίαν. Διὰ τοῦτο, φησὶ, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὁμοιώθη αὐτοῖς. Ὄντως γὰρ κτη-

4) M. γάμου χωρὶς.

Gegenfrage nach der Art der engelischen Existenz richten, wie jene in unendlichen Legionen vorhanden sein können, ein einziges Wesen, und dennoch in einer Vielheit auftretend. Denn auf die Frage, Wie hätte der Mensch ohne die Ehe sein können, wäre dies die passende Antwort, Ebenso wie die Engel ohne Ehe sind. Denn die Aehnlichkeit des Menschen mit jenen vor dem Sündenfall wird durch ihre Wiederherstellung in jenen Zustand bewiesen. Nachdem wir dies so zur Entscheidung gebracht haben, kehren wir wiederum zu unserer früheren Untersuchung zurück, weßhalb nämlich Gott nach der Erschaffung seines Bildes den Unterschied von Mann und Weib angebracht habe. Für Lösung dieser Frage scheint mir die eben geschlossene Betrachtung nützlich. Denn der welcher das All in das Sein gerufen und den ganzen Menschen in seinem Willen nach dem göttlichen Bilde gestaltet hat, wollte die Zahl der Seelen keineswegs durch einen allmäligen Zuwachs der Geburten sich zu ihrer Vollständigkeit entwickeln sehen; allein als er vermöge seiner providentialen Kraft die menschliche Natur sofort und mit einem Male in ihrer Gesammtheit erblickt und ihr die erhabene und ehrenreiche Stellung welche sie den Engeln gleich macht angewiesen hatte, nun aber mit der Schärfe seines Blickes voraussah daß der Wille des Menschen nicht auf dem Pfade des Rechten und Guten bleiben und in Folge dessen von dem engelischen Leben abweichen werde, darum legt er, damit die Menge der menschlichen Seelen durch den Verlust der Fähigkeit sich so wie die Engel fortzupflanzen nicht gekürzt werde, in die menschliche Natur das den in Sünde Gefallenen entsprechende Verfahren der Vermehrung, und pflanzt an Stelle der engelischen Herrlichkeit die thierische und keineswegs dem vernunftbegabten Geschöpfe angehörige Weise der gegenseitigen Fortpflanzung ein. Aus diesem Grunde scheint mir auch der große David das Elend des Menschen bejammernd seine Natur in diesen Worten beweint zu haben: D a d e r M e n s c h i n W ü r d e w a r, h a t e r e s n i c h t v e r s t a n d e n; hier nennt er W ü r d e die uns den Engeln gleichmachende Ehrenstellung. D a r u m, fügt er hinzu, w a r d e r d e m u n v e r n ü n f t i g e n V i e h ä h n l i c h u n d i h m g l e i c h g e m a c h t. Denn in der That ward er dem Vieh ähnlich, nachdem er durch seine Hin-



νώδης ἐγένετο ὁ τὴν ῥοώδη ταύτην γένεσιν τῇ φύσει παραδεξάμενος διὰ τὴν πρὸς τὸ ὑλῶδες ῥοπήν.

p. 92. Κεφ. ιη'. Οἶμαι γὰρ ἐκ τῆς ἀρχῆς ταύτης καὶ τὰ καθ' ἕκαςον πάθη, οἷον ἔκ τινος πηγῆς συνδοθέντα πλημμυρεῖν ἐν τῇ ἀνθρωπίνῃ ζωῇ. [1] Τεκμηριοῖ δὲ τὸν λόγον ἡ τῶν παθημάτων συγγένεια, κατὰ τὸ ἴσον ἡμῖν τε καὶ τοῖς ἀλόγοις ἐμφαινομένη. Οὐ γὰρ δὴ θέμις τῇ ἀνθρωπίνῃ φύσει, τῇ κατὰ τὸ θεῖον εἶδος μεμορφωμένῃ, τῆς ἐμπαθοῦς διαθέσεως προςμαρτυρεῖν τὰς πρώτας ἀρχάς· ἀλλ' ἐπειδὴ προειςῆλθεν εἰς τὸν κόσμον τοῦτον ἡ τῶν ἀλόγων ζωὴ, ἔσχε δέ τι διὰ τὴν εἰρημένην αἰτίαν τῆς ἐκεῖθεν φύσεως καὶ ὁ ἄνθρωπος, τὸ κατὰ τὴν γένεσιν λέγω, συμμετέσχε διὰ τούτου καὶ τῶν λοιπῶν τῶν ἐν ἐκείνῃ θεωρουμένων τῇ φύσει. Οὐ γὰρ κατὰ τὸν θυμὸν ἐςι τοῦ ἀνθρώπου ἡ πρὸς τὸ θεῖον ὁμοίωσις, οὔτε διὰ τῆς ἡδονῆς ἡ ὑπερέχουσα χαρακτηρίζεται φύσις, δειλία τε καὶ θράσος, καὶ ἡ τοῦ πλείονος ἔφεσις, καὶ τὸ πρὸς τὸ ἐλαττοῦσθαι μῖσος, καὶ πάντα τὰ τοιαῦτα πόῤῥω τοῦ θεοπρεποῦς χαρακτῆρός ἐςι. Ταῦτα τοίνυν ἐκ τοῦ ἀλόγου μέρους ἡ ἀνθρωπίνη φύσις πρὸς ἑαυτὴν ἐφειλκύσατο. Οἷς γὰρ ἡ ἄλογος ζωὴ πρὸς συντήρησιν ἑαυτῆς ἠσφαλίσθη, ταῦτα πρὸς τὸν ἀνθρώπινον μετενεχθέντα βίον πάθη ἐγένετο. Θυμῷ μὲν γὰρ συντηρεῖται τὰ ὠμοβόρα, φιληδονίᾳ δὲ τὰ πολυγονοῦντα τῶν ζώων σώζει, τὸν ἄναλκιν ἡ δειλία, καὶ τὸν εὐάλωτον τοῖς ἰσχυροτέροις ὁ φόβος, τὸν δὲ πολύσαρκον ἡ λαιμαργία, καὶ τὸ διαμαρτεῖν οὑτινοςοῦν τῶν καθ' ἡδονὴν λύπης ὑπόθεσις ἐν τοῖς ἀλόγοις ἐςί. Ταῦτα πάντα καὶ τὰ τοιαῦτα διὰ τῆς κτηνώδους γενέσεως συνειςῆλθε τῇ τοῦ ἀνθρώπου κατασκευῇ. Καί μοι συγκεχωρήσθω κατά τινα πλαςικὴν θαυματοποιΐαν διαγράψαι τῷ λόγῳ τὴν ἀνθρωπίνην εἰκόνα. Καθάπερ γὰρ ἔςιν ἰδεῖν ἐν τοῖς πλάσμασι τὰς διγλύφους μορφὰς,
p. 93. ἃς μηχανῶνται πρὸς ἔκπληξιν τῶν ἐντυγχανόντων οἱ τὰ

1) M. τεκμήριον δὲ τῶν λόγων.

gabe an die Materie diese in wilder Hast sich vollziehende Weise seiner Erzeugung in seine Natur aufgenommen hatte.

Kap. 18. Meiner Meinung nach haben auch der Reihe nach alle Leidenschaften diesen Ursprung, fließen wie aus einer Quelle um das Menschenleben zu überfluthen. Den Beweis für diese Behauptung liefert die Verwandtschaft der Affecte welche an uns und an den vernunftlosen Thieren zur Erscheinung kommen. Denn in der That dürfen wir nicht der menschlichen Natur, welche nach dem Bilde Gottes gestaltet ist, die ersten Anfänge der Krankheit der Affecte zuschreiben: vielmehr, da das Leben der vernunftlosen Thiere eher auf diese Welt gelangt war, und aus der angegebenen Ursache auch der Mensch Etwas von jener Natur erhalten hatte, nämlich die Art seiner Entstehung, so bekam er in Folge dessen auch noch einige andere der thierischen Natur gehörende Eigenschaften zum gemeinsamen Eigenthum mit ihr. Denn die Aehnlichkeit des Menschen mit Gott fällt bezüglich des Zorns ganz aus; auch kennzeichnet sich die allerhabene Natur Gottes nicht durch die Lust, noch durch Furchtsamkeit, Kühnheit, Habgier, Abneigung gegen Verlust und Herabsetzung, und alles Derartige liegt dem Wesen Gottes fern. Es hat demnach die menschliche Natur diese Affecte aus dem vernunftlosen Theile der Schöpfung in sich hinübergenommen. Womit nämlich das thierische Leben zu seiner Erhaltung ausgerüstet worden war, das wurde, auf das Leben des Menschen übertragen, hier zum Affect. Durch Zorn und Grimm erhalten sich die fleischfressenden Raubthiere, Wollust erhält die durch ihre Fruchtbarkeit sich auszeichnenden Thiere. die schwachen die scheue Aengstlichkeit, die für die stärkeren leicht bezwingbaren die Furcht, die an Fleisch reichen die Gefräßigkeit, und das Nichterlangen dessen wonach ihnen gelüstet giebt bei den vernunftlosen Geschöpfen Veranlassung zu Mißmuth. Dieses Alles und Aehnliches hat durch die thierische Art unserer Geburt in den Menschen Eingang gefunden. Mag man mir gestatten das Bild des Menschen nach Art eines plastischen Wunderwerks mit Worten zu beschreiben. Denn wie man unter den Bildwerken Doppelgestalten erblicken kann, welche die Künstler zur Ueberraschung der Beschauer so ausarbeiten daß sie mit ihrem

τοιαῦτα φιλοτεχνοῦντες, μιᾷ κεφαλῇ δύο μορφὰς προσώπων ὑποχαράσσοντες, οὕτω μοι δοκεῖ διπλῆν φέρειν ὁ ἄνθρωπος πρὸς τὰ ἐναντία τὴν ὁμοιότητα, τῷ μὲν θεοειδεῖ τῆς διανοίας πρὸς τὸ θεῖον κάλλος μεμορφωμένος, ταῖς δὲ κατὰ πάθος ἐγγινομέναις ὁρμαῖς πρὸς τὸ κτηνῶδες φέρων τὴν οἰκειότητα. Πολλάκις δὲ [2]καὶ ὅλος ἀποκτηνοῦται διὰ τῆς πρὸς τὸ ἄλογον ῥοπῆς τε καὶ διαθέσεως, συγκαλύπτων τὸ κρεῖττον τῷ χείρονι. Ἐπειδὰν γάρ τις πρὸς ταῦτα τὴν διανοητικὴν ἐνέργειαν καθελκύσῃ, καὶ ὑπηρέτην γενέσθαι τῶν παθῶν τὸν λογισμὸν ἐκβιάσηται, παρατροπή τις γίνεται τοῦ ἀγαθοῦ χαρακτῆρος πρὸς τὴν ἄλογον εἰκόνα, πάσης πρὸς τοῦτο μεταχαρασσομένης τῆς φύσεως, καθάπερ γεωργοῦντος τοῦ λογισμοῦ τὰς τῶν παθημάτων ἀρχὰς, καὶ δι᾿ ὀλίγων εἰς πλῆθος ἐπαύξοντος. Τὴν γὰρ παρ᾿ ἑαυτοῦ συνεργίαν χρήσας τῷ πάθει πολύχουν καὶ ἀμφιλαφῆ τὴν τῶν ἀτόπων γένεσιν ἀπειργάσατο. Οὕτως ἡ φιληδονία τὴν μὲν ἀρχὴν ἔσχεν ἐκ τῆς πρὸς τὸ ἄλογον ὁμοιώσεως, ἀλλ᾿ ἐν τοῖς ἀνθρωπίνοις πλημμελήμασι προςηυξήθη, τοσαύτας διαφορὰς τῶν κατὰ τὴν ἡδονὴν ἁμαρτανομένων γεννήσασα ὅσας ἐν τοῖς ἀλόγοις οὐκ ἔςιν εὑρεῖν. Οὕτως ἡ πρὸς τὸν θυμὸν διανάςασις συγγενὴς μὲν ἔςι τῇ τῶν ἀλόγων ὁρμῇ, αὔξεται δὲ τῇ τῶν λογισμῶν συμμαχίᾳ. Ἐκεῖθεν γὰρ ἡ μῆνις, ὁ φθόνος, τὸ ψεῦδος, ἡ ἐπιβουλὴ, ἡ ὑπόκρισις. Ταῦτα πάντα τῆς πονηρᾶς τοῦ νοῦ γεωργίας ἐςίν. Εἰ γὰρ γυμνωθείη τῆς ἐκ τῶν λογισμῶν συμμαχίας τὸ πάθος, ὠκύμορός τις καὶ ἄτονος ὁ θυμὸς καταλείπεται, πομφόλυγος δίκην ὁμοῦ τε γινόμενος καὶ εὐθὺς ἀπολλύμενος. Οὕτως ἡ τῶν συῶν λαιμαργία τὴν πλεονεξίαν εἰςήνεγκε, καὶ τὸ τοῦ ἵππου γαῦρον γέγονε τῆς ὑπερηφανείας ἀρχὴ, καὶ τὰ καθ᾿ ἕκαςον πάντα τῆς κτηνώδους ἀλογίας ἀφορμηθέντα διὰ τῆς πονηρᾶς τοῦ νοῦ χρήσεως κακία ἐγένετο, ὥςπερ οὖν καὶ τὸ ἔμπαλιν, εἴπερ ὁ λογισμὸς τῶν τοιούτων κινημάτων ἀντιμεταλάβοι τὸ κράτος, εἰς ἀρετῆς εἶδος ἕκαςον τούτων

2) M. καὶ ὁ λόγος ἀποκτηνοῦται.

Griffel zwei Gesichter auf einem Haupte anbringen, so scheint mir auch der Mensch eine doppelte Aehnlichkeit nach den entgegengesetzten Richtungen hin an sich zu tragen, indem er einerseits durch die göttliche Gabe des denkenden Geistes nach der Schönheit Gottes gebildet ist, andrerseits durch die in ihn gelegten Triebe der Affecte die Verwandtschaft mit dem Thiere an sich trägt. Durch diese Hinneigung und dies Verhältniß zu dem Vernunftlosen verthiert er sich auch oft ganz und gar, indem er das Gute durch das Böse von allen Seiten überwuchern läßt. Denn sobald Jemand die Kraft des Gedankens dazu erniedrigt, und den Verstand dazu zwingt ein Diener der Leidenschaften zu werden, da tritt ein Umschlag des guten Bildes in das der Unvernünftigkeit angehörige ein, und die gesammte Natur gestaltet sich dazu um, wobei der Verstand die Keime und Anfänge der Leidenschaften gleichsam hegt und pflegt und in kurzer Zeit zu einer großen Anzahl vermehrt. Indem er nämlich der Leidenschaft seinen Beistand leiht, bringt er eine Mannichfaltigkeit und einen Reichthum von sündigen Thorheiten zu Stande. So hatte der Hang zur Lust seinen Ursprung in unserer Aehnlichkeit mit dem unvernünftigen Thier, hat aber unter dem Einflusse der menschlichen Vergehen einen starken Zuwachs erhalten, und so viele Unterschiede in den Wollustsünden erzeugt wie sie bei den unvernünftigen Thieren nicht anzutreffen sind. So ist die Aufwallung zum Zorn verwandt mit dem Triebe der vernunftlosen Thiere, gewinnt aber durch den Beistand unseres Verstandes an Stärke. Denn von daher stammen der Groll, der Neid, die Lüge, die Hinterlist, die Heuchelei, und dies Alles gedeiht unter dem bösen Einflusse unseres Verstandes. Denn ginge die Leidenschaft seines Beistandes verlustig, so bliebe der Zorn schwach und von kurzer Dauer, nach Art einer Wasserblase ebenso schnell entstehend als vergehend. So hat die Gefräßigkeit der Schweine die Habsucht in unsere Natur gebracht, der Stolz des Pferdes ist der Anfang unseres Hochmuths, und alles Einzelne welches in der Vernunftlosigkeit der Thiere seinen Ursprung hat, ist durch den schlechten Gebrauch des Verstandes zu wirklichem Bösen geworden, ganz wie andrerseits auch, wenn der Verstand die Herrschaft über diese Gemüthsbewegungen in seine Hände nimmt,

ἀντιμεθίςαται. Ποιεῖ γὰρ ὁ μὲν θυμὸς τὴν [3] ἀνδρείαν,
p. 91. τὸ δὲ δειλὸν τὴν ἀσφάλειαν, καὶ ὁ φόβος τὴν εὐπείθειαν, τὸ μῖσος δὲ τὴν τῆς κακίας ἀποςροφὴν, ἡ δὲ ἀγαπητικὴ δύναμις τὴν πρὸς τὸ ἀληθῶς καλὸν ἐπιθυμίαν, τὸ δὲ γαῦρον τοῦ ἤθους ὑπεραίρει τῶν παθημάτων, καὶ ἀδούλωτον ὑπὸ τοῦ κακοῦ διαφυλάσσει τὸ φρόνημα (ἐπαινεῖ
Coloss. 3, 2. δὲ τὸ τοιοῦτον τῆς ἐπάρσεως εἶδος καὶ ὁ μέγας ἀπόςολος, συνεχῶς ἐγκελευόμενος τὰ ἄνω φρονεῖν), καὶ οὕτως ἔςιν εὑρεῖν ὅτι πᾶν τὸ τοιοῦτον κίνημα τῷ ὑψηλῷ τῆς διανοίας συνεπαιρόμενον τῷ κατὰ τὴν θείαν εἰκόνα κάλλει συσχηματίζεται. Ἀλλ' ἐπειδὴ βαρεῖά τίς ἐςι καὶ κατωφερὴς ἡ τῆς ἁμαρτίας ῥοπὴ, πλεῖον τὸ ἕτερον γίνεται. Μᾶλλον γὰρ τῷ βάρει τῆς ἀλόγου φύσεως συγκατασπᾶται τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἤπερ τῷ ὕψει τῆς διανοίας τὸ βαρύ τε καὶ χοϊκὸν ἀνυψοῦται. Διὰ τοῦτο πολλάκις ἀγνοεῖσθαι ποιεῖ τὸ θεῖον δῶρον ἡ περὶ ἡμᾶς ἀθλιότης, οἷον προςωπεῖον εἰδεχθὲς τῷ κατὰ τὴν εἰκόνα κάλλει τὰ πάθη τῆς σαρκὸς ἐπιπλάσσουσα. Οὐκοῦν συγγνωςοί πώς εἰσιν οἱ πρὸς τὰ τοιαῦτα βλέποντες, εἶτα τὴν θείαν μορφὴν ἐν τούτοις εἶναι οὐκ εὐχερῶς συντιθέμενοι. Ἀλλὰ διὰ τῶν κατορθωκότων τὸν βίον ἔξεςι τὴν θείαν ἐν τοῖς ἀνθρώποις εἰκόνα βλέπειν. Εἰ γὰρ ἐμπαθής τις καὶ σάρκινος ὢν ἀπιςεῖσθαι ποιεῖ τὸν ἄνθρωπον ὡς θείῳ κάλλει κεκοσμημένον, ὁ ὑψηλὸς πάντως τὴν ἀρετὴν καὶ καθαρεύων ἐκ μολυσμάτων βεβαιώσει σοι τὴν πρὸς τὸ κρεῖττον ἐπὶ τῶν ἀνθρώπων ὑπόληψιν. Οἷον (κρεῖττον γὰρ ἐν ὑποδείγματι δεῖξαι τὸν λόγον), ἀπήλειψε τῷ τῆς πονηρίας μολύσματι τὸ τῆς φύσεως κάλλος τις τῶν ἐπὶ κακίᾳ γνωρίμων, Ἰεχονίας τυχὸν, ἢ εἴ τις ἕτερος ἐπὶ κακῷ μνημονεύεται· ἀλλ' ἐν Μωϋσῇ καὶ τοῖς κατ' ἐκεῖνον καθαρὰ διεφυλάχθη ἡ τῆς εἰκόνος μορφή. Ἐν οἷς τοίνυν οὐκ ἠμαυρώθη τὸ κάλλος, ἐν τούτοις ἐναργὴς ἡ τῶν λεγομένων πίςις ἐςὶν ὅτι ἄνθρωπος τοῦ θεοῦ μίμημα γέγονεν.

3) M. ἀνδρίαν.

dieselben alle zum Wesen der Tugend umschlagen. Denn der Zorn bewirkt die Mannhaftigkeit, die Aengstlichkeit die besonnene Sicherheit, die Furcht den Gehorsam, der Haß die Abneigung vom Bösen, die Kraft der Liebe die Begierde nach dem wahrhaft Schönen, der Stolz der Gesinnung hebt uns über die Leidenschaften empor und bewahrt das Herz frei von der Tyrannenherrschaft des Bösen (solche Art des Stolzes lobt der große Apostel, wenn er uns ohne Unterlaß anempfiehlt daß wir unseren Sinn nach Oben richten sollen), und so kann man ersehen daß alle derartige Bewegung durch die Erhabenheit unseres denkenden Geistes mitemporgehoben sich nach der Schönheit des göttlichen Bildes mitgestaltet, daß jedoch, wenn die Hinneigung zur Sünde schwer nach der Tiefe zieht, das Gegentheil in desto stärkerem Maße eintritt. Denn das Hauptvermögen der Seele wird durch die Wucht der unvernünftigen Natur mehr mithinabgezogen als das Schwere und Irdische durch die Erhabenheit des Geistes mit erhoben wird. Daher kommt es daß unser Elend oftmals das Geschenk Gottes nicht erkennen läßt, indem es mit den Leidenschaften des Fleisches gleichwie mit einer häßlichen Larve die Schönheit des Ebenbildes überdeckt. Es verdienen sonach diejenigen einige Nachsicht welche im Hinblicke auf diese Leidenschaften sich schwer uns darin beizustimmen herbeilassen daß hinter ihnen die Schönheit Gottes verborgen liege. Aber die welche ein tugendhaftes Leben führen, die lassen uns das Bild Gottes in den Menschen schauen. Denn wenn ein den Leidenschaften verfallener und fleischlich gesinnter Mensch uns den Glauben nimmt daß der Mensch mit dem göttlichen Bilde geschmückt sei, so wird dir in Wahrheit der an Tugend erhabene und vom Schmuz der Sünde reine Mensch die bessere Ansicht über die Menschen bestätigen und befestigen. Zum Beispiel (denn ich ziehe es vor in einem Beispiele meine Behauptung zu erweisen), ein bekannter Bösewicht, vielleicht Jechonias, oder ein Anderer von welchem die Geschichte Böses berichtet, hat durch den Schmuz der Sünde die Schönheit seiner Natur völlig verwischt: hingegen in Moses und seines Gleichen ist die Schönheit des Bildes rein erhalten worden. In welchen also die Schönheit nicht getrübt worden ist, in denen liegt die klare und augenfällige Bestätigung der Worte daß der Mensch eine Nachahmung Gottes ist. Schämt sich aber vielleicht Jemand des

Ἀλλ' ἐπαισχύνεταί τις τυχὸν τῷ διὰ βρώσεως ἡμῖν καθ' ὁμοιότητα τῶν ἀλόγων τὴν ζωὴν συνεςάναι, καὶ διὰ τοῦτο ἀνάξιον ἡγεῖται τὸν ἄνθρωπον τοῦ κατ' εἰκόνα θεοῦ πε-
p. 95. *πλάσθαι δοκεῖν. Ἀλλ' ἐλπιζέτω τῆς λειτουργίας ταύτης ἀτέλειαν δοθήσεσθαι τῇ φύσει ποτὲ, κατὰ τὴν προςδο-*
Rom. 14, 17. *κωμένην ζωήν. Οὐ γάρ ἐςι, καθώς φησιν ὁ ἀπόςολος, ἡ*
Matth. 4, 4. *βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, οὐδὲ ἐπ' ἄρτῳ μόνῳ ζήσεσθαι τὸν ἄνθρωπον ὁ κύριος προηγόρευσεν, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ ςόματος θεοῦ. Ἀλλὰ καὶ τῆς ἀναςάσεως ἰσάγγελον ἡμῖν ὑποδεικνυούσης τὸν βίον, βρώσεως δὲ παρὰ τοῖς ἀγγέλοις οὐκ οὔσης, ἱκανὴ πίςις τοῦ ἀπαλλαγήσεσθαι τῆς τοιαύτης λειτουργίας τὸν ἄνθρωπον, τὸν καθ' ὁμοιότητα τῶν ἀγγέλων ζησόμενον.*

Κεφ. ιθ'. Ἀλλ' ἴσως τις οὐκ εἰς τὸ αὐτὸ πάλιν τῆς ζωῆς εἶδος ἐπανελεύσεσθαι λέγει τὸν ἄνθρωπον, εἴγε πρότερον μὲν ἐν τῷ ἐσθίειν ἦμεν, μετὰ ταῦτα δὲ τῆς τοιαύτης λειτουργίας ἀφεθησόμεθα. Ἀλλ' ἐγὼ τῆς ἁγίας ἀκούων γραφῆς οὐ μόνον σωματικὴν ἐπίςαμαι βρῶσιν, οὐδὲ τὴν διὰ σαρκὸς εὐφροσύνην, ἀλλά τινα καὶ ἑτέραν οἶδα τροφὴν, ἀναλογίαν τινὰ πρὸς τὴν τοῦ σώματος ἔχουσαν,
Prov. 9, 5. *ἧς ἡ ἀπόλαυσις ἐπὶ μόνην τὴν ψυχὴν διαβαίνει. Φάγετε*
Matth. 5, 6. *τῶν ἐμῶν ἄρτων, ἡ σοφία τοῖς πεινῶσι διακελεύεται, καὶ μακαρίζει τοὺς τὴν τοιαύτην βρῶσιν πεινῶντας ὁ κύριος.*
Joann. 7, 37. *Καὶ εἴ τις διψᾷ, φησὶν, ἐρχέσθω πρός με καὶ πινέτω. Καὶ*
Esai. 25, 6. *ὁ μέγας Ἡσαΐας, Πίετε εὐφροσύνην, τοῖς δυνατοῖς ἐπαΐ-*
Amos 8, 11. *ειν τῆς μεγαλοφυΐας αὐτοῦ ἐγκελεύεται. Ἔςι δέ τις καὶ ἀπειλὴ προφητικὴ κατὰ τῶν τιμωρίας ἀξίων, ὡς λιμῷ κολασθησομένων. Ὁ δὲ λιμὸς οὐκ ἄρτου τίς ἐςιν ἀπορία καὶ ὕδατος, ἀλλὰ λόγου ἐπίλειψις. Οὐ λιμὸν γὰρ*
p. 96. *ἄρτου φησὶν, ἢ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγων κυρίου. Οὐκοῦν τῆς τοῦ θεοῦ φυτείας τῆς ἐν Ἐδὲμ (τρυφὴ δὲ ἡ Ἐδὲμ ἑρμηνεύεται) ἄξιόν τινα τὸν καρπὸν ἐννοῆσαι προςήκει, καὶ τρέφεσθαι διὰ τούτου μὴ ἀμφι-*

Umstandes daß wir unser Leben nach Art der unvernünftigen Thiere durch Speise fristen, und wähnt daß aus diesem Grunde es unwürdig sei an eine Gestaltung des Menschen nach dem Bilde Gottes zu glauben, der hoffe nur daß der menschlichen Natur einst Befreiung von dieser Abhängigkeit zu Theil werden wird, in dem Leben auf welches wir harren. Denn das Reich Gottes, wie der Apostel sagt, besteht nicht in Essen und Trinken, noch lebt der Mensch, wie der Herr verkündet hat, allein vom Brot, sondern von jeglichem Wort was durch den Mund Gottes gehet. Da nun aber auch die Auferstehung unser Leben dem der Engel gleich machen wird, und da die Engel keiner Speise bedürfen, so können wir hinlänglich vertrauen daß der Mensch, der ein Leben nach Art der Engel führen soll, von dieser Abhängigkeit entbunden werden wird.

Kap. 19. Aber vielleicht sagt man daß der Mensch nicht zu derselben Lebensweise zurückkehren werde, wenn anders nämlich wir ehedem unser Leben durch Essen fristeten, später aber von dieser Abhängigkeit befreit werden sollen. Die Worte der heiligen Schrift welche ich vernehme verstehe ich nicht bloß von leiblicher Nahrung, noch von fröhlichem Genuß im Fleische, sondern ich kenne noch eine andere Speise, welche der des Leibes einigermaßen ähnlich ist, und deren Genuß allein auf die Seele geht. Eßt von meinen Broten, gebietet die Weisheit den Hungernden, und der Herr preist diejenigen glücklich welchen nach solcher Speise hungert. Und wenn Einer durstet, spricht er, so komme er zu mir und trinke. Auch der große Esaias gebietet denen welche seine erhabene Rede zu verstehen fähig sind, Trinkt Fröhlichkeit. Es ist aber auch eine prophetische Drohung vorhanden gegen die welche der Strafe würdig sind, daß sie mit Hunger gezüchtigt werden sollen. Der Hunger aber ist nicht ein Mangel an Brot und Wasser, sondern ein Fehlen des Worts. Denn er sagt, Nicht einen Hunger nach Brot, oder einen Durst nach Wasser, sondern einen Hunger zu hören die Worte des Herrn. Darum müssen wir an eine Frucht denken die da würdig ist des Gartens Gottes, Edem, (Edem aber bedeutet Wohlleben), und dürfen nicht bezweifeln daß sie die

βάλλειν τὸν ἄνθρωπον, καὶ μὴ πάντως τὴν παροδικὴν καὶ ἀπόῤῥυτον ταύτην τροφὴν ἐπὶ τῆς τοῦ παραδείσου διαγωγῆς ἐννοεῖν. Ἀπὸ παντὸς, φησὶ, ξύλου τοῦ ἐν τῷ πα-
Gen. 2, 16. ραδείσῳ βρώσει φαγῇ. Τίς δώσει τῷ ὑγιεινῶς πεινῶντι τὸ ξύλον ἐκεῖνο, τὸ ἐν τῷ παραδείσῳ, τὸ παντὸς ἀγαθοῦ περιληπτικὸν, ᾧ ὄνομά ἐςι τὸ πᾶν οὗ χαρ εται τῷ ἀνθρώπῳ τὴν μετουσίαν ὁ λόγος; τῷ γὰρ γενικῷ τε καὶ ὑπερκειμένῳ λόγῳ πᾶσα τῶν ἀγαθῶν ἰδέα πρὸς ἑαυτὴν συμφυῶς ἔχει, καὶ ἕν τι τὸ ὅλον ἐςί. Τίς δέ με τῆς συμμιγοῦς τε καὶ ἐπαμφοτεριζούσης τοῦ ξύλου γεύσεως ἀποςήσει; πάντως γὰρ οὐκ ἄδηλον τοῖς διορατικωτέροις τί τὸ πᾶν ἐκεῖνο οὗ καρπὸς ἡ ζωὴ, καὶ πάλιν τί τὸ ἐπίμικτον τοῦτο οὗ πέρας ὁ θάνατος. Ὁ γὰρ τοῦ παντὸς τὴν ἀπόλαυσιν ἀφθόνως προθεὶς λόγῳ τινὶ πάντως καὶ προμηθείᾳ τῆς τῶν ἐπικοίνων μετουσίας ἀπείργει τὸν ἄνθρωπον. Καί μοι δοκεῖ τὸν μέγαν Δαβὶδ καὶ τὸν σοφὸν Σολομῶντα διδασκάλους τῆς τοῦ λόγου τούτου παραλαβεῖν ἐξηγήσεως. Ἀμφότεροι γὰρ τῆς συγκεχωρημένης τρυφῆς μίαν ἡγοῦνται τὴν χάριν, αὐτὸ τὸ ὄντως ἀγαθὸν, ὃ δὴ καὶ πᾶν ἐςιν ἀγαθὸν, Δαβὶδ μὲν λέγων, Κατατρύ-
Psalm. 37, 4. φησον τοῦ κυρίου, Σολομῶν δὲ, τὴν σοφίαν αὐτὴν, ἥτις
Prov. 3, 18. ἐςὶν ὁ κύριος, ξύλον ζωῆς ὀνομάζων. Οὐκοῦν ταὐτόν ἐςι τῷ τῆς ζωῆς ξύλῳ τὸ πᾶν ξύλον, οὗ τὴν βρῶσιν τῷ κατὰ θεὸν πλασθέντι ὁ λόγος δίδωσιν. Ἀντιδιαιρεῖται δὲ τῷ ξύλῳ τούτῳ ἕτερον ξύλον, οὗ ἡ βρῶσις καλοῦ καὶ κακοῦ γνῶσίς ἐςιν, οὐκ ἰδιαζόντως ἑκάτερον τῶν κατὰ τὸ ἐναντίον σημαινομένων ἐν μέρει καρποφοροῦντος, ἀλλά τινα συγκεχυμένον καὶ σύμμικτον καρπὸν ἐξανθοῦντος ταῖς ἐναντίαις συγκεκραμένον ποιότησιν. Οὗ κωλύει μὲν τὴν βρῶσιν ὁ ἀρχηγὸς τῆς ζωῆς, συμβουλεύει δὲ ὁ ὄφις, ἵνα τῷ θανάτῳ κατασκευάσῃ τὴν εἴςοδον. Καὶ πιθανὸς γίνεται συμβουλεύσας, εὐχροίᾳ τινὶ καὶ ἡδονῇ τὸν καρπὸν περιχρώσας, ὡς ἂν ὀφθείη τε ἡδέως καὶ τὴν ὄρεξιν πρὸς τὴν γεῦσιν ὑπερεθίσειεν.

p. 97. **Κεφ. κ.** **Τί οὖν ἐκεῖνό ἐςιν ὃ καλοῦ τε καὶ κακοῦ συγκεκραμένην ἔχει τὴν γνῶσιν, ταῖς δι' αἰσθήσεως ἡδο-**

Nahrung des Menschen ist; keineswegs aber kann uns bei dem Leben im Paradiese die vergängliche und nichtige Nahrung dieser Welt in den Sinn kommen. Du sollst essen, spricht er, von allem Baume im Garten. Wer wird dem welcher den richtigen Hunger haben wird jenen Baum im Paradiese geben welcher jedes Gut einschließt, mit dessen Namen alles das bezeichnet wird dessen Genuß das Wort dem Menschen spendet? Denn in dem allumfassenden und allerhabenen Wort sind alle Güter unter sich fest verbunden, und bilden Eins und ein Ganzes, und wer wird mich zurückhalten von dem Genuß des Baums dessen Frucht eine zweideutige Mischlingsfrucht ist? Denn jedenfalls wissen die Hellerblickenden was jenes Alles sei dessen Frucht das Leben ist, und andererseits wiederum was jenes Gemischte sei dessen Ende der Tod ist. Der welcher den ungekürzten Genuß des Alls erlaubt hat, der hält in der That den Menschen durch sein Wort und seine Vorsicht auch von dem Genusse des Gemeinen zurück. Ich will den großen David und den weisen Salomo als Lehrer zur Erklärung dieses Wortes herbeiziehen. Denn beide sehen in der Gnade des gestatteten Wohllebens das wahrhafte Gut selbst, was eben auch das Allgut ist, David, indem er sagt, Habe deine Lust an dem Herrn, und Salomo, indem er die Weisheit selbst, welche ist der Herr, den Baum des Lebens nennt. „Aller Baum" also, dessen Genuß dem nach Gottes Bild Gestalteten das Wort des Herrn gestattet, ist Eins und dasselbe mit „Baum des Lebens." Von diesem Baum verschieden ist ein anderer Baum, von dem zu essen Erkenntniß des Guten und Bösen bewirkt; nicht als ob er diese beiden Gegensätze getrennt in buntem Wechsel als Frucht trüge, sondern er treibt eine Bastard- und Mischlingsfrucht die aus beiden Eigenschaften zusammengesetzt ist. Dieses Baumes Genuß verbietet der Urheber des Lebens, während die Schlange dazu räth, damit sie dem Tode Eingang verschaffe. Und der Rathgeber findet Glauben, weil er die Frucht mit Schönheit und Wollust geschmückt hat, damit sie lieblich in die Augen falle und das Verlangen sie zu kosten anreize.

Kap. 20. Was ist nun das für ein Baum welcher die Erkenntniß des Guten und des Bösen zusammengemischt an sich trägt und geschmückt ist mit den sinnlichen Lüsten? In der That werde

ναῖς ἐπηνθισμένον; [1]Ἆρα μὴ πόῤῥω τῆς ἀληθείας παραςοχάσομαι τῇ τοῦ γνωςοῦ διανοίᾳ εἰς ἀφορμὴν τῆς θεωρίας συγχρώμενος. Οἶμαι γὰρ οὐκ ἐπιςήμην ἐνταῦθα παρὰ τῆς γραφῆς νοεῖσθαι τὴν γνῶσιν, ἀλλά τινα διαφορὰν ἐκ τῆς γραφικῆς συνηθείας εὑρίσκω, γνώσεώς τε καὶ διακρίσεως. Τὸ μὲν γὰρ διακρίνειν ἐπιςημόνως τὸ καλὸν ἐκ
Hebr. 5, 14. τοῦ κακοῦ τελειοτέρας ἕξεως εἶναί φησιν ὁ ἀπόςολος,
Thess. 5, 21. καὶ γεγυμνασμένων αἰσθητηρίων. Διὸ καὶ πρόςαγμα ποι-
1 Cor. 2, 15. εῖται πάντα δοκιμάζειν, καὶ τοῦ πνευματικοῦ τὸ διακρίνειν ἴδιον εἶναί φησιν. Ἡ δὲ γνῶσις οὐ πανταχοῦ τὴν ἐπιςήμην τε καὶ τὴν [2]εἴδησιν κατὰ τὸ σημαινόμενον ὑφηγεῖται, ἀλλὰ τὴν πρὸς τὸ κεχαρισμένον διάθεσιν. Ὡς, Ἔγνω
2 Timoth. 2, 29. κύριος τοὺς ὄντας αὐτοῦ· καὶ πρὸς τὸν Μωϋσέα φησὶν
Exod. 33, 12. ὅτι, Ἔγνων σε παρὰ πάντας. Περὶ δὲ τῶν ἐν κακίᾳ κα-
Matth. 7, 23. τεγνωσμένων λέγει [3]ὁ πάντα εἰδὼς ὅτι, Οὐδέποτε ἔγνων ὑμᾶς. Οὐκοῦν τὸ ξύλον, ἀφ᾽ οὗ ἡ σύμμικτος γνῶσις καρποφορεῖται, τῶν ἀπηγορευμένων ἐςί. Μέμικται δὲ διὰ τῶν ἐναντίων ὁ καρπὸς ἐκεῖνος, ὁ συνήγορον ἔχων ἑαυτοῦ τὸν ὄφιν, τάχα κατὰ τὸν λόγον τοῦτον, ὅτι οὐ γυμνὸν πρόκειται τὸ κακὸν αὐτὸ ἐφ᾽ ἑαυτοῦ κατὰ τὴν ἰδίαν φύσιν φαινόμενον. Ἦ γὰρ ἂν ἄπρακτος ἦν ἡ κακία, μηδενὶ προςκεχρωσμένη καλῷ τῷ πρὸς ἐπιθυμίαν αὐτῆς ἐφελκομένῳ τὸν ἀπατώμενον. Νυνὶ δὲ σύμμικτός πώς ἐςιν ἡ τοῦ κακοῦ φύσις, ἐν μὲν τῷ βάθει τὸν ὄλεθρον οἷόν τινα δόλον ἐγκεκρυμμένον ἔχουσα, ἐν δὲ τῇ κατὰ τὸ φαινόμενον ἀπάτῃ καλοῦ τινα φαντασίαν παραδεικνύουσα. Κα-
1 Timoth. 6, 10. λὸν δοκεῖ τοῖς φιλαργύροις ἡ τῆς ὕλης εὔχροια, ἀλλὰ ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία γίνεται. Τίς δ᾽ ἂν ἐπὶ τὸν δυςώδη βόρβορον τῆς ἀκολασίας κατώλισθεν, εἰ μὴ τὴν ἡδονὴν καλόν τι καὶ αἱρετὸν ᾤετο, ὁ τῷ δελέατι τού-
p. 98. τῳ πρὸς τὸ πάθος κατασυρόμενος; Οὕτω καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων ἐγκεκρυμμένην ἔχοντα τὴν διαφθορὰν αἱρετὰ παρὰ τὴν πρώτην δοκεῖ, διά τινος ἀπάτης τοῖς ἀνεπισκέπτοις ἀντ᾽ ἀγαθοῦ σπουδαζόμενα. Ἐπειδὴ τοί-

1) M. Ἆρα μή. — 2) M. εἴδησιν ὑφηγεῖται κ. τὸ σημαινόμενον· ἀλλά. — 3) M. ὁ τὰ πάντα.

ich bei Beantwortung dieser Frage die Wahrheit nicht wohl verfehlen, wenn ich der Betrachtung zunächst die Bestimmung des Begriffs von „Erkenntniß" zu Grunde lege. Denn ich glaube nicht daß hier von der heiligen Schrift unter Erkenntniß ein Verständniß gemeint ist, vielmehr entdecke ich aus ihrem Sprachgebrauch einen Unterschied von Erkenntniß und Urtheil. Denn das Gute von dem Bösen verständig zu sondern, dazu, sagt der Apostel, werde man nur durch einen Zustand höherer Vollkommenheit und durch geübtere Sinne befähigt. Daher befiehlt er auch Alles zu prüfen, und erklärt das ergründende Urtheil für ein Eigenthum des geistlichen Menschen. Die Erkenntniß dagegen bezeichnet der Bedeutung des Wortes nach nicht überall das Verständniß und das Wissen, sondern die Neigung zu dem was Jemandem lieb ist. Zum Beispiel, Es erkannte der Herr die Seinigen; und zu Moses spricht er, Ich habe dich vor Allen erkannt. Von den in ihrer Bosheit Verdammten aber sagt der welcher doch der Allwissende ist, Ich habe Euch niemals erkannt. Der Baum also welcher die gemischte Erkenntniß trägt gehört unter die verbotenen Dinge. Seine Frucht aber, welche die Schlange anpreist, ist eine Mischung von Gegensätzen, vielleicht aus dem Grunde weil das Böse seiner Natur nach nicht nackt und unverhüllt so wie es ist unseren Augen sich darbietet. Denn in der That würde das Böse wirkungslos gewesen sein, wenn es nicht mit etwas Gutem, um Begehren nach ihm bei dem betrogenen zu erregen, geschmückt gewesen wäre. So ist nun aber die Natur des Bösen eine gemischte, und birgt in der Tiefe das Verderben, wie eine hinterlistige Falle, während sie auf der trügerischen Oberfläche das Bild des Guten zeigt. Den Geizigen erscheint der Glanz des Metalls als etwas Schönes, und doch ist der Geiz die Wurzel alles Uebels. Wer würde wohl in den unsauberen Schlamm der zügellosen Liederlichkeit versunken sein, wenn der durch diese Lockspeise der Leidenschaft in die Arme Geführte die Lust nicht für etwas Gutes und werth ihr nachzujagen gehalten hätte? So tragen auch die übrigen Sünden das Verderben versteckt an sich, und erscheinen zuerst des Nachjagens werth, und werden von Solchen welche ihre Augen nicht offen halten und Vorsicht üben gleichwie ein Gut erstrebt. Da nun das Urtheil der Menge das Gute

νυν οἱ πολλοὶ τὸ καλὸν ἐν τῷ τὰς αἰσθήσεις εὐφραίνοντι κρίνουσι, καί τίς ἐςιν ὁμωνυμία τοῦ τε ὄντος καὶ τοῦ δοκοῦντος εἶναι καλοῦ, τούτου χάριν ἡ πρὸς τὸ κακὸν ὡς πρὸς τὸ ἀγαθὸν γινομένη ἐπιθυμία καλοῦ καὶ κακοῦ γνῶσις ὑπὸ τῆς γραφῆς ὠνομάσθη, συνδιάθεσίν τινα καὶ ἀνάκρασιν ἑρμηνευούσης τῆς γνώσεως. Οὔτε ἀπολύτως κακὸν, διότι περιήνθιςαι τῷ καλῷ, οὔτε καθαρῶς ἀγαθὸν, διότι ὑποκέκρυπται τὸ κακὸν, ἀλλὰ σύμμικτον δι' ἑκατέρων τοῦ ἀπηγορευμένου ξύλου τὸν καρπὸν εἶναί φησιν οὗ τὴν γεῦσιν εἰς θάνατον ἄγειν εἶπε τοὺς ἁψαμένους, μονονουχὶ φανερῶς τὸ δόγμα βοῶν ὅτι τὸ ὄντως ἀγαθὸν ἁπλοῦν καὶ μονοειδές ἐςι τῇ φύσει, πάσης διπλόης καὶ τῆς πρὸς τὸ ἐναντίον συζυγίας ἀλλότριον. Τὸ δὲ κακὸν ποικίλον τε καὶ κατεσχηματισμένον ἐςὶν, ἄλλο τι νομιζόμενον καὶ ἕτερον διὰ τῆς πείρας ἀναφαινόμενον, οὗ τὴν γνῶσιν, τοῦτ' ἔςι τὴν διὰ τῆς πείρας ἀνάληψιν, θανάτου καὶ διαφθορᾶς ἀρχήν τε καὶ ὑπόθεσιν γίνεσθαι. Διὰ τοῦτο προδείκνυσιν ὁ ὄφις τὸν πονηρὸν τῆς ἁμαρτίας καρπὸν, οὐχ ὡς εἶχε φύσεως τὸ κακὸν ἐκ τοῦ προφανοῦς ἐπιδείξας (οὐ γὰρ ἂν ἠπατήθη ὁ ἄνθρωπος τῷ προδήλῳ κακῷ), ἀλλὰ διά τινος ὥρας τὸ φαινόμενον ἀγλαΐσας, καί τινα κατὰ τὴν αἴσθησιν ἡδονὴν ἐγγοητεύσας τῇ γεύσει, πιθανὸς ἐφάνη τῇ γυναικὶ, καθώς φησιν ἡ γραφή. Καὶ
Gen. 3, 6. εἶδε γὰρ ἡ γυνὴ, φησὶν, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεςὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐςι τοῦ κατανοῆσαι, καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν. Ἡ δὲ βρῶσις ἐκείνη θανάτου μήτηρ τοῖς ἀνθρώποις γέγονεν. Αὕτη τοίνυν ἡ σύμμικτός ἐςι καρποφορία, σαφῶς τοῦ λόγου τὸν νοῦν ἑρμηνεύοντος καθ' ὃν καλοῦ τε καὶ κακοῦ γνωςὸν ὠνομάσθη τὸ ξύλον ἐκεῖνο, ὅτι κατὰ τὴν τῶν δηλητηρίων κακίαν τῶν παραρτυθέντων τῷ μέλιτι, καθὸ μὲν καταγλυκαίνει τὴν αἴσθησιν, καλὸν εἶναι δοκεῖ, καθὸ δὲ φθείρει τὸν προςαπτόμενον, κακοῦ παντὸς ἔσχατον
p. 99. γίνεται. Ἐπεὶ οὖν ἐνήργησε κατὰ τῆς τοῦ ἀνθρώπου ζωῆς

in dem sucht was die Sinne erfreut, und das wahrhafte und das scheinbare Gute den gleichen Namen führt, deßhalb ist die nach dem Bösen, gleichwie nach einem Gut, entstehende Begierde Erkenntniß des Guten und Bösen von der Schrift genannt worden, welche darunter ein Doppelwesen und eine Vermischung der Erkenntniß versteht. Denn es heißt nicht daß die Frucht des verbotenen Baumes entweder etwas absolut Böses sei, denn sie trägt rings um sich den Blüthenschmuck des Guten, oder etwas rein Gutes, denn das Böse ist dahinter versteckt, sondern eben etwas aus beiden Zusammengemischtes, wovon der Herr sagte daß der Genuß die welche sie brechen in den Tod führe. Hiemit spricht der Herr beinahe mit Deutlichkeit die Lehre aus daß das wirklich Gute seiner Natur nach einfach und von einerlei Art und allem doppelten Wesen und Verbindung sich widersprechender Begriffe fremd sei. Das Böse dagegen sei mannichfaltig und schön von Aussehen, derartig daß man es für etwas Anderes halte als nachher die Erfahrung bestätige, und die Erkenntniß davon, das heißt die Aneignung durch die Erfahrung, werde die Grundlage und Veranlassung zu Tod und Verderben. Darum zeigt die Schlange die schlimme Frucht der Sünde, indem sie das Böse nicht offen so erblicken ließ wie es von Natur ist (denn dann hätte bei der unverhüllten Deutlichkeit des Bösen der Mensch sich nicht berücken lassen), sondern indem sie seine äußere Erscheinung mit Lieblichkeit schmückte und in den Geschmack den Zauber einer sinnlichen Lust zu legen wußte, dadurch gewann sie das Vertrauen des Weibes, wie die Schrift erzählt. Denn das Weib, heißt es, sah daß von dem Baume gut zu essen wäre, und daß er herrlich anzusehen für die Augen, und lieblich zu schauen, und sie nahm und aß von seiner Frucht. Jener Genuß ward zum Vater des Todes für die Menschen. Dies ist also die Mischlingsfrucht, und die Schrift erklärt den Sinn deutlich in welchem jener Baum mit dem Namen des Baums der Erkenntniß des Guten und des Bösen bezeichnet worden ist, weil er nämlich nach Art der schlimmen Gifte welche mit Honig versetzt sind, sofern er einen süßen Genuß gewährt, als etwas Gutes erscheint, sofern er aber den der ihn anrührt dem Verderben preisgiebt, zu einem vor Allem schrecklichen Uebel wird. Nachdem also das böse Gift seine

τὸ πονηρὸν δηλητήριον, τότε ὁ ἄνθρωπος, τὸ μέγα καὶ πρᾶγμα καὶ ὄνομα, τὸ τῆς θείας φύσεως ἀπεικόνισμα, τῇ
Psalm. 143, 4. ματαιότητι, καθώς φησιν ὁ προφήτης, ὡμοιώθη. Οὐκοῦν ἡ μὲν εἰκὼν πρὸς τὸ κρεῖττον τῶν ἐν ἡμῖν νοουμένων ᾠκείωται, τὰ δὲ ὅσα περὶ τὸν βίον λυπηρά τε καὶ ἄθλια πόῤῥω τῆς πρὸς τὸ θεῖόν ἐστιν ὁμοιώσεως.

Κεφ. κα΄. Ἀλλ' οὐχ οὕτως ἐστὶν ἰσχυρὸν ἡ κακία ὡς τῆς ἀγαθῆς ὑπερισχῦσαι δυνάμεως, οὐδὲ κρείττων καὶ μονιμωτέρα τῆς θεοῦ σοφίας ἡ τῆς φύσεως ἡμῶν ἀβουλία. Οὐδὲ γάρ ἐστι δυνατὸν τὸ τρεπόμενόν τε καὶ ἀλλοιούμενον τοῦ ἀεὶ ὡσαύτως ἔχοντος καὶ ἐν τῷ ἀγαθῷ πεπηγότος ἐπικρατέστερόν τε καὶ μονιμώτερον εἶναι. Ἀλλ' ἡ μὲν θεία βουλὴ πάντη τε καὶ πάντως τὸ ἀμετάθετον ἔχει, τὸ δὲ τρεπτὸν τῆς φύσεως ἡμῶν οὐδὲ ἐν τῷ κακῷ πάγιον μένει. Τὸ γὰρ ἀεὶ πάντως κινούμενον, εἰ μὲν πρὸς τὸ καλὸν [1]ἔχει τὴν πρόοδον, διὰ τὸ ἀόριστον τοῦ διεξοδευμένου πράγματος οὐδέποτε λήξει τῆς ἐπὶ τὰ πρόσω φορᾶς· οὐδὲ γὰρ εὑρήσει [2]τοῦ ζητουμένου πέρας οὐδὲν, οὗ δραξάμενον στήσεταί ποτε τῆς κινήσεως. Εἰ δὲ πρὸς τὸ ἐναντίον τὴν ῥοπὴν σχοίη, ἐπειδὰν διανύσῃ τῆς κακίας τὸν δρόμον καὶ ἐπὶ τὸ ἀκρότατον τοῦ κακοῦ μέτρον ἀφίκηται, τότε τὸ τῆς ὁρμῆς ἀεικίνητον οὐδεμίαν ἐκ φύσεως στάσιν εὑρίσκον, ἐπειδὰν διαδράμῃ τὸ ἐν κακίᾳ διάστημα, κατ' ἀνάγκην ἐπὶ τὸ ἀγαθὸν τρέπει τὴν κίνησιν. Μὴ γὰρ προϊούσης κακίας ἐπὶ τὸ ἀόριστον, ἀλλ' ἀναγκαίοις πέρασι κατειλημμένης, ἀκολούθως ἡ τοῦ ἀγαθοῦ διαδοχὴ τὸ πέρας τῆς κακίας ἐκδέχεται, καὶ οὕτω, καθὼς εἴρηται, τὸ ἀεικίνητον ἡμῶν τῆς φύσεως πάλιν ὕστατον ἐπὶ τὴν ἀγαθὴν ἀνατρέ-
p. 100. χει πορείαν, τῇ μνήμῃ τῶν προδεδυστυχημένων πρὸς τὸ μὴ πάλιν ἐναλῶναι τοῖς ἴσοις σωφρονιζόμενον. Οὐκοῦν ἔσται πάλιν ἐν καλοῖς ὁ δρόμος ἡμῖν, διὰ τὸ πέρασιν ἀναγκαίοις περιωρίσθαι τῆς κακίας τὴν φύσιν. Καθάπερ γὰρ οἱ δεινοὶ τὰ μετέωρα τοῦ μὲν φωτὸς πάντα λέγουσι τὸν κόσμον εἶναι κατάπλεων, τὸ δὲ σκότος τῇ ἀντιφράξει

---

1) M. ἔχοι. — 2) τοῦ fehlt bei M., steht aber schon in der Baseler Ausg.

Wirkung auf das menschliche Leben geäußert hatte, da ward der Mensch, dieses Werk und dieser Name der Größe, das Abbild der göttlichen Natur, zu einem Bilde der Nichtigkeit, wie der Prophet sagt. Sonach ist das Bild das Eigenthum des besseren Theiles unseres Wesens, Alles hingegen was das Leben an Wehe und Unglück mit sich führt, liegt weit ab von der Aehnlichkeit mit Gott.

Kap. 21. Allein das Böse ist nicht so mächtig daß es die Macht des Guten zu überwältigen im Stande wäre, so wenig als die Thorheit unserer Natur von größerer Gewalt und Beständigkeit ist als die Weisheit Gottes. Denn es ist unmöglich daß das dem Wechsel und der Veränderung Unterworfene sieghafteren und nachhaltigeren Einfluß besitzt als das was sich stets gleich bleibt und fest in dem Guten wurzelt. Der göttliche Wille ist überall und durchaus frei von Unbeständigkeit, die Veränderlichkeit unserer Natur aber läßt uns auch an dem Bösen nicht fest haften. Denn das was in steter Bewegung ist, wird, sofern es zu dem Guten vorwärtsschreitet, ob der Unendlichkeit des von ihm zu durchlaufenden Gebiets niemals sein Streben nach Vorwärts einstellen, weil es kein Ziel seines Eifers finden wird, mit dessen Erreichung es seine Bewegung hemmen könnte. Strebt es hingegen nach dem Gegentheile, da kehrt es, sobald es die Bahn des Bösen durchlaufen haben und an die äußerste Grenze desselben angelangt sein wird, weil es in der Stetigkeit seiner immer vorwärts strebenden Bewegung keinen natürlichen Ruhepunkt finden kann, nothwendiger Weise seine Bewegung wieder dem Guten zu. Da nämlich das Böse sich nicht unendlich weiter entwickelt, sondern durch gewisse nothwendige Grenzen eingeschlossen ist, so folgt natürlicher Weise auf das Ende des Bösen wiederum das Gute, und so beginnt zuletzt unsere stets bewegliche Natur den Rücklauf auf die Bahn des Guten, gewitzigt und gewarnt durch die Erinnerung an das vorausgegangene Unglück sich nicht von Neuem ähnlichen Zuständen preiszugeben. So betreten wir also wieder die Laufbahn des Guten, weil die Natur des Bösen ihre nothwendigen Grenzen hat. Denn gleichwie die Himmelskundigen behaupten daß die ganze Welt von Licht angefüllt sei, und die Finsterniß dadurch bewirkt werde daß der Erdkör-

τοῦ κατὰ τὴν γῆν σώματος ἀποσκιαζόμενον γίνεσθαι, ἀλλὰ τοῦτο μὲν κατὰ τὸ σχῆμα τοῦ σφαιροειδοῦς σώματος κατὰ νώτου τῆς ἡλιακῆς ἀκτῖνος κωνοειδῶς κατακλείεσθαι, τὸν δὲ ἥλιον, πολλαπλασίονι τῷ μεγέθει τὴν γῆν ὑπερβάλλοντα, πανταχόθεν αὐτὴν ταῖς ἀκτῖσιν ἐν κύκλῳ περιπτυσσόμενον, συνάπτειν κατὰ τὸ πέρας τοῦ κώνου τὰς τοῦ φωτὸς συμβολὰς, ὥϛε καθ' ὑπόθεσιν, εἴ γένοιτό τινι δύναμις διαβῆναι τὸ μέτρον εἰς ὅσον ἐκτείνεται ἡ σκιὰ, πάντως ἂν ἐν φωτὶ γενέσθαι μὴ διακοπτομένῳ ὑπὸ τοῦ σκότους· οὕτως οἶμαι δεῖν καὶ περὶ ἡμῶν διανοεῖσθαι, ὅτι διεξελθόντες τὸν τῆς κακίας ὅρον, ἐπειδὰν ἐν τῷ ἄκρῳ γενώμεθα τῆς κατὰ τὴν ἁμαρτίαν σκιᾶς, πάλιν ἐν φωτὶ βιοτεύσομεν, ὡς κατὰ τὸ ἀπειροπλάσιον πρὸς τὸ τῆς κακίας μέτρον τῆς τῶν ἀγαθῶν φύσεως περιττευούσης. Πάλιν οὖν ὁ παράδεισος, πάλιν τὸ ξύλον ἐκεῖνο, ὃ δὴ καὶ ζωῆς ἐϛι ξύλον, πάλιν τῆς εἰκόνος ἡ χάρις, καὶ ἡ τῆς ἀρχῆς ἀξία. Οὔ μοι δοκεῖ τούτων οὐδὲν ὅσα νῦν πρὸς τὴν τοῦ βίου χρείαν παρὰ τοῦ θεοῦ τοῖς ἀνθρώποις [3]ὑπέζευκται, ἀλλ' ἑτέρας τινὸς βασιλείας ἐϛὶν ἡ ἐλπὶς, ἧς ὁ λόγος ἐν ἀποῤῥήτοις μένει.

Κεφ. κβ'. Ἀλλὰ τῆς ἀκολουθίας τῶν ἐξητασμένων ἐχώμεθα. Ἴσως γάρ τις πρὸς τὸ γλυκὺ τῆς ἐλπίδος πτε-
p. 101. ρωθεὶς τὴν διάνοιαν ἄχθος ἡγεῖται καὶ ζημίαν τὸ μὴ θᾶττον ἐν τοῖς ἀγαθοῖς ἐκείνοις γενέσθαι, ἃ ὑπὲρ αἴσθησίν τε καὶ γνῶσιν ἀνθρωπίνην ἐϛὶ, καὶ δεινὴν ποιεῖται τὴν διὰ μέσου πρὸς τὸ ποθούμενον τοῦ χρόνου παράτασιν. Ἀλλὰ μὴ ϛενοχωρείσθω, καθάπερ τις τῶν νηπίων τὴν πρὸς ὀλίγον ἀναβολὴν τῶν καθ' ἡδονὴν δυϛχεραίνων. Ἐπειδὴ γὰρ ὑπὸ λόγου καὶ σοφίας τὰ πάντα οἰκονομεῖται, ἀνάγκη πᾶσα μηδὲν ἄμοιρον ἡγεῖσθαι τῶν γινομένων αὐτοῦ τε τοῦ λόγου καὶ τῆς ἐν αὐτῷ σοφίας. Ἐρεῖς οὖν τίς οὗτος ὁ λόγος ἐϛὶ καθ' ὃν οὐκ εὐθὺς ἐπὶ τὸ ποθούμενον ἡ τοῦ λυπηροῦ βίου μετάϛασις γίνεται, ἀλλ' εἰς

3) M. ὑπέξευκται.

per die Sonne verdeckt und so den Schatten hervorruft, die Erde aber werde nach ihrer kugelförmigen Gestalt auf ihrer Rückseite konisch von den Strahlen der Sonne abgeschnitten, während die Sonne, welche der Erde an Größe vielmals überlegen ist, sie rings von allen Seiten mit ihren Strahlen umgiebt und an der Spitze des Kegels die zusammentreffenden Lichtströme vereinigt, so daß, beispielsweise angenommen, es könnte Jemand die ganze Länge zu welcher sich der Schatten ausdehnt durchlaufen, er ganz nothwendiger Weise wieder in Licht gelangen würde welches keine Finsterniß unterbricht: so, glaube ich, müssen wir auch von uns annehmen daß, wenn wir die Grenze des Bösen überschritten und die äußerste Spitze des Schattens der Sünde erreicht haben werden, uns wiederum ein Leben im Lichte beschieden sein wird, weil die Natur des Guten verglichen mit der Ausdehnung des Bösen unendliche Male diese überragt. Es wird also das Paradies wiederkehren, jener Baum, welcher ja auch der Baum des Lebens ist, wird wiedergewonnen, und die Schönheit des Ebenbildes und die Würde der Herrschaft wird uns wiedergeschenkt werden. Von allen Dingen welche jetzt zur Nothdurft des Lebens von Gott den Menschen gegeben sind meine ich hier Nichts, sondern die Hoffnung steht auf ein anderes Reich, dessen Wesen ein Geheimniß bleibt.

Kap. 22. Halten wir aber an der Ordnung unserer Untersuchungen fest. Denn vielleicht hält Mancher Angesichts der Süßigkeit dieser Hoffnung, durch welche seine Gedanken Flügel bekommen, es für eine Bürde und Strafe daß er nicht schneller jener Güter theilhaftig wird welche über menschliche Empfindung und Erkenntniß hinausgehen, und dieser Glaube läßt ihn die bis zur Erreichung des Ersehnten dazwischenliegende Zeit schrecklich erscheinen. Aengstige sich aber darum Niemand, wie ein Kind thut welches ein kurzer Aufschub seines Vergnügens traurig stimmt. Denn da von Vernunft und Weisheit Alles regiert wird, so müssen wir ganz nothwendiger Weise den Glauben haben daß Nichts von Allem was geschieht ohne das Wort und die in ihm ruhende Weisheit geschieht. Fragst du nun, was das für ein Grund ist aus welchem das Leben der Trauer sich nicht sofort in das unserer Sehnsucht umwandelt,

χρόνους τινὰς ὡρισμένους ἡ βαρεία καὶ σωματώδης αὕτη παραταθεῖσα ζωὴ ἀναμένει τὸ πέρας τῆς τοῦ παντὸς συμπληρώσεως, ἵνα τὸ τηνικαῦτα καθάπερ χαλινοῦ τινος ἐλευθερωθεῖσα ἡ ἀνθρωπίνη ζωὴ πάλιν ἄνετός τε καὶ ἐλευθέρα πρὸς τὸν μακάριον καὶ ἀπαθῆ βίον ἐπαναδράμοι. Ἀλλ' εἰ μὲν ἐγγίζει τῇ ἀληθείᾳ τῶν ζητουμένων ὁ λόγος, αὐτὴ ἂν εἰδείη σαφῶς ἡ ἀλήθεια, ὃ δ' οὖν ἐπὶ τὴν ἡμετέραν ἦλθε διάνοιαν, τοιοῦτόν ἐϛι. Λέγω δὴ τὸν πρῶτον πάλιν ἐπαναλαβὼν λόγον. Ποιήσωμεν, φησὶν ὁ θεὸς, ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. Ἡ μὲν οὖν εἰκὼν τοῦ θεοῦ, ἡ ἐν πάσῃ τῇ ἀνθρωπίνῃ φύσει θεωρουμένη, τὸ τέλος ἔσχεν, ὁ δὲ Ἀδὰμ οὔπω ἐγένετο· τὸ γὰρ γήϊνον πλάσμα κατά τινα ἐτυμολογικὴν ὀνομασίαν λέγεται Ἀδὰμ, καθώς φασιν οἱ τῆς Ἑβραίων φωνῆς ἐπιΐϛορες. Διὸ καὶ ὁ ἀπόϛολος, διαφερόντως τὴν
1 Corinth. 15, 47. πάτριον τῶν Ἰσραηλιτῶν πεπαιδευμένος φωνὴν, τὸν ἐκ γῆς ἄνθρωπον χοϊκὸν ὀνομάζει, οἱονεὶ μεταβαλὼν τὴν τοῦ Ἀδὰμ κλῆσιν εἰς τὴν Ἑλλάδα φωνήν. Γέγονεν οὖν κατ' εἰκόνα ὁ ἄνθρωπος, ἡ καθόλου φύσις, τὸ θεοείκελον χρῆμα, γέγονε δὲ τῇ παντοδυνάμῳ σοφίᾳ οὐχὶ μέρος τοῦ ὅλου, ἀλλ' ἅπαν ἀθρόως τὸ τῆς φύσεως πλήρωμα. Εἶδεν ὁ πάντων τῶν περάτων περιδεδραγμένος, καθώς φησιν ἡ
Psalm. 95, 4. γραφὴ ἡ λέγουσα, Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, εἶδεν
p. 102. ὁ εἰδὼς τὰ πάντα καὶ πρὶν γενέσεως αὐτῶν, ἐμπεριλαβὼν
Sus. 42. τῇ γνώσει ὅσον κατ' ἀριθμὸν ἐν [1] τοῖς καθ' ἕκαϛον ἔϛαι τὸ ἀνθρώπινον. Ἐπεὶ δὲ κατενόησεν ἐν τῷ πλάσματι ἡμῶν τὴν πρὸς τὸ χεῖρον ῥοπὴν, καὶ ὅτι τῆς πρὸς τοὺς ἀγγέλους ὁμοτιμίας ἑκουσίως ἀποῤῥυὲν τὴν πρὸς τὸ ταπεινὸν κοινωνίαν προςοικειώσεται, διὰ ταῦτα κατέμιξέ τι καὶ τοῦ ἀλόγου τῇ ἰδίᾳ εἰκόνι. Οὐ γὰρ ἔϛιν ἐν τῇ θείᾳ τε καὶ μακαρίᾳ φύσει ἡ κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορά. Ἀλλὰ τῆς ἀλόγου κατασκευῆς ἐπὶ τὸν ἄνθρωπον μετενεγκὼν τὸ ἰδίωμα οὐ κατὰ τὸ ὑψηλὸν τῆς κτίσεως

1) M. τοῖς ἕκαϛον.

sondern die Last dieses körperlichen Lebens sich auf gewisse zeitliche Grenzen forterstreckt, und das Ende der Erfüllung des Alls abwartet, damit das menschliche Leben dann wie vom Zügel gelöst wieder ungebunden und frei dem Wandel in Glückseligkeit und Unabhängigkeit von allen Affecten sich zuwenden kann? Ob ich in Erörterung dieser Frage der Wahrheit nahe komme, das kann mit Bestimmtheit wohl nur die Wahrheit selbst wissen; unsere Gedanken sind folgende. Ich beginne mit Wiederaufnahme des erstbesprochenen Worts. Laßt uns, sagt Gott, Menschen machen nach unserem Bilde und uns ähnlich, und Gott schuf den Menschen, nach dem Bilde Gottes schuf er ihn. Das Bild Gottes, welches in der Gesammtheit der menschlichen Natur uns entgegentritt, war also vollendet, Adam aber war noch nicht geschaffen; der Name Adam nämlich bedeutet „irdisches Gebilde", wie die des Hebräischen Kundigen behaupten. Darum nennt auch der Apostel, der ja vorzugsweise Kenntniß in der Muttersprache der Israeliten hat, den Menschen aus Erde den irdischen Menschen, wie wenn er den Namen Adam hätte in das Griechische übersetzen wollen. Es ist also der Mensch nach dem Bilde geschaffen, die Gesammtheit seiner Natur, dieses gottähnliche Ding, und zwar so, daß von der allmächtigen Weisheit nicht ein Theil des Ganzen, sondern; wie gesagt, die gesammte Fülle seiner Natur mit einem Male in das Dasein gerufen wurde. Der welcher die Enden umfaßt hält, wie die Schrift sagt, In seiner Hand ruhen die Enden der Erde, welcher Alles weiß und es weiß bevor es ist, der sah und umfaßte in seiner Erkenntniß die Zahl welche das Menschengeschlecht in seiner ganzen Ausdehnung erreichen soll. Da er nun in unserem Gebilde die Neigung zum Bösen erkannte, und erkannte daß es seine Stellung gleicher Ehre mit den Engeln von selbst verlieren und sich der Gemeinschaft mit dem Niedrigen in die Arme werfen werde, darum mischte er seinem Bilde Einiges von den unvernünftigen Thieren zu. Denn in der göttlichen und glückseligen Natur giebt es keinen Unterschied nach Mann und Weib. Er überträgt auf den Menschen die Eigenthümlichkeit der Einrichtung des vernunftlosen Thiers, und gewährt seinem Geschlechte keine der Erhabenheit unse-

ἡμῶν τὸν πλεονασμὸν τῷ γένει χαρίζεται. Οὐ γὰρ ὅτε τὸ κατ᾽ εἰκόνα ἐποίησε, τότε τὴν τοῦ αὐξάνεσθαι καὶ πληθύνεσθαι δύναμιν τῷ ἀνθρώπῳ προςέθηκεν, ἀλλ᾽ ὅτε διέκρινε τῇ κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορᾷ, τότε φησὶν, Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. Τὸ γὰρ τοιοῦτον οὐ τῆς θείας φύσεως ἴδιον, ἀλλὰ τῆς ἀλόγου ἐςὶ, καθὼς ἡ ἱςορία παρασημαίνεται πρότερον ἐπὶ τῶν ἀλόγων εἰρῆσθαι ταῦτα παρὰ τοῦ θεοῦ διηγησαμένη. Ὡς εἴ γε πρὸ τοῦ ἐπιβαλεῖν τῇ φύσει τὴν κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορὰν τὴν διὰ τῆς φωνῆς ταύτης δύναμιν εἰς τὸ αὐξάνεσθαι τῷ ἀνθρώπῳ προςέθηκεν, οὐκ ἂν τοῦ τοιούτου τῆς γεννήσεως εἴδους προςεδεήθημεν, δι᾽ οὗ γεννᾶται τὰ ἄλογα. Τούτου τοίνυν προκατανοηθέντος διὰ τῆς προγνωςικῆς ἐνεργείας πληρώματος τῶν ἀνθρώπων, διὰ τῆς ζωωδεςέρας γενέσεως ἐπὶ τὴν ζωὴν μέλλοντος παριέναι, ὁ τάξει τινὶ καὶ εἱρμῷ διακυβερνῶν τὰ πάντα θεὸς, ἐπειδὴ ὅλως τὸ τοιοῦτον τῇ ἀνθρωπότητι τῆς γεννήσεως εἶδος ἀναγκαῖον ἐποίησεν ἡ πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν ἐπίκλισις, ἣν εἶδε πρὶν γενέσθαι ὁ ἐπίσης τῷ ἐνεςῶτι τὸ μέλλον βλέπων, διὰ τοῦτο καὶ τὸν σύμμετρον τῇ κατασκευῇ τῶν ἀνθρώπων χρόνον προκατενόησεν, ὥςε τῇ παρόδῳ τῶν [2] προορισθεισῶν ψυχῶν συναπαρτισθῆναι τὴν τοῦ χρόνου παράτασιν, καὶ τότε ςῆναι τὴν ῥοώδη τοῦ χρόνου κίνησιν ὅταν μηκέτι φύηται δι᾽ αὐτοῦ τὸ ἀνθρώπινον· τελεσθείσης δὲ τῆς τῶν ἀνθρώπων γενέσεως τῷ τέλει ταύτης συγκαταλῆξαι τὸν χρόνον, καὶ οὕτω τὴν τοῦ παντὸς ἀναςοιχείωσιν γενέσθαι, καὶ τῇ μεταβολῇ τοῦ ὅλου
p. 103. συναμειφθῆναι καὶ τὸ ἀνθρώπινον, ἀπὸ τοῦ φθαρτοῦ καὶ γεώδους ἐπὶ τὸ ἀπαθὲς καὶ ἀΐδιον, ὅ μοι δοκεῖ καὶ ὁ θεῖος ἀπόςολος κατανοήσας προειπεῖν διὰ τῆς πρὸς Κορινθίους ἐπιςολῆς τὴν αἰφνίδιον τοῦ χρόνου ςάσιν, καὶ τὴν εἰς τὸ ἔμπαλιν τῶν κινουμένων ἀνάλυσιν, ἐν οἷς φη-
1 Cor. 15, 51. σιν, Ἰδοὺ, μυςήριον ὑμῖν λέγω, πάντες μὲν οὐ κοιμηθη-

2) M. περιορισθεισῶν.

chöpfung entsprechende Vermehrungsweise. Denn nicht damals
sein Geschöpf nach seinem Bilde erschuf, verlieh er dem Men-
die Kraft, fruchtbar zu sein und sich zu mehren, sondern da-
als er ihn nach dem Unterschied von Mann und Weib trennte,
er die Worte, Seid fruchtbar und mehret Euch, und
t die Erde. Denn diese Gabe ist kein Eigenthum der gött-
Natur, sondern der unvernünftigen, wie die Geschichte bestä-
welche erzählt daß diese Worte von Gott zuerst im Betreff der
nftlosen Thiere gesprochen worden seien. Sonach würden wir,
n Gott früher als er der menschlichen Natur den Unterschied
Mann und Weib gab, durch dieses Wort dem Menschen Macht
ner Vermehrung beigelegt hätte, schwerlich noch dieser von den
nftlosen Thieren entlehnten Art der Erzeugung bedurft haben.
lso Gott, welcher nach Ordnung und stetem Zusammenhang
ll regiert, durch die Macht seiner Voraussicht die Gesammt-
und Vollzahl der Menschen, welche auf dem Wege jener mehr
schen Erzeugung in das Leben treten sollte im Voraus vor Au-
atte, so hat er, da die Neigung unserer Natur zum Niedrigen,
e der voraussah dessen Auge die Zukunft gleich wie die Gegen-
schaut, eine solche Art der Erzeugung für die Menschheit durch-
othwendig machte, aus diesem Grunde auch das in richtigem
ltniß zu der Einrichtung der Menschen stehende Maß von Zeit
sbestimmt, dergestalt daß mit dem Vorübergang der vorher
setzten Zahl der Seelen die Dauer der Zeit ihren Abschluß
und ihre flüssige Bewegung dann zum Stillstand käme wenn
Menschengeschlecht sich fortzuerzeugen aufhören wird, nach nun
ndeter Geburt der Menschen aber mit dieser Vollendung auch
Ende der Zeit, somit die Auflösung des Alls in seine elemen-
hen Theile, und mit der Umgestaltung des Ganzen auch die
andlung des Menschen aus dem Vergänglichen und Irdischen
eiheit von allem Affect und in das Ewige einträte. Dies scheint
uch der göttliche Apostel vor Augen zu haben wenn er in dem
e an die Corinthier den plötzlichen Stillstand der Zeit und die
sung dessen was lebendig war in den ehemaligen Zustand vor-
kündigt, in den Worten: Siehe, ich sage Euch ein Ge-
niß: wir werden nicht alle entschlafen, wir werden

σόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. Τοῦ γὰρ πληρώματος, ὡς οἶμαι, τῆς ἀνθρωπίνης φύσεως κατὰ τὸ προγνωσθὲν μέτρον εἰς πέρας ἐλθόντος, διὰ τὸ μηκέτι λείπειν τῷ τῶν ψυχῶν ἀριθμῷ μηδὲν εἰς ἐπαύξησιν, ἐν ἀκαρεῖ τοῦ χρόνου γενήσεσθαι τὴν ἐναλλαγὴν τῶν ὄντων ἐδίδαξεν, ἄτομον ὀνομάσας καὶ ῥιπὴν ὀφθαλμοῦ τὸ ἀμερὲς ἐκεῖνο τοῦ χρόνου καὶ ἀδιάςατον πέρας, ὡς μηκέτι δυνατὸν εἶναι τῷ κατὰ τὸ ἔσχατόν τε καὶ ἀκρότατον τῆς ἀκμῆς ἐπιβάντι τοῦ χρόνου, διὰ τὸ μηδὲν ὑπολείπεσθαι τῇ ἀκρότητι μέρος, τὴν περιοδικὴν ταύτην διὰ θανάτου μεταβολὴν κτήσασθαι, ἀλλ᾽ εἰ μόνον ἠχήσειεν ἡ τῆς ἀναςάσεως σάλπιγξ, ἡ τὸ τεθνηκὸς ἀφυπνίζουσα, καὶ τοὺς ἐν τῇ ζωῇ καταλειφθέντας καθ᾽ ὁμοιότητα τῶν ἐξ ἀναςάσεως ἀλλοιουμένων πρὸς ἀφθαρσίαν ἀθρόως [3]μεταβληθήσεσθαι, ὡς μηκέτι τὸ βάρος τῆς σαρκὸς ἐπὶ τὸ κάτω βρίθειν, καὶ τῇ γῇ παρακατέχειν τὸν ὄγκον, ἀλλὰ μετάρσιον δι᾽ ἀέρος
1 Thess. 4, 17. φοιτᾷν. Ἁρπαγησόμεθα γάρ, φησίν, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. Οὐκοῦν ἀναμεινάτω τὸν χρόνον τὸν ἀναγκαίως τῇ ἀνθρωπίνῃ αὐξήσει συμπαρατείνοντα. Καὶ γὰρ οἱ περὶ τὸν Ἀβραὰμ πατριάρχαι τοῦ μὲν ἰδεῖν τὰ ἀγαθὰ τὴν ἐπιθυμίαν ἔσχον. Καὶ οὐκ ἀνῆκαν ἐπιζητοῦντες τὴν ἐπουρά-
Hebr. 11, 14. 40. νιον πατρίδα, καθώς φησιν ὁ ἀπόςολος, ἀλλ᾽ ὅμως ἐν τῷ ἐλπίζειν ἔτι τὴν χάριν εἰσί, τοῦ θεοῦ κρεῖττόν τι περὶ ἡμῶν προβλεψαμένου κατὰ τὴν τοῦ Παύλου φωνήν, ἵνα μή, φησί, χωρὶς ἡμῶν τελειωθῶσιν. Εἰ οὖν ἐκεῖνοι φέρουσι τὴν ἀναβολὴν οἱ πόῤῥωθεν, διὰ μόνης πίςεως καὶ τῆς ἐλπίδος ἰδόντες τὰ ἀγαθά, καὶ ἀσπασάμενοι, καθὼς
p. 104. μαρτυρεῖ ὁ ἀπόςολος, τὸ ἀσφαλὲς τῆς τῶν ἐλπισθέντων ἀπολαύσεως ἐν τῷ πιςὸν ἡγήσασθαι τὸν ἐπαγγειλάμενον θέμενοι, τί χρὴ πράττειν τοὺς πολλοὺς ἡμᾶς, οἷς τυχὸν οὐδὲ ἡ πρὸς τὸ κρεῖττον ἐλπὶς ἐκ τῶν βεβιωμένων ἐςίν;

---

3) M. μεταβάλλουσα.

aber alle verwandelt werden, plötzlich und in einem Augenblick, zur Zeit der letzten Posaune. Meiner Meinung nach sagt er uns damit, daß wenn die Erfüllung der menschlichen Natur nach dem vorausbestimmten Maß zu ihrem Abschluß gelangt sein wird, dann, weil Nichts mehr an der Zahl der Seelen zu weiterer Vermehrung fehlt, in einem Moment die Verwandlung der Dinge eintreten werde, wobei er mit den Ausdrücken plötzlich und Augenblick eben jenen untheilbaren und dimensionslosen Grenzpunkt der Zeit bezeichnet, so also daß dann für den welcher dies äußerste und letzte Ziel erreichen wird, aus dem Grunde weil kein Moment mehr übrig bleibt, auch keine Möglichkeit vorhanden ist daß ihm diese periodische Verwandlung welche auf dem Wege des Todes sich vollzieht noch zu Theil wird, sondern wenn die Posaune der Auferstehung, welche die Todten von ihrem Schlafe aufweckt, erschallt sein wird, dann werden auch die in dem Leben noch übrig Gelassenen gleich denen welche in Folge der Auferstehung verwandelt worden sind mit einem Male zur Unvergänglichkeit umgewandelt werden, so daß die Bürde des Fleisches sie nicht mehr nach Unten zieht und die Last sie an die Erde gefesselt hält, sondern man erhaben durch die Lüfte wandelt. Denn, sagt er, wir werden in den Wolken hingerückt werden, dem Herrn entgegen in der Luft, und werden also bei dem Herrn sein allezeit. Harre man also die Zeit welche für das Wachsthum der Menschheit nothwendig ist. Denn auch Abraham und die anderen Erzväter um ihn hatten Sehnsucht die Güter zu erschauen und hörten nicht auf das himmlische Vaterland zu suchen, wie der Apostel sagt, aber gleichwohl sind sie noch in dem Zustande der Hoffnung auf die Gnade, darum daß Gott für uns etwas Besseres zuvor versehen hat, nach dem Ausspruch Pauli, daß, wie er sagt, sie nicht ohne uns vollendet würden. Wenn also Jene, welche lange vor uns gelebt haben, den Aufschub ertragen, und die Güter bloß durch den Glauben und die Hoffnung schauen, und sich damit begnügen lassen, wie der Apostel bezeugt, weil sie die Sicherheit ihrer Hoffnung auf den einstigen Genuß darein setzen daß sie den welcher ihn verheißen hat für wahr und treu halten, was sollen wir dann thun, wir viele, welche aus ihrem Leben vielleicht nicht

Ἐξέλιπε δι' ἐπιθυμίας καὶ ἡ τοῦ προφήτου ψυχὴ, καὶ
Psalm. 83, 2. 10. 11. ὁμολογεῖ διὰ τῆς ψαλμῳδίας τὸ ἐρωτικὸν τοῦτο πάθος, ἐπιποθεῖν λέγων καὶ ἐκλείπειν αὐτοῦ τὴν ψυχὴν ἐν ταῖς αὐλαῖς τοῦ κυρίου γενέσθαι, κἂν ἐν τοῖς ἐσχάτοις δέῃ παραῤῥιπτεῖσθαι, ὡς μεῖζον ὂν καὶ προτιμότερον τὸ ἐν ἐκείνοις ἔσχατον εἶναι τοῦ πρωτεύειν ἐν τοῖς ἁμαρτωλοῖς τοῦ βίου σκηνώμασιν. Ἀλλ' ὅμως ἠνείχετο τῆς ἀναβολῆς, μακαρίζων μὲν τὴν ἐκεῖ διαγωγὴν, καὶ τὴν ἐν βραχεῖ μετουσίαν χιλιάδων χρόνου προτιμοτέραν ποιούμενος (κρεῖσσον γὰρ, φησὶν, ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας), ἀλλ' οὐκ ἐδυςχέραινε τῇ ἀναγκαίᾳ περὶ τῶν ὄντων οἰκονομίᾳ, ἱκανόν τε εἰς μακαρισμὸν ᾤετο τοῖς ἀνθρώποις καὶ τὸ δι' ἐλπίδος ἔχειν τὰ ἀγαθά. Διό φη-
Ibid. v. 13. σιν ἐπὶ τέλει τῆς ψαλμῳδίας, Κύριε ὁ θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. Οὐ τοίνυν οὐδὲ ἡμᾶς ςενοχωρεῖσθαι χρὴ περὶ τῆς ἐν βραχεῖ τῶν ἐλπιζομένων ἀναβολῆς, ἀλλ' ὅπως ἂν μὴ ἀπόβλητοι τῶν ἐλπιζομένων γενοίμεθα τὴν σπουδὴν ἔχειν. Ὥςπερ γὰρ εἴ τις προείποι τινὶ τῶν ἀπειροτέρων ὅτι κατὰ τὸν καιρὸν τοῦ θέρους ἡ τῶν καρπῶν γενήσεται συλλογὴ, καὶ πλήρεις μὲν αἱ ἀποθῆκαι, μεςὴ δὲ τῶν ἐδωδίμων ἡ τράπεζα τῷ τῆς εὐθηνίας ἔςαι καιρῷ, μάταιος ἂν εἴη ὁ ἐπισπεύδων τοῦ καιροῦ τὴν παρουσίαν, δέον σπέρματα καταβάλλειν καὶ δι' ἐπιμελείας ἑαυτῷ τοὺς καρποὺς ἑτοιμάζεσθαι (ὁ μὲν γὰρ καιρὸς καὶ βουλομένου καὶ μὴ πάντως κατὰ τὸν τεταγμένον ἐπιςήσεται χρόνον, οὐχ ὁμοίως δὲ αὐτὸν ὄψονται ὅ τε προετοιμάσας ἑαυτῷ τὴν τῶν καρπῶν ἀφθονίαν καὶ ὁ πάσης παρασκευῆς ἔρημος [4]καταληφθεὶς ὑπὸ τῆς ὥρας), οὕτως οἶμαι δεῖν, προδήλου πᾶσι διὰ τοῦ θείου κηρύγματος ὄντος ὅτι ἐνςήσεται τῆς [5]ἀλλαγῆς ὁ καιρὸς, μὴ χρόνους πολυπραγμονεῖν ([6]οὐ γὰρ ἡμῶν εἶπεν εἶναι τὸ καιροὺς γνῶναι καὶ χρόνους), μηδὲ λογισμούς
p. 105. τινας ἀναζητεῖν, δι' ὧν σαθρώσει τις τὴν ψυχὴν περὶ τὴν ἐλπίδα τῆς ἀναςάσεως, ἀλλὰ τῇ πίςει τῶν προςδοκωμέ-

4) M. καταλειφθεὶς. — 5) M. ἐναλλαγῆς. — 6) M. οὐδὲ γάρ.

einmal die Hoffnung auf das Bessere gewinnen? Auch des Propheten Seele schwand dahin vor Verlangen, und in seinem Psalmgesang gesteht er dieses Gefühl der Liebessehnsucht ein, und sagt daß seine Seele Verlangen trage und sich sehne in die Vorhöfe des Herrn zu gelangen, müßte er auch unter die Letzten verworfen werden, weil es besser und vorzüglicher sei in jenen der Letzte als in den sündigen Wohnungen des Lebens der Erste zu sein. Dennoch aber ertrug er den Aufschub, indem er den Aufenthalt dort wohl glücklich pries, und den auch nur kurzen Genuß über den tausendmal längeren in der Zeit stellte (denn ein Tag in deinen Vorhöfen, spricht er, ist besser denn sonst tausend), aber er grollte nicht über die nothwendige Ordnung der Dinge, und hielt es für hinlängliche Seligkeit für den Menschen auch nur in der Hoffnung die Güter zu besitzen. Darum sagt er am Ende des Psalms, Herr Gott der Heerschaaren, glücklich der Mensch welcher auf dich hofft! Also dürfen auch wir uns nicht ängstigen ob des kurzen Aufschubs dessen worauf wir hoffen, müssen vielmehr dahin streben daß wir des Gehofften nicht verlustig gehen. Denn gleichwie wenn Jemand Einem der in diesen Dingen mindere Erfahrung besitzt vorhersagen wollte daß zur Sommerszeit die Ernte der Früchte eintreten, und daß zur Zeit des Ueberflusses die Scheuren gefüllt und der Tisch voll von Speisen sein werden, derjenige ein Thor sein würde welcher den Eintritt dieser Zeit beschleunigt wissen wollte, weil man ja doch erst Samen streuen und die Früchte sich durch sorgfältige Pflege sichern muß (denn die Zeit wird, magst du wollen oder nicht, mit Nothwendigkeit zu der festgesetzten Frist schon kommen, nur wird der welcher sich einen Ueberfluß von Früchten durch seinen Fleiß gesichert ihr nicht ebenso entgegenblicken als der welcher noch aller Vorarbeit baar von der Jahreszeit überrascht wird), so, meine ich, da Allen durch die göttliche Verkündigung offenbar ist daß die Zeit der Verwandlung bevorsteht, dürfen wir die Zeiten nicht zu erforschen suchen (denn der Herr hat gesagt daß es nicht unsere Sache sei die Zeiten und Fristen zu kennen), noch Berechnungen anstellen wollen, durch welche die Hoffnung auf die Auferstehung nur wankend werden muß, sondern man vertraue fest auf das was man hofft, und auf dies Vertrauen ge-

νων ἐπερειδόμενον διὰ τῆς ἀγαθῆς πολιτείας τὴν μέλλουσαν χάριν προεμπορεύεσθαι.

Κεφ. κγ'. Εἰ δέ τις τὴν νῦν τοῦ κόσμου φορὰν εἱρμῷ τινι διεξαγομένην βλέπων, δι' ἧς τὸ χρονικὸν θεωρεῖται διάϛημα, μὴ ἐνδέχεσθαι [1] λέγει τὴν προαγγελθεῖσαν τῶν κινουμένων ϛάσιν γενήσεσθαι, δῆλος ὁ τοιοῦτός ἐϛι μηδὲ ἐν ἀρχῇ γεγενῆσθαι παρὰ τοῦ θεοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν πιϛεύων. Ὁ γὰρ ἀρχὴν τῇ κινήσει διδοὺς οὐκ ἀμφιβάλλει [2] πάντως περὶ τοῦ τέλους, καὶ ὁ τὸ τέλος μὴ προσδεχόμενος οὐδὲ τὴν ἀρχὴν παρεδέξατο. Ἀλλ' ὥςπερ κατηρτίσθαι τοὺς αἰῶνας τῷ ῥήματι νοοῦμεν τοῦ θεοῦ,
Hebr. 11,3. πιϛεύοντες, καθὼς φησιν ὁ ἀπόϛολος, ἐκ τῶν μὴ φαινομένων τὰ βλεπόμενα γεγονέναι, τῇ αὐτῇ πίϛει [3] χρησώμεθα περὶ τὸ ῥῆμα τοῦ θεοῦ, τοῦ τὴν ἀναγκαίαν τῶν ὄντων ϛάσιν προαγορεύσαντος. Τὸ δὲ πῶς ἐξαιρετέον τῆς πολυπραγμοσύνης· καὶ γὰρ [4] ἐκεῖ πίϛει κατηρτίσθαι τὸ βλεπόμενον ἐκ τῶν μηδέπω φαινομένων κατεδεξάμεθα, παραδραμόντες τῶν ἀνεφίκτων τὴν ζήτησιν. Καί τοι περὶ πολλῶν ἡμῖν ὁ λόγος ἀπορεῖν ὑπετίθετο, οὐ μικρὰς παρέχων [5] τὰς ἀφορμὰς πρὸς τὴν τῶν πεπιϛευμένων ἀμφιβολίαν. Ἐξῆν γὰρ κἀκεῖ τοῖς ἐριϛικοῖς ἐκ τῶν εὐλόγων κατὰ τὸ ἀκόλουθον ἀνατρέπειν τὴν πίϛιν, πρὸς τὸ μὴ νομίζειν ἀληθῆ τὸν πρὸ τῆς ὑλικῆς κτίσεως εἶναι λόγον ὃν ἡ ἁγία πρεσβεύει γραφὴ, πάντων τῶν ὄντων ἐκ τοῦ θεοῦ εἶναι διαβεβαιουμένη τὴν γένεσιν. Οἱ γὰρ τῷ ἐναντίῳ παριϛάμενοι λόγῳ συναΐδιον εἶναι τῷ θεῷ τὴν ὕλην κατασκευάζουσι, τοιούτοις ἐπιχειρήμασι πρὸς τὸ δόγμα
p. 106. χρώμενοι. Εἰ ἁπλοῦς ὁ θεὸς τῇ φύσει, καὶ ἄϋλος, ἄποιός τε καὶ ἀμεγέθης, καὶ ἀσύνθετος, καὶ τῆς κατὰ τὸ σχῆμα περιγραφῆς ἀλλοτρίως ἔχων, πᾶσα δὲ ὕλη ἐν διαϛηματικῇ παρατάσει καταλαμβάνεται, καὶ τὰς διὰ τῶν αἰσθητηρίων καταλήψεις οὐ διαπέφευγεν ἐν χρώματι καὶ σχήματι καὶ

1) M. λέγοι. — 2) M. πάντως καὶ περὶ. — 3) M. χρησόμεθα. — 4) M. κἀκεῖ. — 5) τὰς fehlt bei M.

stützt suche man sich die Gnade der Zukunft durch einen guten Wandel vorher zu sichern.

Kap. 23. Behauptet aber Jemand im Hinblick auf die jetzige, nach einem festen Gesetz fortschreitende Bewegung der Welt, in welcher der zeitliche Unterschied für unsere Beobachtung sich abgrenzt, daß der verkündigte Stillstand der Bewegungen unmöglich werde eintreten können, so glaubt er offenbar auch nicht daß der Himmel und die Erde im Anfang von Gott geschaffen worden sind. Denn wer der Bewegung einen Anfang zugesteht, der kann unmöglich über ein Ende in Zweifel sein, ebenso wie der welcher kein Ende annimmt auch keinen Anfang zuläßt. Vielmehr wie wir wissen daß die Welt durch das Wort Gottes fertig geworden ist, indem wir, wie der Apostel sagt, glauben daß das was wir sehen aus dem was man nicht sieht geworden ist, mit demselben Glauben wollen auch wir das Wort Gottes aufnehmen welcher den nothwendigen Stillstand der Dinge verkündigt hat. Die Frage nach dem Wie? ist aber ganz zu beseitigen; denn auch dort haben wir im Glauben angenommen daß das was wir sehen aus dem was noch nicht in Erscheinung getreten ist geworden sei, und sind damit der Untersuchung über Dinge welche für unser Wissen unerreichbar sind aus dem Wege gegangen. Und doch läßt die Untersuchung für uns vielerlei Bedenken auftauchen, und bietet nicht geringfügige Veranlassung an dem was man glaubt zu zweifeln dar. Denn auch dort könnten die Disputiersüchtigen mit logisch begründeten Sätzen die Zuverlässigkeit der ausgesprochenen Lehren zu widerlegen versuchen wollen, damit man die der Schöpfung der Materie vorausgehende Erzählung, für welche die Autorität der heiligen Schrift bürgt und uns versichert daß die Existenz aller Dinge aus Gott stamme, für unwahr halte. Diejenigen nämlich welche der gegnerischen Behauptung beipflichten suchen den Beweis zu führen daß die Materie gleich ewig mit Gott sei, und zwar mit folgenden Gründen. Ist Gott, sagen sie, seiner Natur nach einfach, immaterial, ohne Qualität und Größe, nicht zusammengesetzt, und frei von körperlicher Umgrenzung, und wird hingegen alle Materie in einer räumlichen Ausdehnung begriffen und entzieht sich der Wahrnehmung durch die Sinne nicht, läßt sich vielmehr in Farbe und Gestalt, in Schwere, Größe, Festigkeit und

ὄγκῳ καὶ πηλικότητι καὶ ἀντιτυπίᾳ καὶ τοῖς λοιποῖς τοῖς περὶ αὐτὴν θεωρουμένοις γινωσκουμένη, ὧν οὐδὲν ἐν τῇ θείᾳ φύσει δυνατόν ἐςι κατανοῆσαι, τίς μηχανὴ ἐκ τοῦ ἀΰλου τὴν ὕλην ἀποτεχθῆναι; ἐκ τοῦ ἀδιαςάτου τὴν διαςηματικὴν φύσιν; Εἰ γὰρ ἐκεῖθεν ὑποςῆναι ταῦτα [6]πιςεύεται, δηλονότι ἐν αὐτῷ ὄντα κατὰ τὸν ἄῤῥητον λόγον οὕτω προῆλθεν εἰς γένεσιν. Εἰ δὲ ἐν ἐκείνῳ τὸ ὑλῶδες ἦν, πῶς ἄϋλος ὁ ἐν αὐτῷ τὴν ὕλην ἔχων; Ὡςαύτως δὲ καὶ τὰ ἄλλα πάντα δι' ὧν ἡ ὑλικὴ φύσις χαρακτηρίζεται. Εἰ ἐν τῷ θεῷ ἡ ποσότης, πῶς ἄποσος ὁ θεός; εἰ ἐν ἐκείνῳ τὸ σύνθετον, πῶς ἁπλοῦς καὶ ἀμερὴς καὶ ἀσύνθετος; ὥςε ἢ ὑλικὸν εἶναι κατ' ἀνάγκην αὐτὸν διὰ τὸ ἐκεῖθεν ὑποςῆναι τὴν ὕλην ὁ λόγος βιάζεται, ἢ εἰ τοῦτό τις φεύγοι, ἔξωθεν ἐπειςενεχθῆναι τὴν ὕλην αὐτῷ πρὸς τὴν κατασκευὴν τοῦ παντὸς ὑπολαμβάνειν ἐπάναγκες. Εἰ οὖν ἔξω τοῦ θεοῦ ἦν, ἄλλο τι παρὰ τὸν θεὸν πάντως ἦν συνεπινοούμενον κατὰ τὸν τῆς ἀϊδιότητος λόγον τῷ ἀγεννήτως ὄντι, ὥςε δύο ἄναρχα καὶ ἀγέννητα κατὰ ταὐτὸν ἀλλήλοις τῷ λόγῳ συγκαταλαμβάνεσθαι, τοῦ τεχνικῶς ἐνεργοῦντος, καὶ τοῦ δεχομένου τὴν ἐπιςημονικὴν ταύτην ἐνέργειαν. Καὶ εἴ τις ἐκ τῆς ἀνάγκης ταύτης ἀΐδιον ὑποτίθοιτο τῷ δημιουργῷ τῶν πάντων ὑποκεῖσθαι τὴν ὕλην, ὅσην ὁ Μανιχαῖος εὑρήσει τῶν ἰδίων δογμάτων [7]συνηγορίαν, ὃς τὴν ὑλικὴν αἰτίαν κατὰ τὸ ἀγέννητον ἀντιπαρεξάγει τῇ ἀγαθῇ φύσει; Ἀλλὰ μὴν καὶ ἐκ τοῦ θεοῦ τὰ πάντα, τῆς γραφῆς λεγούσης ἀκούοντες, πεπιςεύκαμεν, καὶ τὸ ὅπως ἦν ἐν τῷ θεῷ, τὸ ὑπὲρ τὸν ἡμέτερον λόγον, οὐκ ἀξιοῦμεν περιεργάζεσθαι, πάντα τῇ θείᾳ δυνάμει χωρητὰ πεπιςευκότες, καὶ τὸ μὴ ὂν ὑποςήσασθαι, καὶ τῷ ὄντι πρὸς τὸ δοκοῦν ἐπιβαλεῖν τὰς ποιότητας. Οὐκοῦν ἀκολούθως, ὡς ἀρκεῖν ἡγούμεθα τοῖς οὖσι πρὸς τὴν ἐκ

---

6) M. πεπίςευται. — 7) M. τὴν συνηγορίαν.

ihren übrigen Eigenschaften erkennen, von welchen man keine einzige an Gott wahrnehmen kann, auf welche Weise vermochte dann die Materie aus dem Immaterialen, aus dem von jeder Dimension Freien das Räumliche geboren werden? Glaubt man daß Dieses aus Jenem seine Existenz habe, so ist es in ihm vorhanden und auf geheimnißvolle Weise so in das Dasein getreten. War nun aber in Gott etwas Materiales, wie konnte er dann, dem die Materie innewohnte, selbst immaterial sein? Gerade so verhält es sich auch mit allen übrigen Kennzeichen der materialen Natur. Wenn in Gott die Quantität ist, wie kann dann Gott ohne Quantität sein? Wenn in ihm das Zusammengesetzte ist, wie kann er dann einfach und untheilbar und unzusammengesetzt sein? Daher muß er entweder, fordert die Logik, material sein, weil die Materie aus ihm ihre Existenz hat, oder, scheut man vor dieser Behauptung zurück, so muß man annehmen daß die Materie von ihm zur Erschaffung des Alls von Außerhalb herzugenommen worden sei. War sie nun außerhalb Gottes, so war sie etwas von Gott Verschiedenes welches den Begriff der Ewigkeit mit dem der ohne Anfang war theilt, so daß wir zwei Wesen ohne Anfang und Ursprung zugleich mit einander in diesen Begriff einzuschließen hätten, deren eins die künstlerische Thätigkeit ausübt, während das andere sie in sich aufnimmt. Sollte man nun deßhalb die Annahme stellen wollen daß die Materie dem Schöpfer aller Dinge von Ewigkeit her zur Hand gewesen sei, welche gewaltige Unterstützung für seine Glaubenssätze würde dann der Manichäer finden, welcher das materiale Princip als gleich ursprungslos der guten Natur entgegensetzt? Nun aber haben wir einerseits, indem wir auf die Worte der Schrift hörten, uns zu dem Glauben bekannt daß Alles aus Gott ist, wie wir andrerseits mit der Frage danach, wie es in Gott war, als einer über unsere Erkenntniß hinausgehenden, uns nicht beschäftigen wollen, weil wir der festen Ueberzeugung sind daß für die Macht Gottes Alles möglich ist, ebenso das was nicht ist in das Dasein zu rufen, als auch dem was ist nach Gutdünken die Qualitäten zu verleihen. Wie wir also die Kraft des göttlichen Willens für genügend halten um die Dinge aus dem Nichts in die Existenz zu rufen, mit der gleichen Nothwendigkeit werden wir auch dieselbe Kraft für fähig der Wie-

p. 107. τοῦ μὴ ὄντος ὑπόστασιν τὴν τοῦ θείου θελήματος δύναμιν, οὕτω καὶ τὴν ἀναστοιχείωσιν τῶν συνεστώτων εἰς τὴν αὐτὴν ἀνάγοντες δύναμιν εἰς οὐδὲν ἔξω τοῦ εἰκότος τὴν πίστιν παραληψόμεθα. Καίτοι γε δυνατὸν ἴσως ἦν εὑρεσιολογίᾳ τινὶ τοὺς περὶ τῆς ὕλης ἐρεσχελοῦντας πεῖσαι μὴ δοκεῖν ἐρήμην κατατρέχειν τοῦ λόγου.

Κεφ. κδ'. Οὐδὲ γὰρ ἔξω τῶν κατὰ τὸ ἀκόλουθον εὑρισκομένων ἡ περὶ τῆς ὕλης ὑπόληψις φαίνεται, ἡ ἐκ τοῦ νοητοῦ τε καὶ ἀΰλου ταύτην ὑποστῆναι πρεσβεύουσα· πᾶσαν γὰρ εὑρήσομεν ἐκ ποιοτήτων τινῶν συνεστῶσαν τὴν ὕλην, ὧν εἰ γυμνωθείη καθ' ἑαυτὴν, οὐδαμοῦ τῷ λόγῳ καταληφθήσεται. Ἀλλὰ μὴν ἕκαστον ποιότητος εἶδος λόγῳ τοῦ ὑποκειμένου χωρίζεται. Ὁ δὲ λόγος νοητή τίς ἐστι, καὶ οὐχὶ σωματικὴ θεωρία. Οἷον, προκειμένου ζώου τινὸς ἢ ξύλου τῇ θεωρίᾳ, ἤ τινος ἄλλου τῶν ὑλικὴν ἐχόντων τὴν σύστασιν, πολλὰ περὶ τὸ ὑποκείμενον τῇ κατ' ἐπίνοιαν διαιρέσει κατενοήσαμεν ὧν ἑκάστου πρὸς τὸ συνθεωρούμενον ἀμίκτως ὁ λόγος ἔχει. Ἕτερος γὰρ ὁ τοῦ χρώματος, καὶ ἕτερος τοῦ βάρους ὁ λόγος, ὁ τῆς ποσότητος πάλιν, καὶ ὁ τῆς ποιᾶς κατὰ τὴν ἁφὴν ἰδιότητος. Ἥ τε γὰρ μαλακότης καὶ τὸ δίπηχυ, καὶ τὰ λοιπὰ τῶν εἰρημένων, οὔτε ἀλλήλοις, οὔτε τῷ σώματι κατὰ τὸν λόγον συμφέρεται. Ἑκάστου γὰρ τούτων ἴδιος, καθ' ὅ ἐστιν, ὁ ἑρμηνευτικὸς ὅρος ἐπινοεῖται, οὐδὲν ἐπικοινωνῶν ἄλλῃ τινὶ τῶν περὶ τὸ ὑποκείμενον θεωρουμένων ποιότητι. Εἰ τοίνυν νοητὸν μὲν τὸ χρῶμα, νοητὴ δὲ καὶ ἡ ἀντιτυπία, καὶ ἡ ποσότης, καὶ τὰ λοιπὰ τῶν τοιούτων ἰδιωμάτων, ἕκαστον δὲ τούτων εἰ ὑφαιρεθείη τοῦ ὑποκειμένου, πᾶς ὁ τοῦ σώματος συνδιαλύεται λόγος, ἀκόλουθον ἂν εἴη, ὧν τὴν ἀπουσίαν τῆς τοῦ σώματος λύσεως αἰτίαν εὕρομεν, τούτων τὴν συνδρομὴν ἀποτίκτειν τὴν ὑλικὴν φύσιν ὑπολαμβάνειν.

derauflösung dessen was ist halten müssen und unserem Glauben damit Nichts was außerhalb der Grenzen der Wahrscheinlichkeit läge aufzunöthigen haben, wenn schon vielleicht die Möglichkeit vorhanden sein könnte durch eine Beweisführung die Spötter in der Frage über die Materie zu überzeugen daß sie nicht zu glauben brauchen es fehle an Vertheidigung wenn sie gegen unsere Lehre ihre Angriffe richten.

Kap. 24. Es erscheint die Annahme, daß die Materie aus dem Intellectualen und Immaterialen ihre Existenz gewonnen habe, keineswegs außerhalb der Grenzen einer logischen Begründung; denn wir werden finden daß die ganze Materie aus gewissen Qualitäten besteht, mit deren Hinwegnahme sie unserer geistigen Erkenntniß ganz entzogen wird. Nun aber vermag das Denken jegliche Qualität von dem Gegenstand welchem sie gehört zu trennen; Denken aber ist eine intellectuale, nicht körperliche, Fähigkeit Etwas zu betrachten. Zum Beispiel, wenn ein Thier oder ein Baum, oder sonst Etwas von materialer Beschaffenheit, zur Betrachtung vorliegt, so erkennen wir durch die Unterscheidung des Denkens an dem Gegenstande Vieles was jedes für sich seinem Begriffe nach außer Zusammenhang mit dem neben ihm beobachteten Anderen steht. Ein anderer Begriff ist der der Farbe, und ein anderer der der Schwere, wieder ein anderer der der Quantität, und ein anderer der der eigenthümlichen Beschaffenheit bei der Betastung. Denn Zartheit und eine Größe von zwei Ellen, so wie das übrige von mir Angeführte, steht weder unter sich noch zu dem Körper seinem Begriff nach in Zusammenhang. Einem Jeden von diesen, sofern es ist, wird seine besondere Definition und Grenze beigelegt, welche in keiner Gemeinschaft mit irgend einer anderen an dem Gegenstand wahrgenommenen Eigenschaft stehen. Sind nun die Farbe, die Festigkeit, die Quantität, und die anderen derartigen Eigenschaften etwas Intellectuales, und würde, wenn man diese alle der Reihe nach von dem Gegenstande ablösen wollte, damit zugleich auch der Begriff des Gegenstandes aufgelöst werden, so würde daraus die Annahme sich folgern lassen, daß die Verbindung der Dinge, in deren Nichtvorhandensein wir die Ursache der Auflösung des Körpers gefunden hatten, die materiale Natur

*Ὡς γὰρ οὐκ ἔςι σῶμα ᾧ τὸ χρῶμα καὶ τὸ σχῆμα καὶ ἡ ἀντι-
p. 108. τυπία καὶ ἡ διάςασις καὶ τὸ βάρος καὶ τὰ λοιπὰ τῶν ἰδιω-
μάτων οὐ πρόσεςιν, ἕκαςον δὲ τούτων σῶμα οὐκ ἔςιν, ἀλλ'
ἕτερόν τι παρὰ τὸ σῶμα κατὰ τὸ ἰδιάζον εὑρίσκεται, οὕτω
κατὰ τὸ ἀντίςροφον, ὅπου δ' ἂν συνδράμῃ τὰ εἰρημένα, τὴν
σωματικὴν ὑπόςασιν ἀπεργάζεται. Ἀλλὰ μὴν εἰ νοητὴ τῶν
ἰδιωμάτων τούτων ἡ κατανόησις, νοητὸν δὲ τῇ φύσει τὸ
θεῖον, οὐδὲν ἀπεικὸς ἐκ τῆς ἀσωμάτου φύσεως τὰς νοε-
ρὰς ταύτας ἀφορμὰς πρὸς τὴν τῶν σωμάτων γένεσιν ὑπο-
ςῆναι, τῆς μὲν νοητῆς φύσεως τὰς νοητὰς ὑφιςώσης δυνά-
μεις, τῆς δὲ τούτων πρὸς ἄλληλα συνδρομῆς τὴν ὑλώδη
φύσιν παραγούσης εἰς γένεσιν. Ἀλλὰ ταῦτα μὲν κατὰ τὸ
πάρεργον ἡμῖν παρεξητάσθω. Ἡμῖν δὲ πάλιν ἐπὶ τὴν
πίςιν ἐπανακτέον τὸν λόγον δι' ἧς ἔκ τε τοῦ μὴ ὄντος
ὑποςῆναι τὸ πᾶν ἐδεξάμεθα, καὶ πάλιν εἰς ἄλλην τινὰ
μεταςοιχειοῦσθαι κατάςασιν παρὰ τῆς γραφῆς διδαχθέν-
τες οὐκ ἀμφιβάλλομεν.*

*Κεφ. κε'. Ἀλλ' ἴσως τις πρὸς τὰ διαλυθέντα σώ-
ματα βλέπων, καὶ πρὸς τὸ μέτρον τῆς ἰδίας δυνάμεως
τὸ θεῖον κρίνων, τὸν τῆς ἀναςάσεως λόγον ἀδύνατον εἶναί
φησι, καὶ ςήσεσθαι τὰ νῦν κινούμενα, καὶ ἀναςήσεσθαι
τὰ νῦν μὴ κινούμενα μὴ ἐνδέχεσθαι λέγων. Ἀλλ' ὁ τοι-
οῦτος πρῶτον μὲν καὶ μέγιςον ποιείσθω τεκμήριον τῆς
κατὰ τὴν ἀνάςασιν ἀληθείας τὸ τοῦ κηρύγματος αὐτῆς
ἀξιόπιςον. Ἡ δὲ τῶν λεγομένων πίςις ἐκ τῆς τῶν λοι-
πῶν τῶν προῤῥηθέντων ἐκβάσεως τὸ ἀσφαλὲς ἔχει. Ἐπει-
δὴ γὰρ πολλούς τε καὶ παντοδαποὺς παρέθετο λόγους ἡ
θεία γραφὴ, δυνατόν ἐςιν ὅπως ἂν ἔχῃ ψεύδους ἢ ἀλη-
θείας τὰ λοιπὰ τῶν εἰρημένων θεασαμένους, δι' ἐκείνων
καὶ τὸ περὶ τῆς ἀναςάσεως δόγμα κατανοῆσαι. Εἰ μὲν
γὰρ ἐν τοῖς ἄλλοις ψευδεῖς οἱ λόγοι, καὶ διεσφαλμένοι
τῆς ἀληθείας ἐλέγχονται, οὐδὲ τοῦτο πάντως ἐκτὸς ψεύ-
δους ἐςίν· εἰ δὲ τὰ ἄλλα πάντα μαρτυροῦσαν ἔχει τῇ ἀλη-
p. 109. θείᾳ τὴν πεῖραν, ἀκόλουθον ἂν εἴη δι' ἐκείνων καὶ τὴν
περὶ τῆς ἀναςάσεως πρόῤῥησιν ἀληθῆ νομίσαι. Οὐκοῦν*

erzeuge. Denn wie das kein Körper ist welchem die Farbe, die Ge-
stalt, die Festigkeit, die Dimension, die Schwere und die übrigen
Eigenschaften abgehen, und doch jedes einzelne dieser Dinge kein
Körper ist, sondern als etwas von diesem Verschiedenes je nach sei-
ner eigenthümlichen Art erfunden wird, so bringen auch im Gegen-
theile die genannten Dinge wo sie sich vereinigen die körperliche
Existenz hervor. Wenn nun aber diese Eigenschaften sich nur geistig
wahrnehmen lassen, und Gott seiner Natur nach geistig ist, so ist es
nicht unwahrscheinlich daß diese geistigen Anfänge und Mittel, die
Körper entstehen zu lassen, auf die unkörperliche Natur zurückzufüh-
ren sind, so daß die intellectuale Natur die intellectualen Kräfte her-
giebt, und deren Verbindung untereinander nun die materiale Na-
tur in das Dasein führt. Doch dies nebenbei. Führen wir nun-
mehr die Untersuchung wieder auf die ausgesprochene Ueberzeugung
zurück, nach welcher wir angenommen haben daß das All aus Nichts
entstanden sei, und keinen Zweifel hegen, wenn uns die Schrift
lehrt daß dieses All wiederum in einen anderen Zustand verändert
und umgesetzt werden solle.

Kap. 25. Aber vielleicht erklärt Jemand im Hinblick auf die
Vernichtung der Körper, und indem er Gott nach dem Maßstabe
seiner eigenen Kraft beurtheilt, die Auferstehung für ein Ding der
Unmöglichkeit, und leugnet daß das was jetzt in Bewegung ist einst
zum Stillstand, und das was jetzt ohne Bewegung ist zur Aufer-
stehung kommen könne. Wer dies thut der muß als erstes und
größtes Zeugniß für die Wahrheit der Auferstehung die Glaubwür-
digkeit ihrer Verkündigung gelten lassen, welche sich auf das Ein-
treffen der übrigen Prophezeihungen gründet. Denn da die göttliche
Schrift viele und allerlei Aussprüche hingestellt hat, so ist es mög-
lich, wenn wir unsere Blicke darauf gerichtet halten, in wiefern diese
anderen Aussprüche der Lüge oder der Wahrheit anheimfallen, durch
jene auch ein Urtheil über die Lehre von der Auferstehung zu gewin-
nen. Läßt sich nämlich im Uebrigen nachweisen daß ihre Worte un-
wahr und trügerisch sind, so gehört auch diese Lehre in das Reich
der Lüge. Hat dagegen das Andere den wirklichen Erfolg zum
Zeugniß seiner Wahrheit, so folgt wohl mit Nothwendigkeit daß
man auch die Lehre von der Auferstehung für wahr halten muß.

ἐπιμνησθῶμεν ἑνὸς ἢ δυοῖν τῶν προκατηγγελμένων, καὶ ἀντιπαραθῶμεν τοῖς προῤῥηθεῖσιν τὴν ἔκβασιν, ὥςε γνῶναι δι' αὐτῶν εἰ πρὸς τὴν ἀλήθειαν ὁ λόγος βλέπει. Τίς οὐκ οἶδεν ὅπως ἤνθει κατὰ τὸ ἀρχαῖον ὁ Ἰσραηλίτης λαὸς, πάσαις ταῖς κατὰ τὴν οἰκουμένην δυναςείαις ἀντεγειρόμενος; οἷα ἦν τὰ βασίλεια κατὰ τὴν τῶν Ἱεροσολύμων πόλιν; οἷα τὰ τείχη, οἱ πύργοι, ἡ τοῦ ἱεροῦ μεγαλουρ-
Marc. 13,1 γία; ἅπερ καὶ τοῖς μαθηταῖς τοῦ κυρίου ἄξια θαύματος ἐνομίσθη, καὶ κατανοεῖν ἀξιοῦσι τὸν κύριον, θαυμαςικῶς περὶ τὰ φαινόμενα διατεθέντες, ὡς ἡ τοῦ εὐαγγελίου ἱςορία δηλοῖ, λέγοντες πρὸς αὐτόν, Ποταπὰ τὰ ἔργα καὶ ποταπαὶ αἱ οἰκοδομαί; Ὁ δὲ τὴν ἐσομένην περὶ τὸν τόπον ἐρήμωσιν καὶ τὸν ἀφανισμὸν τοῦ κάλλους ἐκείνου πρὸς τοὺς τὸ παρὸν θαυμάζοντας ὑποδείκνυσι, λέγων μηδὲν τῶν φαινομένων μετ' ὀλίγον ὑπολειφθήσεσθαι. Ἀλλὰ καὶ παρὰ τὸν τοῦ πάθους καιρὸν αἱ μὲν γυναῖκες ἐπηκολούθουν θρηνοῦσαι τὴν ἄδικον ἐπ' αὐτῷ ψῆφον· οὔπω
Luc. 23,27. γὰρ εἰς τὴν τῶν γινομένων οἰκονομίαν ἀπέβλεπον. Ὁ δὲ συμβουλεύει τὰ μὲν περὶ αὐτὸν γινόμενα σιωπᾷν, μηδὲ γὰρ εἶναι δακρύων ἄξια· ὑπερθέσθαι δὲ τὸν ὀδυρμὸν καὶ τὸν θρῆνον εἰς τὸν ἀληθῆ τῶν δακρύων καιρὸν, ὅταν περισχεθῇ τοῖς πολιορκοῦσιν ἡ πόλις, καὶ εἰς τοσοῦτον συνοχῆς ἔλθῃ τὰ πάθη, ὡς μακαριςὸν ἡγεῖσθαι τὸν μὴ γεννώμενον. Ἐν οἷς καὶ τὸ περὶ τὴν τεκνοφάγον προεμήνυσεν ἄγος, εἰπὼν μακαρισθήσεσθαι κατὰ τὰς ἡμέρας ἐκείνας τὴν γαςέρα τὴν ἄγονον. Ποῦ τοίνυν ἐκεῖνα τὰ βασίλεια; ποῦ τὸ ἱερόν; ποῦ τὰ τείχη; ποῦ τῶν πύργων αἱ προβολαί; ποῦ δὲ ἡ τῶν Ἰσραηλιτῶν δυναςεία; οὐχ οἱ μὲν κατὰ πᾶσαν μικροῦ δεῖν τὴν οἰκουμένην ἄλλος ἀλλαχῆ διεσπάρησαν; τῇ δὲ τούτων καταςροφῇ συνερειπώθη καὶ τὰ βασίλεια; Δοκεῖ γάρ μοι ταῦτα καὶ τὰ τοιαῦτα προμη-
p. 110. νῦσαι ὁ κύριος οὐ τῶν πραγμάτων χάριν (τί γὰρ τοσοῦτον ἦν τοῖς ἀκούουσι κέρδος τῶν πάντως ἐκβησομένων ἡ πρόῤῥησις; ἔγνωσαν γὰρ ἂν τῇ πείρᾳ, καὶ μὴ προμα-

Erinnern wir uns also eines oder zweier Vorherverkündigungen, und stellen wir ihnen den Ausgang der Ereignisse gegenüber, um vermittelst ihrer Kenntniß zu erlangen ob das Wort ein wahrheitsgemäßes sei. Wer weiß nicht in welcher Blüthe das Israelitische Volk im Alterthum stand, als es sich gegen alle Herrschaften auf der Erde erhob? welcher Art die Königsstadt Jerusalem war, was für Mauern, was für Thürme sie hatte? was für ein prächtiges Bauwerk der Tempel war? Dinge welche selbst den Jüngern des Herrn staunenswerth erschienen, da sie in Bewunderung über das was sie sahen versenkt auch die Blicke des Herrn auf das Schauspiel lenken wollten mit den Worten, wie uns die Bibel berichtet, Was sind das für Werke, was für Baue! Er aber verkündete den damaligen Bewunderern die einstige Verödung des Orts, und die Vernichtung jener Schönheit, und sagte daß Nichts von dem was man erblickte nach Kurzem noch übrig sein werde. So folgten ihm zur Zeit seines Leidens auch die Weiber und bejammerten die Ungerechtigkeit des ihn verurtheilenden Richterspruchs, weil sie noch nicht den göttlichen Plan in den Ereignissen zu erkennen verstanden. Er aber heißt sie im Betreff seines Schicksals schweigen, denn es seien noch nicht der Thränen werth; vielmehr räth er ihnen ihr Jammern und Wehklagen bis auf die wirkliche Zeit der Thränen zu versparen, wo die Stadt von den Belagerern umgeben sein, und das Unglück so von allen Seiten zusammenkommen werde, daß man den der nicht geboren für den glücklichsten halten müsse. Bei dieser Gelegenheit prophezeiht er auch von dem Greuel der Mutter welche sich mit dem Fleische ihres Kindes sättigt, indem er sagt daß in jenen Tagen der unfruchtbare Leib glücklich gepriesen werden werde. Wo ist nun jene Königsburg? wo der Tempel? wo die Mauern? wo die Vorsprünge der Thürme? wo die Herrschaft der Israeliten? Sind sie nicht beinahe über die ganze Erde dahin und dorthin zerstreuet worden, und ist nicht mit dem Hereinbrechen dieses Unglücks auch die Burg mit zerstört worden? Ich glaube, der Herr prophezeiht Dieses und Aehnliches nicht der Dinge selbst halber (denn was wäre die Vorherverkündigung der Dinge welche ja doch auf alle Fälle eintreffen müssen für die Zuhörer ein so großer Gewinn? sie würden, auch nicht vorher über

θόντες τὸ γενησόμενον), ἀλλ' ὥςε διὰ τούτων αὐτοῖς καὶ τὴν περὶ τῶν μειζόνων πίςιν εἰς ἀκολουθίαν ἐλθεῖν. Ἡ γὰρ ἐν τούτοις διὰ τῶν ἔργων μαρτυρία, καὶ τῆς ἐν ἐκείνοις ἀληθείας ἐςὶν ἀπόδειξις. Ὥςπερ γὰρ εἴ τινος γεωργοῦ τὴν τῶν σπερμάτων ὑφηγουμένου δύναμιν ἀπιςεῖν συμβῇ τὸν τῆς γεωργίας ἀπείρατον, [1] αὐτάρκες ἂν εἰς ἀπόδειξιν τῆς ἀληθείας ἦν τῷ γεηπόνῳ ἐν ἑνὶ σπέρματι τῶν ἐν τῷ μεδίμνῳ κειμένων δείξαντι τὴν δύναμιν, καὶ περὶ τῶν λοιπῶν ἐγγυᾶσθαι (ὁ γὰρ ἰδὼν τὸν ἕνα πυρὸν, ἢ τὴν μίαν κριθὴν, ἢ ὅτιπερ ἂν ἐν τῷ πληρώματι τοῦ μεδίμνου τύχῃ, μετὰ τὸ ἐγκαταβληθῆναι τῇ βώλῳ ςάχυν γενόμενον, οὐκέτι ἂν διὰ τοῦ ἑνὸς οὐδὲ περὶ τῶν λοιπῶν ἀπιςήσειεν), οὕτως ἱκανή μοι δοκεῖ πρὸς μαρτυρίαν εἶναι τοῦ κατὰ τὴν ἀνάςασιν μυςηρίου ἡ τοῖς λοιποῖς τῶν εἰρημένων συνομολογουμένη ἀλήθεια, μᾶλλον δὲ καὶ αὐτῆς τῆς ἀναςάσεως ἡ πεῖρα, ἣν οὐ διὰ λόγων τοσοῦτον ὅσον δι' αὐτῶν τῶν ἔργων ἐδιδάχθημεν. Ἐπειδὴ γὰρ μέγα καὶ ὑπὲρ πίςιν ἦν τὸ κατὰ τὴν ἀνάςασιν θαῦμα, διὰ τῶν κατωτέρων τῆς θαυματοποιΐας ἀρξάμενος ἠρέμα πως τὴν πίςιν ἡμῶν προςεθίζει τοῖς μείζοσι. Καθάπερ γάρ τις μήτηρ καταλλήλως τιθηνουμένη τὸ νήπιον, τέως μὲν ἁπαλῷ τε καὶ ὑγρῷ τῷ ςόματι τὸ γάλα διὰ τῆς θηλῆς ἐντίθησιν, ὀδοντοφυοῦντι δὲ ἤδη καὶ αὐξανομένῳ προσάγει τὸν ἄρτον, οὐ τραχύν τε καὶ ἀκατέργαςον, ὡς ἂν μὴ περιξανθείη τῷ σκληρῷ τῆς τροφῆς τὸ τῶν οὔλων ἁπαλόν τε καὶ ἀγύμναςον, ἀλλὰ τοῖς ἰδίοις ὀδοῦσι καταλεάνασα σύμμετρόν τε καὶ κατάλληλον τῇ δυνάμει τοῦ προςφερομένου ἐποίησεν, εἶτα κατὰ προςθήκην τῆς δυνάμεως ἐπιδιδούσης προςεθισθὲν τοῖς ἁπαλοτέροις ἠρέμα τὸ νήπιον προςάγει τῇ ςερεωτέρᾳ τροφῇ, — οὕτω τὴν ἀνθρωπίνην μικροψυχίαν ὁ κύριος οἷόν τι νήπιον ἀτελὲς διὰ τῶν θαυμάτων τρέφων καὶ τιθηνούμενος πρῶτον μὲν ἐν ἀπεγνωσμένῃ νόσῳ τὴν τῆς ἀναςάσεως προοιμιάζεται δύναμιν, ὃ μέγα μὲν ἦν τῷ κατορθώματι, οὐ μὴν τοιοῦτον οἷον ἀπιςεῖσθαι

1) M. αὐτάρκης.

die Zukunft belehrt, doch durch die Erfahrung zur Kenntniß gelangt sein), sondern damit man dadurch auf dem Wege des logischen Schlusses zu einem zuversichtlichen Vertrauen hinsichtlich der größeren Dinge gelangen möchte. Denn das Zeugniß der eintreffenden Wirklichkeit dem einen Theil ist auch ein Beweis der Wahrhaftigkeit für den anderen. Denn gleichwie, wenn es vorkommt daß ein des Landbaues Unkundiger bei der Erzählung eines Landmanns von der Kraft des Samens sich ungläubig verhält, es zum Beweis der Wahrheit für den Landmann ausreichend sein würde wenn er an einem Korn von der ganzen Scheffelzahl die Kraft nachweist, und im Betreff der übrigen das Gleiche versichert (denn wer das eine Weizen- oder Gerstenkorn, oder was sonst das Scheffelmaß füllt, nach seinem Einsenken in die Erdscholle zu einer Aehre entwickelt sieht, der dürfte durch das eine Korn belehrt betreffs der übrigen kaum noch ein Mißtrauen hegen), ebenso scheint mir zum Zeugniß für das Geheimniß der Auferstehung die allgemein zugestandene thatsächliche Bewährung der anderen Aussprüche genügend zu sein, noch mehr aber das Beispiel der Auferstehung selbst, von welcher uns nicht so sehr Worte als Werke überzeugt haben. Denn da das Auferstehungswunder groß und schwer zu glauben war, so macht der Herr den Anfang mit geringeren Wunderwerken, und gewöhnt nach und nach unseren Glauben an die größeren. Gleichwie eine ihr Kind auf richtige Weise nährende Mutter, so lange dessen Mund zart und weich ist, die Milch durch die Brust reicht, wenn es aber Zähne bekommt und größer wird, ihm Brot giebt, nicht hartes und unverdauliches, damit nicht durch die Rauhigkeit der Nahrung das weiche und ungeübte Zahnfleisch zerrissen werde, sondern welches sie mit ihren eigenen Zähnen zermalmt und so der Kraft dessen welcher es genießen soll angemessen und passend macht, später aber im Verhältniß zur wachsenden Kraft das an zartere Speisen gewöhnte Kind nach und nach an festere Nahrung gewöhnt, — ebenso nährt und pflegt der Herr durch die Wunder die menschliche Kleinmüthigkeit wie ein unentwickeltes Kind, indem er zuerst bei Gelegenheit einer verzweifelten Krankheit auf die Macht der Auferstehung gleichsam durch ein Vorspiel hinweist, welches immerhin an sich schon ein großes Werk war, wenn schon nicht ein solches dessen Erzählung hätte Unglauben

p. 111. λεγόμενον. Ἐπιτιμήσας γὰρ τῷ πυρετῷ σφοδρῶς τὴν
Luc. 4, 38 sqq. πενθερὰν τοῦ Σίμωνος καταφλέγοντι τοσαύτην ἐποίησε τοῦ κακοῦ τὴν μετάςασιν, ὡς πρὸς τὸ διακονεῖν τοῖς παροῦσιν ἐνισχύσαι τὴν ἤδη προςδοκωμένην τεθνήξεσθαι.
Joann. 4, 47 sqq. Εἶτα μικρόν τι τῇ δυνάμει προςτίθησι, καὶ τοῦ βασιλικοῦ τὸν υἱὸν ἐν ὁμολογουμένῳ κινδύνῳ κείμενον (οὕτω γάρ φησιν ἡ ἱςορία, ὅτι ἔμελλε τελευτᾶν, τοῦ πατρὸς βοῶντος, Κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον) ἐνεργεῖ πάλιν τοῦ τεθνήξεσθαι πεπιςευμένου τὴν ἀνάςασιν, ἐν μείζονι τῇ δυνάμει τὸ θαῦμα κατεργασάμενος, τῷ μηδὲ πλησιάσαι τῷ τόπῳ, ἀλλὰ πόῤῥωθεν τῇ τοῦ προςάγματος ἰσχύϊ τὴν ζωὴν ἀποςεῖλαι. Πάλιν δι᾽ ἀκολουθίας
Marc. 5, 22 sqq. τοῖς ὑψηλοτέροις ἐπαναβαίνει θαύμασι. Πρὸς γὰρ τὴν παῖδα τοῦ ἀρχισυναγώγου ὁρμήσας ἑκὼν ἔδωκε τῇ ὁδοιπορίᾳ σχολὴν, τὴν ἴασιν τῆς αἱμοῤῥοΐας δημοσιεύων λαθοῦσαν, ὡς ἂν ἐν τῷ χρόνῳ τούτῳ κατακρατήσειε τῆς νοσούσης ὁ θάνατος. Ἄρτι τοίνυν τῆς ψυχῆς χωρισθείσης τοῦ σώματος, καὶ θορυβουμένων ἐν τῇ γοερᾷ κραυγῇ τῶν ἐπικωκυόντων τῷ πάθει, καθάπερ ἐξ ὕπνου τῷ προςτακτικῷ λόγῳ διανίςησι πάλιν πρὸς την ζωὴν τὸ κοράσιον, ὁδῷ τινι καὶ ἀκολουθίᾳ πρὸς τὸ μεῖζον ἀναλαμβάνων τὴν ἀνθρωπίνην ἀσθένειαν. Εἶτ᾽ ἐπὶ τούτοις ὑπερβαίνει τῷ θαύματι, καὶ δι᾽ ὑψηλοτέρας δυνάμεως ὁδοποιεῖ τοῖς ἀνθρώποις τὴν περὶ τῆς ἀναςάσεως πίςιν.
Luc. 7, 11 sqq. Ναΐν τινὰ πόλιν κατὰ τὴν Ἰουδαίαν ἱςορεῖ ἡ γραφή. Παῖς ἦν ἐν ταύτῃ μονογενὴς χήρᾳ τινὶ, οὐκέτι τοιοῦτος παῖς οἷος ἐν μειρακίοις εἶναι, ἀλλ᾽ ἤδη ἐκ παίδων εἰς ἄνδρας τελῶν· νεανίαν αὐτὸν ὀνομάζει ὁ λόγος. Πολλὰ δι᾽ ὀλίγων διηγεῖται ἡ ἱςορία· θρῆνος ἄντικρύς ἐςι τὸ διήγημα. Χήρα, φησὶν, ἦν τοῦ τεθνηκότος ἡ μήτηρ. Ὁρᾷς τὸ βάρος τῆς συμφορᾶς, πῶς ἐν ὀλίγῳ τὸ πάθος ὁ λόγος ἐξετραγῴδησε; Τί γάρ ἐςι τὸ λεγόμενον; ὅτι οὐκ ἦν αὐτῇ παιδοποιΐας ἐλπὶς, τὴν ἐπὶ τῷ ἐκλείποντι συμφορὰν θεραπεύουσα· χήρα γὰρ [2] ἦν ἡ γυνή. Οὐκ εἶχε πρὸς ἕτερον

2) Bei M. fehlt ἦν.

erwecken können. Er sprach nämlich dem heftigen Fieber welches die Schwiegermutter des Simon verzehrte zu und bewirkte dadurch eine so gewaltige Veränderung daß die von welcher man soeben noch glaubte daß sie sterben würde stark genug war die Anwesenden zu bedienen. Später legt er seiner Kraft etwas mehr zu, und bewirkt, da der Sohn des königlichen Dieners in anerkannt größter Gefahr darniederlag (denn so erzählt die Geschichte, daß er dem Tode nahe war, da der Vater schrie, Steige herab, ehe mein Kind stirbt!), daß der bereits Todtgeglaubte wieder aufstand, welches Wunder darin einen größeren Kraftaufwand zeigt daß er dem Orte gar nicht nahe gekommen war, sondern aus der Ferne durch die Macht seines Gebotes dem Kranken das Leben sendete. Wiederum steigt er in folgerichtigem Stufengang zu den höheren Wunderwerken auf. Denn als er zur Tochter des Obersten der Schule gieng, richtete er absichtlich seinen Weg langsamer ein, und ließ indessen die unvermerkte Heilung des Blutflusses zu öffentlicher Kenntniß gelangen, damit während dieser Zeit der Tod über die Kranke seine Macht zur Geltung brächte. Da nun die Seele sich vom Körper getrennt hatte, und sie in Wehruf und Klage das Unglück bejammerten, da weckt er durch sein gebietendes Wort das Mägdlein wie aus einem Schlafe zu abermaligem Leben, und läßt so in einem gewissen folgerechten Aufsteigen zn Größerem die menschliche Schwachheit sich wieder erholen. Auch über diese Wunder geht er später hinaus, und bahnt durch ein noch erhabeneres Zeichen seiner Macht dem Glauben der Menschen an die Auferstehung den Weg. Die Schrift erzählt von einer Stadt Nain in Judäa. Dort hatte eine Wittwe einen einzigen Sohn, nicht mehr so jung daß er unter die Knaben zu rechnen war, sondern welcher bereits in die Mannesjahre übertrat; er wird von der Schrift Jüngling genannt. Die Geschichte erzählt in kurzen Worten Viel; die Erzählung ist geradezu ein Klagelied; des Todten Mutter, sagt sie, war eine Wittwe. Siehst du die Schwere des Unglücks, und wie die Schrift in wenigen Worten uns das Trauerspiel des Schmerzes vorführt? Denn was liegt in ihren Worten Anderes als daß sie keine Hoffnung mehr hatte Kinder zu bekommen, welche sie über diesen Todesfall hätten trösten können; denn das Weib war eine Wittwe. Sie konnte ihre Augen auf

p. 112. ἀντὶ τοῦ κατοιχομένου βλέπειν· μονογενὴς γὰρ ὁ τόκος. Ὅσον δὲ τὸ ἐπὶ τούτῳ κακὸν παντὶ ῥᾴδιον συνιδεῖν τῷ μὴ ἀπεξενωμένῳ τῆς φύσεως. Μόνον ἐν ὠδῖσιν ἐκεῖνον ἐγνώρισε, μόνον ταῖς θηλαῖς ἐπιθηνήσατο, μόνος αὐτῇ φαιδρὰν ἐποίει τὴν τράπεζαν, μόνος ἦν τῆς κατὰ τὸν οἶκον φαιδρότητος ἡ ὑπόθεσις. Παίζων, σπουδάζων, ἀσκούμενος, φαιδρυνόμενος, ἐν προόδοις, ἐν παλαίστραις, ἐν συλλόγοις νεότητος, πᾶν ὅτι μητρὸς ὀφθαλμοῖν γλυκύ τε καὶ τίμιον μόνος ἐκεῖνος ἦν, ἤδη τοῦ γάμου τὴν ὥραν ἄγων, ὁ τοῦ γένους ὅρπηξ, ὁ τῆς διαδοχῆς κλάδος, ἡ βακτηρία τοῦ γήρους. Ἀλλὰ καὶ ἡ τῆς ἡλικίας προσθήκη ἄλλος θρῆνός [3] ἐστιν. Ὁ γὰρ νεανίαν εἰπὼν τὸ ἄνθος εἶπε τῆς μαρανθείσης ὥρας, ἄρτι τοῖς ἰούλοις ὑποχλοάζοντα, οὔπω τοῦ πώγωνος διὰ βάθους ὑποπιμπλάμενον, ἔτι τῷ κάλλει τῶν παρειῶν ὑποστίλβοντα. Τί τοίνυν πάσχειν εἰκὸς ἦν ἐπ᾽ αὐτῷ τὴν μητέρα; οἱονεὶ πυρὶ τοῖς σπλάγχνοις ἐγκαταφλέγεσθαι. Ὡς πικρῶς ἐπ᾽ αὐτῷ παρατείνειν τὸν θρῆνον, [4] περιτηκομένην προκειμένῳ τῷ πτώματι, ὡς μὴ ἂν ἐπισπεῦσαι τῷ νεκρῷ τὴν κηδείαν, ἀλλ᾽ ἐμφορεῖσθαι τοῦ πάθους, ἐπὶ πλεῖστον αὐτῷ τοὺς ὀδυρμοὺς παρατείνουσαν.
Luc. 7, 13 sqq. Οὐδὲ τοῦτο παρῆκεν ὁ λόγος· Ἰδὼν γὰρ αὐτὴν ὁ Ἰησοῦς, φησὶν, ἐσπλαγχνίσθη, καὶ προσελθὼν ἥψατο τῆς σοροῦ, οἱ δὲ βαστάσαντες ἔστησαν. Καὶ λέγει τῷ νεκρῷ, [5] Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι· καὶ παρέδωκεν αὐτὸν [6] τῇ μητρὶ ζῶντα. Ἤδη τοίνυν οὐκ ἐν ὀλίγῳ διαστήματι τοῦ νεκροῦ γεγενημένου, καὶ ὅσον οὐδέπω ἐναποτιθέντος τῷ τάφῳ, γίνεται [7] παρὰ τοῦ κυρίου τὸ μὲν θαῦμα μεῖζον, τὸ δὲ πρόσταγμα ἴσον. Ἔτι πρὸς τὸ ὑψηλότερον ἡ θαυματοποιΐα προέρχεται, ὡς ἂν μᾶλλον προσεγγίσειε τὰ φαινόμενα τῷ ἀπιστουμένῳ περὶ τὴν ἀνάστασιν θαύματι. Ἠσθένει τις

3) M. ἦν. — 4) M. περιπλεκομένην. — 5) M. νεανία. — 6) M. τῇ μητρὶ αὐτοῦ ζῶντα. — 7) M. παρ᾽ αὐτοῦ.

keinen anderen Sohn an Stelle des dahingeschiedenen richten; es war ihr Einziggeborener gewesen. Was hierin aber für ein Unglück liegt, das sieht ein Jeder leicht ein welcher den Gefühlen der Natur sich nicht entfremdet hat. Ihn allein hatten ihre Wehen gekannt, ihn allein hatte sie an ihren Brüsten gesäugt, er allein machte ihr die Mahlzeit heiter, er allein war der Quell aller Fröhlichkeit im Hause. Mochte er mit Kurzweil, mochte er mit ernsten Gegenständen beschäftigt sein, mochte er den Körper üben oder heiterer Lust ergeben sein, mochte er an öffentlichen Plätzen, in den Ringschulen, in jugendlichen Gesellschaften sein, Alles was süß und werth für die Augen der Mutter war, er war es allein, er, der bereits das Alter hatte ein eheliches Band zu knüpfen, der Sproß des Geschlechtes, der Zweig auf dem die Nachfolge ruhte, der stützende Stab des Alters. Aber auch darin daß die Schrift das Alter mithinzufügt liegt ein Klagelied. Wenn sie von einem Jünglinge spricht, so spricht sie von der Blume der nun gewelkten Jugendschöne, von Einem dem noch eben der Flaum im Antlitz gilbt, dessen Bart noch nicht die tiefere Fülle erreicht hat, und der noch in der Schönheit seiner Wangen glänzt. Was mußte also die Mutter bei seinem Verluste empfinden? wie durch ein Feuer mußten ihre Eingeweide verzehrt werden. Wie bitter mußte sie um ihn ihre Wehklage hindehnen, aufgelöst in Schmerz über den vor ihr liegenden Todten, so daß sie nicht mit der Bestattung eilte, sondern von ihrem Gefühle fortgerissen ihrem Jammer so lange wie möglich freien Lauf ließ. Auch dies hat die Schrift nicht übergangen. Denn, sagt sie, als Jesus sie sah, jammerte ihn derselbigen, und er trat heran und rührte an den Sarg, die Träger aber standen still. Und er spricht zu dem Todten, Jüngling, ich sage dir, stehe auf! und er übergab ihn seiner Mutter lebendig. Nachdem also bereits seit geraumer Zeit der Tod eingetreten, und nur daß eben der Leichnam noch nicht in das Grab gesenkt worden war, wird von dem Herrn das größere Wunder bewirkt, und sein Gebot ist dennoch das gleiche. Allein das Wirken seiner Wunder schreitet zu noch Höherem vorwärts, damit die sich darbietenden Erscheinungen dem mit Mißtrauen und Unglauben aufgenommenen Auferstehungswunder recht nahe kämen.

τῶν συνήθων τῷ κυρίῳ καὶ φίλων, Λάζαρος ὄνομα τῷ
ἀσθενοῦντι. Καὶ παραιτεῖται ὁ κύριος τὴν τοῦ φίλου
p. 113. ἐπίσκεψιν, πόῤῥω τοῦ νοσοῦντος γενόμενος, ὡς ἂν εὕροι
χώραν καὶ δύναμιν ἐν τῇ τῆς ζωῆς ἀπουσίᾳ τὸ ἴδιον ἐρ-
γάζεσθαι διὰ τῆς νόσου ὁ θάνατος. Μηνύει τοῖς μαθη-
ταῖς ὁ κύριος κατὰ τὴν Γαλιλαίαν τὸ περὶ τὸν Λάζαρον
πάθος, ἀλλὰ καὶ τὴν πρὸς αὐτὸν ὁρμὴν, ἐφ' ᾧ τε διανα-
ςῆσαι τὸν κείμενον. Περιδεεῖς δὲ ἦσαν ἐκεῖνοι διὰ τὴν
τῶν Ἰουδαίων ὠμότητα, χαλεπὸν καὶ κινδυνῶδες ποιού-
μενοι τὸ πάλιν ἐπὶ τῆς Ἰουδαίας ἐν μέσῳ τῶν φονώντων
γενέσθαι. Καὶ διὰ τοῦτο μέλλοντες καὶ ἀναβαλλόμενοι
χρόνῳ ποιοῦνται τὴν ἀπὸ τῆς Γαλιλαίας ἐπάνοδον. [8] Κα-
τεκράτει γὰρ ἡ ἐξουσία, καὶ ἤγοντο παρὰ τοῦ κυρίου οἱ
μαθηταὶ, οἱονεὶ τὰ προτέλεια τῆς καθολικῆς ἀναςάσεως
ἐν Βηθανίᾳ μυηθησόμενοι. Τέσσαρες ἦσαν ἤδη μετὰ τὸ
πάθος αἱ ἡμέραι. Πάντα πεπλήρωτο τῷ κατοιχομένῳ
τὰ νομιζόμενα· τάφῳ κατεκρύβη τὸ σῶμα. Ἐξῳδήκει κα-
τὰ τὸ εἰκὸς ἤδη, καὶ πρὸς διαφθορὰν διελύετο, μυδῶν-
τος ἐν τῷ εὐρῶτι τῆς γῆς, καὶ διαπίπτοντος ὑπ' ἀνάγκης
τοῦ σώματος. Φευκτὸν ἦν τὸ πρᾶγμα, βιαζομένης τῆς
φύσεως τὸ διαλυθὲν εἰς δυςωδίαν ἀποδιδόναι πάλιν τῷ
ζῆν. Τότε τὸ ἀπιςούμενον τῆς καθολικῆς ἀναςάσεως ἔρ-
γον δι' ἐναργεςέρου τοῦ θαύματος εἰς ἀπόδειξιν ἄγεται.
Οὐδὲ γὰρ ἐκ νόσου τις ἀνίςαται χαλεπῆς, οὐδὲ πρὸς ταῖς
τελευταίαις ὢν ἀναπνοαῖς εἰς τὴν ζωὴν ἐπανάγεται, οὐδὲ
παιδίον ἀρτιθανὲς ζωοποιεῖται, οὐδὲ μέλλων τῷ τάφῳ
προςάγεσθαι νεανίας πάλιν ἐκ τῆς σοροῦ ἀναλύεται, ἀλλ'
ἀνὴρ τῶν ἐξώρων, νεκρὸς ἕωλος, ἐξῳδηκὼς ἤδη καὶ λελυ-
μένος, ὡς μηδὲ τοῖς ἐπιτηδείοις ἀνεκτὸν εἶναι προςεγγί-
σαι τῷ τάφῳ τὸν κύριον, διὰ τὴν ἐγκειμένην ἀηδίαν τοῦ
διαπεπτωκότος σώματος, μιᾷ κλήσει ζωοποιηθεὶς πιςοῦ-
ται τὸ κήρυγμα τῆς ἀναςάσεως, τοῦτ' ἔςι τὸ ἐπὶ τοῦ κοι-

---

8) M. κατεκράθη.

getreten ist, und seinen Trieb der Sonne zeigt, dann zeigt sich an ihm als Blüthe die Gabe der sinnlichen Empfindung. Ist er aber nun zur Reife entwickelt, und zu einer entsprechenden Höhe emporgeschossen, da beginnt wie eine Frucht die Denkkraft durchzuscheinen, nicht plötzlich und mit einem Male hervortretend, sondern in emsigen Wachsthum mit der Vervollkommnung ihres Organs, und so viel Früchte tragend als es die Kraft des Körpers erlaubt. Fragst du aber bei der Bildung des Körpers nach den Thätigkeiten der Seele, so achte auf dich, spricht Moses, und du wirst wie in einem Buche die Geschichte von den Werken der Seele lesen können. Die Natur selbst erzählt dir, deutlicher als alle Rede ist, von den mannichfaltigen Beschäftigungen der Seele im Körper, sowohl bei der Bildung des Ganzen als der der einzelnen Theile. Indessen die Erscheinungen an unserem eigenen Wesen aufzuzählen und von ihnen wie von einem fremden Wunderwerke zu erzählen, scheint mir überflüssig zu sein. Wer bedarf einer Belehrung durch Worte über die eigene Natur, wenn er den Blick auf sich selbst richtet? Denn für den welcher über das Wesen des Lebens sich aufgeklärt und überzeugt hat, wie der Körper für jede Lebensthätigkeit geschickt ist, ist die Möglichkeit gegeben zu erkennen, womit sich bei der ersten Bildung des werdenden Menschen der auf die Natur Einfluß übende Theil der Seele beschäftigt hat. Es ist sonach hieraus für den denkenden Menschen klar daß der Stoff welcher zur Erzeugung des lebenden Wesens aus dem lebenden Körper abgeschieden und in der Werkstätte der Natur niedergelegt wird dort sein Leben nicht einbüßt. Legen wir doch auch nicht die Fruchtkerne und Wurzelschößlinge in die Erde wenn die der Natur innewohnende Lebenskraft erstorben ist, sondern wenn sie in dem Zustande sind daß sie in sich die Eigenthümlichkeit ihres Urbilds lebendig, wenn auch verborgen, bewahren. Diese Kraft legt nicht die sie von Außen her umschließende Erde von sich in sie hinein (denn sonst müßte auch todtes Holz Sprossen treiben), sondern sie entwickelt die schon darin liegende zur äußeren Erscheinung, indem sie durch ihre Feuchtigkeit sie nährt bis die Pflanze in Wurzel, Rinde, Mark, Zweigen und Schößlingen zu ihrer Ausbildung gelangt. Dies wäre unmöglich, wenn nicht eine natürliche Kraft in ihr läge, welche aus ihrer Umgebung den ihr verwandten und für

ἥτις τὴν συγγενῆ καὶ κατάλληλον ἐκ τῶν παρακειμένων τροφὴν εἰς ἑαυτὴν ἕλκουσα θάμνος ἢ ϛάχυς ἤ τι τῶν φρυγανικῶν βλαϛημάτων ἐγένετο.

p. 127. Κεφ. λ'. Ἀλλὰ τὴν μὲν ἀκριβῆ τοῦ σώματος ἡμῶν διασκευὴν διδάσκει μὲν ἕκαϛος ἑαυτὸν ἐξ ὧν ὁρᾷ τε καὶ ζῇ καὶ αἰσθάνεται, τὴν ἰδίαν ἑαυτοῦ φύσιν διδάσκαλον ἔχων. Ἔξεϛι δὲ καὶ τὴν ἐν βίβλοις φιλοπονηθεῖσαν τοῖς τὰ τοιαῦτα σοφοῖς περὶ τούτων ἱϛορίαν ἀναλαβόντι πάντα δι' ἀκριβείας μαθεῖν. Ὧν οἱ μὲν ὅπως ἔχει θέσεως τὰ καθ' ἕκαϛον τῶν ἐν ἡμῖν διὰ τῆς ἀνατομῆς ἐδιδάχθησαν, οἱ δὲ καὶ πρὸς ὅ τι γέγονε πάντα τὰ τοῦ σώματος μόρια κατενόησάν τε καὶ διηγήσαντο, ὡς ἀρκοῦσαν ἐντεῦθεν τῆς ἀνθρωπίνης κατασκευῆς τὴν γνῶσιν τοῖς φιλοπόνοις γενέσθαι. Εἰ δέ τις ἐπιζητοίη πάντων αὐτῶν τὴν ἐκκλησίαν διδάσκαλον γίνεσθαι, ὡς εἰς μηδὲν τῆς ἔξωθεν φωνῆς
Joann. 10, 5. [1] ἐπιδέεσθαι (οὗτος γὰρ τῶν πνευματικῶν προβάτων ὁ νόμος, καθὼς φησιν ὁ κύριος, τὸ ἀλλοτρίας μὴ ἀκούειν φωνῆς), διὰ βραχέων καὶ τὸν περὶ τούτων λόγον διαληψόμεθα. Τρία περὶ τὴν τοῦ σώματος ἐνοήσαμεν φύσιν ὧν χάριν τὰ καθ' ἕκαϛον τῶν ἐν ἡμῖν κατεσκεύαϛαι. Τὰ μὲν γὰρ διὰ τὸ ζῆν, τὰ δὲ διὰ τὸ καλῶς ζῆν, ἕτερα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπιγινομένων ἐπιτηδείως ἔχει. Ὅσα μὲν οὖν ἐν ἡμῖν τοιαῦτά ἐϛιν ὧν ἄνευ συϛῆναι τὴν ἀνθρωπίνην ζωὴν οὐκ ἐνδέχεται, ἐν τρισὶ μορίοις κατενοήσαμεν, ἐν ἐγκεφάλῳ, καὶ καρδίᾳ, καὶ ἥπατι. Ὅσα δὲ προςθήκη τίς ἐϛι τῶν ἀγαθῶν καὶ φιλοτιμία τῆς φύσεως, τὸ εὖ ζῆν δι' ἐκείνων τῷ ἀνθρώπῳ χαριζομένης, τὰ περὶ τὴν αἴσθησίν ἐϛιν ὄργανα. Τὰ γὰρ τοιαῦτα [2] τὴν μὲν ζωὴν ἡμῖν οὐ συνίϛησιν, ἐπεὶ καὶ λιπόντων τινῶν πολλάκις οὐδὲν ἧττον ἐν τῷ ζῆν ἐϛιν ὁ ἄνθρωπος, ἀλλ' ἀμήχανον δίχα τούτων τῶν ἐνεργειῶν τῶν κατὰ τὴν ζωὴν ἡδέων τὴν μετουσίαν ἔχειν. Ὁ δὲ τρίτος σκοπὸς πρὸς τὸ ἐφεξῆς τε καὶ τὴν διαδοχὴν βλέπει. Ἔϛι δὲ καὶ ἄλλα
p. 128. τινὰ παρὰ ταῦτα ἃ πρὸς διαμονὴν κοινὰ τοῖς πᾶσιν ὑπό-

1) M. ἐπιδεῖσθαι. — 2) M. τὴν ζωὴν μὲν οὐ συνίϛησιν.

sie passenden Nahrungsstoff an sich zu ziehen versteht, und nun zum Strauch, oder Baum, oder zu einer Aehre, oder einem ruthenartigen Gewächs wird.

Kap. 30. Ueber die genaue Einrichtung unseres Körpers belehrt sich ein Jeder aus dem was er sieht, erlebt und empfindet, und hat dabei seine eigene Natur zur Lehrerin. Indessen können wir auch die von in diesem Fache tüchtigen Gelehrten in Büchern ausgearbeitete Darstellung dieser Dinge vornehmen und in Allem genaue Studien machen. Von diesen Gelehrten haben einige durch die Anatomie sich über die Lage aller einzelnen Theile in uns unterrichtet, andere haben erforscht und auseinandergesetzt wozu alle Theile des Körpers vorhanden sind, so daß sich von hier eine Quelle ausreichender Kenntniß der menschlichen Einrichtung für die welche dafür eine Theilnahme besitzen eröffnet. Sollte jedoch Jemand sich lieber die Kirche als Lehrerin über alle diese Dinge wünschen, um für Nichts einer von außerhalb kommenden Belehrung zu bedürfen (denn das ist das Gesetz der geistlichen Schafe, wie der Herr sagt, daß sie auf keine fremde Stimme hören), so wollen wir in kurzen Worten auch darüber eine Auseinandersetzung geben. Dreierlei haben wir an der Natur des Körpers erkannt um deßwillen die einzelnen Theile und Glieder an uns eingerichtet sind. Die einen sind da wegen des Lebens, andere um gut zu leben, noch andere sind geschickt zur Sicherung einer Nachkommenschaft. Der Theile in uns also, ohne welche das menschliche Leben nicht bestehen kann, sind nach unserer Beobachtung drei, Gehirn, Herz, Leber. Was aber gewissermaßen als eine Zugabe von Gütern anzusehen ist, und als eine Freigebigkeit der Natur, welche durch sie dem Menschen ein angenehmes Leben spendet, das sind die Sinneswerkzeuge. Denn diese machen keine Grundbedingung für das Leben aus, da der Mensch oftmals, auch wenn er das eine und andere von ihnen verliert, dennoch am Leben bleibt; allein es ist unmöglich daß man ohne Sinnesthätigkeiten einen Genuß von den Freuden des Lebens hat. Die dritte Beziehung geht auf die Nachfolge und Geschlechtsfortpflanzung. Doch giebt es außer diesen Körpertheilen noch einige andere, welche als gemeinsame Grundlage zur Erhaltung für alle bestimmt

ἥτις τὴν συγγενῆ καὶ κατάλληλον ἐκ τῶν παρακειμένων τροφὴν εἰς ἑαυτὴν ἕλκουσα θάμνος ἢ ϛάχυς ἤ τι τῶν φρυγανικῶν βλαϛημάτων ἐγένετο.

p. 127. Κεφ. λ΄. Ἀλλὰ τὴν μὲν ἀκριβῆ τοῦ σώματος ἡμῶν διασκευὴν διδάσκει μὲν ἕκαϛος ἑαυτὸν ἐξ ὧν ὁρᾷ τε καὶ ζῇ καὶ αἰσθάνεται, τὴν ἰδίαν ἑαυτοῦ φύσιν διδάσκαλον ἔχων. Ἔξεϛι δὲ καὶ τὴν ἐν βίβλοις φιλοπονηθεῖσαν τοῖς τὰ τοιαῦτα σοφοῖς περὶ τούτων ἱϛορίαν ἀναλαβόντι πάντα δι᾽ ἀκριβείας μαθεῖν. Ὧν οἱ μὲν ὅπως ἔχει θέσεως τὰ καθ᾽ ἕκαϛον τῶν ἐν ἡμῖν διὰ τῆς ἀνατομῆς ἐδιδάχθησαν, οἱ δὲ καὶ πρὸς ὅ τι γέγονε πάντα τὰ τοῦ σώματος μόρια κατενόησάν τε καὶ διηγήσαντο, ὡς ἀρκοῦσαν ἐντεῦθεν τῆς ἀνθρωπίνης κατασκευῆς τὴν γνῶσιν τοῖς φιλοπόνοις γενέσθαι. Εἰ δέ τις ἐπιζητοίη πάντων αὐτῶν τὴν ἐκκλησίαν διδάσκαλον γίνεσθαι, ὡς εἰς μηδὲν τῆς ἔξωθεν φωνῆς
Joann. 10, 5. [1]ἐπιδέεσθαι (οὗτος γὰρ τῶν πνευματικῶν προβάτων ὁ νόμος, καθώς φησιν ὁ κύριος, τὸ ἀλλοτρίας μὴ ἀκούειν φωνῆς), διὰ βραχέων καὶ τὸν περὶ τούτων λόγον διαληψόμεθα. Τρία περὶ τὴν τοῦ σώματος ἐνοήσαμεν φύσιν ὧν χάριν τὰ καθ᾽ ἕκαϛον τῶν ἐν ἡμῖν κατεσκεύαϛαι. Τὰ μὲν γὰρ διὰ τὸ ζῆν, τὰ δὲ διὰ τὸ καλῶς ζῆν, ἕτερα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπιγινομένων ἐπιτηδείως ἔχει. Ὅσα μὲν οὖν ἐν ἡμῖν τοιαῦτά ἐϛιν ὧν ἄνευ συϛῆναι τὴν ἀνθρωπίνην ζωὴν οὐκ ἐνδέχεται, ἐν τρισὶ μορίοις κατενοήσαμεν, ἐν ἐγκεφάλῳ, καὶ καρδίᾳ, καὶ ἥπατι. Ὅσα δὲ προςθήκη τίς ἐϛι τῶν ἀγαθῶν καὶ φιλοτιμία τῆς φύσεως, τὸ εὖ ζῆν δι᾽ ἐκείνων τῷ ἀνθρώπῳ χαριζομένης, τὰ περὶ τὴν αἴσθησίν ἐϛιν ὄργανα. Τὰ γὰρ τοιαῦτα [2]τὴν μὲν ζωὴν ἡμῖν οὐ συνίϛησιν, ἐπεὶ καὶ λιπόντων τινῶν πολλάκις οὐδὲν ἧττον ἐν τῷ ζῆν ἐϛιν ὁ ἄνθρωπος, ἀλλ᾽ ἀμήχανον δίχα τούτων τῶν ἐνεργειῶν τῶν κατὰ τὴν ζωὴν ἡδέων τὴν μετουσίαν ἔχειν. Ὁ δὲ τρίτος σκοπὸς πρὸς τὸ ἐφεξῆς τε καὶ τὴν διαδοχὴν βλέπει. Ἔϛι δὲ καὶ ἄλλα
p. 128. τινὰ παρὰ ταῦτα ἃ πρὸς διαμονὴν κοινὰ τοῖς πᾶσιν ὑπό-

1) M. ἐπιδεῖσθαι. — 2) M. τὴν ζωὴν μὲν οὐ συνίϛησιν.

sie passenden Nahrungsstoff an sich zu ziehen versteht, und nun zum Strauch, oder Baum, oder zu einer Aehre, oder einem ruthenartigen Gewächs wird.

Kap. 30. Ueber die genaue Einrichtung unseres Körpers belehrt sich ein Jeder aus dem was er sieht, erlebt und empfindet, und hat dabei seine eigene Natur zur Lehrerin. Indessen können wir auch die von in diesem Fache tüchtigen Gelehrten in Büchern ausgearbeitete Darstellung dieser Dinge vornehmen und in Allem genaue Studien machen. Von diesen Gelehrten haben einige durch die Anatomie sich über die Lage aller einzelnen Theile in uns unterrichtet, andere haben erforscht und auseinandergesetzt wozu alle Theile des Körpers vorhanden sind, so daß sich von hier eine Quelle ausreichender Kenntniß der menschlichen Einrichtung für die welche dafür eine Theilnahme besitzen eröffnet. Sollte jedoch Jemand sich lieber die Kirche als Lehrerin über alle diese Dinge wünschen, um für Nichts einer von außerhalb kommenden Belehrung zu bedürfen (denn das ist das Gesetz der geistlichen Schafe, wie der Herr sagt, daß sie auf keine fremde Stimme hören), so wollen wir in kurzen Worten auch darüber eine Auseinandersetzung geben. Dreierlei haben wir an der Natur des Körpers erkannt um deßwillen die einzelnen Theile und Glieder an uns eingerichtet sind. Die einen sind da wegen des Lebens, andere um gut zu leben, noch andere sind geschickt zur Sicherung einer Nachkommenschaft. Der Theile in uns also, ohne welche das menschliche Leben nicht bestehen kann, sind nach unserer Beobachtung drei, Gehirn, Herz, Leber. Was aber gewissermaßen als eine Zugabe von Gütern anzusehen ist, und als eine Freigebigkeit der Natur, welche durch sie dem Menschen ein angenehmes Leben spendet, das sind die Sinneswerkzeuge. Denn diese machen keine Grundbedingung für das Leben aus, da der Mensch oftmals, auch wenn er das eine und andere von ihnen verliert, dennoch am Leben bleibt; allein es ist unmöglich daß man ohne Sinnesthätigkeiten einen Genuß von den Freuden des Lebens hat. Die dritte Beziehung geht auf die Nachfolge und Geschlechtsfortpflanzung. Doch giebt es außer diesen Körpertheilen noch einige andere, welche als gemeinsame Grundlage zur Erhaltung für alle bestimmt

κειται, τὰς καταλλήλους προςθήκας δι' ἑαυτῶν ἐπειςάγοντα, ὡς κοιλία καὶ πνεύμων, ὁ μὲν τῷ πνεύματι τὸ ἐγκάρδιον πῦρ ἀναῤῥιπίζων, ἡ δὲ τοῖς σπλάγχνοις τὴν τροφὴν εἰςοικίζουσα. Οὕτω τοίνυν τῆς κατασκευῆς τῆς ἐν ἡμῖν διῃρημένης ἔςιν ἀκριβῶς κατανοῆσαι ὅτι οὐ μονοειδῶς ἡμῖν δι' ἑνός τινος ἡ πρὸς τὸ ζῆν δύναμις διεξάγεται ἀλλὰ πλείοσι μορίοις ἡ φύσις τὰς πρὸς τὴν σύςασιν ἡμῶν ἀφορμὰς ἐπινείμασα ἀναγκαίαν ποιεῖ πρὸς τὸ ὅλον τὴν παρ' ἑκάςου συνειςφοράν, ὥςε καὶ ὅσα πρὸς ἀσφάλειαν τῆς ζωῆς καὶ κάλλος ἡ φύσις ἐπετεχνάσατο, πλείω τέ ἐςι ταῦτα καὶ πολλὴν πρὸς ἄλληλα τὴν διαφορὰν ἔχει. Ἀλλ' οἶμαι διελέσθαι πρότερον ἐν ὀλίγῳ χρῆναι τῶν πρὸς τὴν σύςασιν τῆς ζωῆς συντελούντων ἡμῖν τὰς πρώτας ἀρχάς. Ἡ μὲν οὖν τοῦ παντὸς σώματος ὕλη κοινὴ τοῖς καθ' ἕκαςον μέλεσιν ὑποκειμένη σιγάσθω τὰ νῦν· οὐδὲν γὰρ πρὸς τὸν σκοπὸν ἡμῖν συντελέσει ἡ καθόλου φυσιολογία πρὸς τὴν μερικὴν θεωρίαν. Ὁμολογουμένου τοίνυν παρὰ πᾶσι τοῦ πάντων ἐν ἡμῖν εἶναι τῶν ςοιχειωδῶς ἐν τῷ κόσμῳ θεωρουμένων τὴν μοῖραν, τοῦ τε θερμοῦ καὶ τοῦ ψύχοντος, καὶ τῆς ἑτέρας συζυγίας τῆς κατὰ τὸ ὑγρόν τε καὶ ξηρὸν νοουμένης, τὰ καθ' ἕκαςον ἡμῖν διαληπτέον. Οὐκοῦν ὁρῶμεν τρεῖς τὰς διοικητικὰς τῆς ζωῆς δυνάμεις, ὧν ἡ μὲν διαθάλπει τὸ πᾶν τῇ θερμότητι, ἡ δὲ ὑπονοτίζει τῇ ἰκμάδι τὸ θερμαινόμενον, ὡς ἂν τῇ ἰσοκρατείᾳ τῆς τῶν ἐναντίων ποιότητος ἐπὶ τοῦ μέσου συντηροῖτο τὸ ζῶον, μήτε τοῦ ὑγροῦ καταφρυγομένου τῷ πλεονασμῷ τῆς θερμότητος, μήτε τοῦ θερμοῦ σβεννυμένου τῇ ἐπικρατείᾳ τοῦ καθυγραίνοντος. Ἡ δὲ τρίτη δύναμις συνέχει δι' ἑαυτῆς κατά τινα συμβολήν τε καὶ ἁρμονίαν τὰ διακεκριμένα τῶν ἄρθρων τοῖς παρ' ἑαυτῆς συνδέσμοις ἁρμόζουσα, καὶ πᾶσιν ἐπιπέμπουσα τὴν αὐτοκίνητόν τε καὶ προαιρετικὴν δύναμιν. Ἧς ἐπιλειπούσης πάρετον γίνεται καὶ νεκρῶδες τὸ μέρος, τοῦ προαιρετικοῦ πνεύματος ἀμοιρῆσαν. Μᾶλλον δὲ πρὸ τούτων ἄξιον κατανοῆσαι τὸ τεχνικὸν τῆς φύσεως ἡμῶν ἐν αὐτῇ τῇ δημιουργίᾳ τοῦ σώματος. Ἐπειδὴ γὰρ τὸ σκληρόν τε καὶ ἀντίτυπον τὰς αἰσθητικὰς ἐνεργείας

sind, und durch sich den entsprechenden Zuwachs in den Körper einführen; so der Magen und die Lunge, von welchen die letzte durch den Athem die Herzwärme anfacht, der erste die Nahrung in die Eingeweide bringt. Bei dieser Eintheilung unserer Einrichtung kann man also deutlich sehen daß uns nicht einseitig durch ein einziges Glied die Lebenskraft zugeführt wird, sondern daß die Natur die für unsere Existenz nöthigen Mittel an mehrere vertheilt und die Mitwirkung und den Beitrag eines jeden für das Ganze nothwendig macht. So sehen wir also daß es der Werkzeuge welche die Natur zur Erhaltung und zur Verschönerung des Lebens erfunden hat viele und sehr verschiedene sind. Indessen meine ich, wir müssen zunächst in Kürze eine Eintheilung der Grundquellen aus denen unsere Lebensexistenz gespeist wird aufstellen. Von dem gemeinsamen Stoff des Körpers welcher den einzelnen Gliedern desselben zu Grunde liegt schweigen wir hier; denn die allgemeine Untersuchung wird zum Zweck der Sonderbetrachtung uns keinen Nutzen bringen können. Es wird also von Allen zugestanden daß von allen elementarischen Stoffen der Welt die wir beobachten in uns ein Theil liegt, von der Wärme und der Kälte, von der Feuchtigkeit und dem Trocknen. Nehmen wir nun das Einzelne durch. Wir sehen da also drei Kräfte mit Erhaltung des Lebens betraut, von welchen die erste das Ganze mit Wärme durchdringt, die zweite das Erwärmte mit Feuchtigkeit netzt, damit durch das Gleichgewicht der entgegengesetzten Qualitäten das Leben in dem Mittelzustand erhalten werde, indem so weder die Nässe durch das Uebermaß der Wärme eintrocknet, noch durch die Ueberherrschaft der Feuchtigkeit die Wärme erlischt. Die dritte Kraft hält durch sich die getrennten Glieder vermittelst ihrer Bindemittel zu einem festen Schluß und geordneten Verein zusammen, und theilt allen die Fähigkeit selbstständiger und freiwilliger Bewegung zu. Wenn diese aufhört, tritt Erschlaffung und Erstorbenheit des Theiles ein welcher den Geist der Willensthätigkeit eingebüßt hat. Doch wollen wir lieber vorher die Kunst unserer Natur an dem Bauwerke des Körpers selbst uns zur Anschauung zu bringen. Da nämlich die harten und festen Bestandtheile keiner Sinnesthätigkeit fähig sind, wie wir an den Knochen

ποικίλη τε καὶ πολύςροφος, καὶ πρὸς πᾶσαν ἐπίνοιαν ἐπιτηδεία, ἐντεῦθεν αἱ τοῦ αὐχένος περιςροφαὶ, καὶ τῆς κεφαλῆς ἐπικλίσεις τε καὶ ἀνανεύσεις, καὶ ἡ κατὰ τὴν γένυν ἐνέργεια, καὶ ἡ τῶν βλεφάρων διαςολὴ ἅμα [3] νοήματι γινομένη, καὶ τῶν λοιπῶν ἄρθρων αἱ κινήσεις ἐν
p. 130. νεύροις μέν τισιν ἀνασπωμένοις ἢ χαλωμένοις, καθάπερ ἐκ μηχανῆς τινος, ἐνεργοῦνται. Ἡ δὲ διὰ τούτων διεξιοῦσα δύναμις αὐτοκέλευςον ἔχει τινὰ τὴν ὁρμὴν, προαιρετικῷ πνεύματι κατά τινα φύσεως οἰκονομίαν ἐν τοῖς καθ' ἕκαςον ἐνεργουμένη. Ῥίζα δὲ πάντων ἀπεδείχθη καὶ ἀρχὴ τῶν κατὰ τὰ νεῦρα κινήσεων ὁ τὸν ἐγκέφαλον περιέχων νευρώδης ὑμήν. Οὐκέτι οὖν ἡγούμεθα δεῖν πολυπραγμονεῖν περί τι τῶν ζωτικῶν μορίων [4] τί τοιοῦτόν ἐςιν, ἐν τούτῳ δειχθείσης τῆς κινητικῆς ἐνεργείας. Ὅτι δὲ μέγιςόν τι συντελεῖ πρὸς τὴν ζωὴν ὁ ἐγκέφαλος, ἐναργῶς τὸ ἐξ ἐναντίου συμβαῖνον δηλοῖ. Εἰ γάρ τινα τρῶσιν ἢ ῥῆξιν ὁ περὶ αὐτὸν ὑμὴν πάθοι, εὐθὺς ἐπηκολούθησε τῷ πάθει ὁ θάνατος, οὐδὲ πρὸς τὸ ἀκαρὲς τῆς φύσεως ἀντισχούσης τῇ τρώσει, ὥςπερ θεμελίου τινὸς ὑποσπασθέντος ὅλον τὸ οἰκοδόμημα συγκατεσείσθη τῷ μέρει. Οὗ τοίνυν παθόντος πρόδηλός ἐςιν ἡ τοῦ παντὸς ζώου διαφθορὰ, τοῦτο κυρίως ἂν τῆς ζωῆς τὴν αἰτίαν ἔχειν ὁμολογοῖτο. Ἐπειδὴ δὲ καὶ τῶν πανσαμένων τοῦ ζῆν κατασβεσθείσης τῆς ἐγκειμένης τῇ φύσει θερμότητος τὸ νεκρωθὲν καταψύχεται, διὰ τοῦτο καὶ ἐν τῷ θερμῷ τὴν ζωτικὴν αἰτίαν κατενοήσαμεν. Οὗ γὰρ ἐπιλελοιπότος ἡ νεκρότης ἐπηκολούθησεν, ἀνάγκη πᾶσα τῇ παρουσίᾳ τούτου συνεςάναι τὸ ζῶον ὁμολογεῖσθαι. Τῆς δὲ τοιαύτης δυνάμεως οἷον πηγήν τινα καὶ ἀρχὴν τὴν καρδίαν κατενοήσαμεν, ἀφ' ἧς αὐλοειδεῖς πόροι πολυσχιδῶς ἄλλος ἐξ ἄλλου διαφυόμενοι παντὶ τῷ σώματι τὸ πυρῶδές [5] τε καὶ θερμὸν διαχέουσι πνεῦμα. Ἐπεὶ δὲ πάντως καὶ τροφὴν ἔδει τινὰ τῷ θερμῷ συμπαρεῖναι παρὰ τῆς φύσεως (οὐ γὰρ ἐνδέχεται τὸ πῦρ ἐφ' ἑαυτοῦ μένειν, μὴ διὰ τοῦ κατ-

3) M. νεύματι. — 4) M. τὸ τοιοῦτόν ἐςιν. — 5) τε fehlt bei M.

wandte und für jeden Gedanken geschickte Dienstleistung der Hände, daher die Beweglichkeit des Nackens, das Senken und Emporrichten des Kopfes, die Thätigkeit der Kinnlade, das sofort mit dem Gedanken eintretende Auseinanderziehen der Augenlider, die Bewegungen der übrigen Glieder, durch Anziehung oder Abspannung der betreffenden Nerven wie durch eine Maschine bewerkstelligt. Die diese durchströmende Kraft besitzt einen gewissen unabhängigen Trieb, welcher nach natürlicher Anordnung durch einen Geist des Willens in Bewegung gesetzt wird. Als Wurzel aber und Anfang aller Nervenbewegungen war oben das das Gehirn umschließende nervenartige Häutchen nachgewiesen worden. Wir glauben demnach uns nicht weiter eingehend mit einem der Lebenstheile und seiner Beschaffenheit zu beschäftigen nöthig zu haben, nachdem gezeigt ist daß in diesem die bewegende Kraft liegt. Daß das Gehirn ganz vorzugsweise zum Leben beiträgt, das zeigt sich deutlich wenn ihm etwas Feindseliges widerfährt. Wenn nämlich das dasselbe umgebende Häutchen eine Verletzung oder Zerreißung erleidet, so erfolgt darauf sofort der Tod, und die Natur vermag auch nicht einen Augenblick gegen die Folgen der Verwundung Widerstand zu leisten, gleichwie, wenn das Fundament hinweggerissen wird, das ganze Gebäude durch diesen einen Theil miterschüttert wird. Es dürfte demnach zugestanden werden daß derjenige Theil des Körpers eigentlich der Quell des Lebens ist durch dessen Verletzung offenbar der Untergang des ganzen lebenden Wesens herbeigeführt wird. Da nun aber auch der dem Tod verfallene Körper derer welche zu leben aufhören nach dem Erlöschen der der Natur innewohnenden Wärme erkaltet, darum erkennen wir auch in der Wärme eine Lebensursache. Denn ganz nothwendiger Weise müssen wir die Existenz des lebenden Wesens dem Vorhandensein dessen zuschreiben durch dessen Verschwinden der Tod eintritt. Gleichsam als Quelle und Ausgangspunkt dieser Wärme betrachten wir das Herz, von welchem röhrenartige Kanäle in vielfachen Abzweigungen aus einander entspringend dem gesammten Körper die feuerartige und wärmespendende Luft zuströmen. Da jedoch von Seiten der Natur der Wärme auch einige Nahrung gegeben werden mußte, weil das Feuer nicht im Stande ist ohne eine Zuführung entsprechenden Stoffs für sich zu bestehen, deßhalb gehen

αλλήλου τρεφόμενον), διὰ τοῦτο οἱ τοῦ αἵματος ὀχετοὶ καθάπερ ἐκ πηγῆς τινος τοῦ ἥπατος ἀφορμηθέντες τῷ θερμῷ πνεύματι πανταχῇ κατὰ τὸ σῶμα συμπαροδεύουσιν, ὡς ἂν μὴ μονωθὲν τοῦ ἑτέρου τὸ ἕτερον διαφθείρῃ τὴν φύσιν πάθος γενόμενον. Παιδευέτω τοῦτο τοὺς ἀτακτοῦντας περὶ τὸ ἴσον, διδαχθέντας παρὰ τῆς φύσεως ὅτι ἡ πλεονεξία φθοροποιόν τι πάθος ἐςίν. Ἀλλ' ἐπειδή μόνον ἀπροςδεές ἐςι τὸ θεῖον, ἡ δὲ ἀνθρωπίνη πτωχεία τῶν ἔξωθεν πρὸς τὴν ἰδίαν σύςασιν ἐπιδέεται, διὰ τοῦτο ταῖς τρισὶ ταύταις δυνάμεσι, δι' ὧν ἔφαμεν ἅπαν
p. 131. οἰκονομεῖσθαι τὸ σῶμα, ἐπίῤῥυτον ἔξωθεν ἐπειςάγει τὴν ὕλην, διαφόροις εἰςόδοις τὸ κατάλληλον αὐταῖς εἰςοικίζουσα. Τῇ μὲν γὰρ πηγῇ τοῦ αἵματος, ἥτις τὸ ἧπάρ ἐςι, τὴν διὰ τῆς τροφῆς χορηγίαν ὑπέθηκε. Τὸ γὰρ ἐπειςαγόμενον ἀεὶ διὰ ταύτης τὰς τοῦ αἵματος πηγὰς βρύειν διὰ τοῦ ἥπατος παρασκευάζει, καθάπερ ἡ ἐπὶ τοῦ ὄρους χιὼν διὰ τῆς οἰκείας ἰκμάδος τὰς κατὰ τὴν ὑπώρειαν αὔξει πηγάς, διὰ τοῦ βάθους τὸ οἰκεῖον ὑγρὸν ἐπὶ τὰς κάτω φλέβας συνθλίβουσα. Τὸ δὲ ἐγκάρδιον πνεῦμα διὰ τοῦ γείτονος ἐπειςάγεται σπλάγχνου, ὃ καλεῖται μὲν πνεύμων, ἔςι δὲ τοῦ ἀέρος δοχεῖον, διὰ τῆς ἐγκειμένης ἀρτηρίας τῆς ἐπὶ τὸ ςόμα διηκούσης τὸ ἔξωθεν πνεῦμα ταῖς ἀναπνοαῖς ἐφελκόμενον. Ὧι κατὰ τὸ μέσον ἡ καρδία ἐνειλημμένη, κατὰ μίμησιν τῆς τοῦ ἀεικινήτου πυρὸς ἐνεργείας ἀδιαλείπτως καὶ αὐτὴ κινουμένη, οἷόν τι ποιοῦσιν ἐν τοῖς χαλκείοις αἱ φῦσαι, ἕλκει τε πρὸς ἑαυτὴν ἐκ τοῦ παρακειμένου πνεύμονος πληροῦσα τῇ διαςολῇ τὰς κοιλότητας, καὶ τὸ πυρῶδες ἑαυτῆς ἐκριπίζουσα ταῖς ἐχομέναις ἀρτηρίαις ἐμπνεῖ, καὶ τοῦτο ποιοῦσα οὐ διαλείπει, τὸ μὲν ἔξωθεν διὰ τῆς διαςολῆς εἰς τὰς ἰδίας κοιλότητας ἕλκουσα, τὸ δὲ παρ' ἑαυτῆς διὰ τῆς συμπτώσεως ταῖς ἀρτηρίαις εἰςκρίνουσα. Ὃ μοι δοκεῖ καὶ τῆς αὐτομάτου ταύτης ἀναπνοῆς αἴτιον ἡμῖν γίνεσθαι. Πολλάκις γὰρ ὁ μὲν νοῦς ἄσχολός ἐςι πρὸς [6] ἑτέροις, ἢ καὶ παντάπασιν ἠρεμεῖ, λυθέντος ἐν τῷ ὕπνῳ τοῦ σώματος, ἡ δὲ ἀναπνοὴ

6) M. ἑτέρους.

von der Leber wie von einer Quelle die Blutkanäle aus und begleiten die warme Luft überall durch den ganzen Körper, damit nicht eine etwaige Trennung des Einen von dem Anderen zu einer Krankheit werde und eine Zerstörung der Natur herbeiführe. Dies diene Menschen von unbilligem und unrechtlichem Character zur Lehre, daß sie von der Natur lernen, wie der Geiz ein verderbenbringendes Uebel ist. Da Gott allein Nichts bedarf, die menschliche Armuth hingegen der Unterstützung von Außen zu ihrem Bestehen nöthig hat, darum versieht er diese drei Kräfte, unter deren Leitung, wie wir sagten, der ganze Körper steht, von Außen her mit reichlichem Stoff, und führt ihnen auf verschiedenen Zugängen das Entsprechende zu. Denn der Quelle des Blutes, welche die Leber ist, gab er das Amt der allgemeinen Ernährung durch die Speise, insofern der durch die Speise immer neu eingeführte Nahrungsstoff durch Vermittlung der Leber die Blutquellen in strömender Fülle erhält, gleichwie der Schnee auf den Bergen die am Fuße gelegenen Quellen ihren Zuwachs spendet, indem er seine Nässe durch die Tiefe bis in ihre Kanäle treibt. Die das Herz umgebende Luft wird durch den benachbarten Theil eingeführt welcher Lunge heißt und ein Luftbehälter ist, der vermittelst der ihm eigenen bis zum Mund reichenden Röhre durch die Athemzüge die Luft von Außen an sich zieht. In ihrer Mitte und von ihr umgeben liegt das Herz, welches, ähnlich der ewigbeweglichen Kraft des Feuers, selbst ohne Unterlaß in Bewegung ist, und, etwa nach Art der Blasebälge in den Schmieden, aus der benachbarten Lunge Luft an sich zieht, die hohlen Theile auseinanderdehnend damit anfüllt, und die eigene Wärme anfachend in die anstoßenden Kanäle einbläst. Und so ist es unaufhörlich thätig, einen Theil fortwährend in seine Höhlungen durch Auseinanderdehnung derselben einziehend, und einen anderen durch Zusammenziehung von sich wiederum in die Kanäle ausscheidend. Das scheint mir auch die Ursache des unwillkührlichen Athmungsprocesses zu sein. Oftmals ist nämlich der Geist mit Anderen beschäftigt, oder feiert auch ganz und gar, zur Zeit wo der Körper durch den Schlaf abgespannt ist, trotzdem aber findet keine Unter-

τοῦ ἀέρος οὐ διαλείπει, μηδ' ὁτιοῦν συνεργούσης εἰς τοῦτο τῆς προαιρέσεως. Οἶμαι γάρ, ἐπειδὴ περιείληπται τῷ πνεύμονι ἡ καρδία, καὶ προςπέφυκεν αὐτῷ κατὰ τὸ ὀπίσθιον ἑαυτῆς μέρος, ταῖς ἰδίαις διαςολαῖς καὶ συμπτώσεσι συγκινοῦσα τὸ σπλάγχνον, τὴν τοῦ ἀέρος ὁλκήν τε καὶ ἐμπνοὴν ἐκμηχανᾶσθαι τῷ πνεύμονι. Ἀραιὸς γάρ τις ὢν καὶ πολύπορος, καὶ πάσας τὰς ἐν αὐτῷ κοιλότητας πρὸς τὸν πυθμένα τῆς ἀρτηρίας ἀνεςομωμένας ἔχων, συςελλόμενος μὲν καὶ συμπίπτων τὸ ἐναπολειφθὲν τοῖς κοίλοις πνεῦμα κατ' ἀνάγκην ἐκπιέζων προΐεται· ὑποχωρῶν δὲ καὶ ἀνοιγόμενος ἐπισπᾶται τῇ διαςάσει πρὸς τὸ κενούμενον διὰ τῆς ὁλκῆς τὸν ἀέρα. Καὶ αὕτη ἐςὶ τῆς ἀπροαιρέτου ταύτης ἀναπνοῆς αἰτία, ἡ τοῦ ἀτρε-
p. 132. μεῖν τὸ πυρῶδες ἀδυναμία. Ἐπειδὴ γὰρ ἴδιόν ἐςι τοῦ θερμοῦ ἡ κατὰ τὴν κίνησιν ἐνέργεια, τούτου δὲ τὰς ἀρχὰς ἐν τῇ καρδίᾳ κατενοήσαμεν, τὸ διηνεκὲς τῆς ἐν τῷ μέρει τούτῳ κινήσεως τὴν ἀδιάλειπτον τοῦ ἀέρος ὁρμήν τε καὶ ἐμπνοὴν διὰ τοῦ πνεύμονος ἀπεργάζεται. Διὸ καὶ παρὰ φύσιν ἐπιταθέντος τοῦ πυρώδους τὸ ἆσθμα τῶν διακαιομένων τῷ πυρετῷ συνεχέςερον γίνεται, ὥςπερ ἐπειγομένης τῆς καρδίας τὸν ἐγκείμενον ἐν αὐτῇ φλογμὸν τῷ νεαρωτέρῳ πνεύματι κατασβεννύειν. Ἀλλ' ἐπειδὴ πενιχρά τίς ἐςιν ἡμῶν ἡ φύσις, καὶ τῶν πρὸς τὴν ἰδίαν σύςασιν διὰ πάντων ἐπιδεής, οὐκ ἀέρος μόνον ἰδίου πτωχεύει, καὶ πνεύματος, τοῦ τὸ θερμὸν διεγείροντος, ὅπερ ἔξωθεν πρὸς τὴν τοῦ ζώου συντήρησιν διηνεκῶς ἐπειςάγεται, ἀλλὰ καὶ τὴν ὑπερείδουσαν τὸν τοῦ σώματος ὄγκον τροφὴν ἐπίκτητον ἔχει. Διὰ τοῦτο σιτίοις τε καὶ ποτοῖς ἀναπληροῖ τὸ ἐνδέον, ἑλκτικήν τινα τοῦ λείποντος δύναμιν καὶ ἀπωςικὴν τοῦ περιττεύοντος ἐνθεῖσα τῷ σώματι, οὐδὲ πρὸς τοῦτο τοῦ ἐγκαρδίου πυρὸς μικρὰν παρεχομένου τῇ φύσει [7] συνεργίαν. Ἐπειδὴ γὰρ τὸ κυριώτατον τῶν ζωτικῶν μορίων κατὰ τὸν ἀποδοθέντα λόγον ἡ καρδία ἐςίν, ἡ τῷ θερμῷ πνεύματι ζωπυροῦσα τὰ καθ' ἕκαςον μέρη, πανταχόθεν αὐτὴν ἐνεργὸν εἶναι τῷ δραςικῷ τῆς δυνάμεως ὁ

7) M. συνέργειαν.

brechung des Athmens statt, ohne daß der Wille dabei im Geringsten betheiligt ist. Ich glaube nämlich daß, da das Herz von der Lunge eingeschlossen und am hinteren Theile mit ihr verwachsen ist, es durch seine Ausdehnungen und Zusammenziehungen auch die Lunge mitbewegt und das Einziehen und Ausstoßen der Luft bewerkstelligt. Denn bei ihrer lockeren und porösen Beschaffenheit, und weil alle ihre Höhlungen in den untern Theil der Luftröhre einmünden, geschieht es nothwendig daß, wenn sie sich zusammenzieht und zusammenfällt, sie die in den hohlen Theilen zurückgelassene Luft gewaltsam ausstößt, dagegen wenn sie sich aufschließt und öffnet, in Folge ihrer Erweiterung die Luft in die leeren Räume einzieht. In dieser Unfähigkeit der hitzigen Theile zur Ruhe zu gelangen liegt die Veranlassung dieses unwillkührlichen Athmens. Da nämlich die Kraft der Bewegung eine Eigenschaft der Wärme ist, deren Quellen wir eben in dem Herzen entdeckt haben, so bewirkt die Stetigkeit der Bewegung in diesem Theile daß die Luft ununterbrochen durch die Lunge eingesogen und ausgeathmet wird. Daher auch der Umstand daß, wenn die Hitze unnatürlich zunimmt ein schnelleres Athmen der Fieberkranken eintritt, als ob das Herz sich bemühte die innere Hitze durch die frischere Luft zu löschen. Weil jedoch unsere Natur eine armselige ist und in allen Stücken der Mittel zur Erhaltung ihrer Existenz Noth hat, so fehlt es ihr nicht bloß an eigener Luft und eigenem Odem zur Erweckung der Wärme, welche so von Außen zur Erhaltung des Lebens ununterbrochen eingeführt wird, sondern sie bezieht auch die die Körpermasse aufrecht erhaltende Nahrung aus fremder Quelle. Deßhalb füllt sie die Leere mit Speisen und Getränken aus, und hat in den Körper eine gewisse Kraft gelegt das was fehlt an sich zu ziehen und das was überflüssig ist abzustoßen, wobei die Herzwärme der Natur einen nicht geringen Beistand leistet. Da nämlich, wie oben auseinandergesetzt wurde, das Herz der vornehmste unter den Lebenstheilen ist, welcher die einzelnen Glieder mit der wärmenden Luft durchdringt und speist, so hat unser Schöpfer der lebendigen Kraft desselben

πλάσης ἡμῶν ἐποίησεν, ὡς ἂν μηδὲν αὐτῆς μέρος ἀπρα-
κτόν τε καὶ ἀνόητον πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν κα-
ταλειφθείη. Διὰ τοῦτο κατόπιν μὲν ὑποβᾶσα τὸν πνεύ-
μονα διὰ τῆς διηνεκοῦς κινήσεως καθέλκουσά τε πρὸς
ἑαυτὴν τὸ σπλάγχνον, ἀνευρύνει πρὸς τὴν ὁλκὴν τοῦ ἀέρος
τοὺς πόρους, [8]ἀποθλίβουσά τε πάλιν ἐκπνεῖσθαι τὸ ἐνα-
πειλημμένον παρασκευάζει· ἐν δὲ τοῖς ἔμπροσθεν ἑαυτῆς
προςφυεῖσα τῷ χωρήματι τῆς ἄνω γαςρὸς, ἔνθερμον αὐ-
τὴν καὶ πρὸς τὰς ἰδίας ἐνεργείας κινουμένην ποιεῖ, οὐκ
εἰς πνεύματος ὁλκὴν ἀνεγείρουσα, ἀλλ' εἰς ὑποδοχὴν τῆς
καταλλήλου τροφῆς. Πλησίον μὲν γὰρ [9]ἀλλήλων πεφύ-
κασιν αἱ εἴςοδοι τοῦ πνεύματός τε καὶ τῆς τροφῆς, ἀν-
τιπαρεξιοῦσαι δὲ κατὰ τὸ πρόμηκες ἡ ἑτέρα πρὸς τὴν
ἑτέραν καὶ τῷ ἴσῳ μέτρῳ κατὰ τὸ ἄνω συναπαρτίζονται,
ὥςε καὶ συνεςομῶσθαι πρὸς ἀλλήλας, καὶ ἑνὶ ςόματι τοὺς
πόρους ἐναπολήγειν, ὅθεν τῷ μὲν τῆς τροφῆς, τῷ δὲ τοῦ
πνεύματος ἡ εἴςοδος γίνεται· ἀλλ' ἐπὶ τὸ βάθος οὐκέτι
διὰ παντὸς τὸ προςφυὲς παραμένει τῆς συζυγίας τῶν πό-
p. 133. ρων. Μέση γὰρ τῆς ἑκατέρων ἕδρας ἡ καρδία παρεμπι-
σοῦσα τῷ μὲν πρὸς ἀναπνοὴν, τῷ δὲ πρὸς τροφὴν τὰς
δυνάμεις ἐντίθησιν. Πέφυκε γὰρ τὸ πυρῶδες ἐπιζητεῖν
τὴν ὑπεκκαίουσαν ὕλην, ὃ δὴ καὶ περὶ τὸ δοχεῖον τῆς
τροφῆς κατ' ἀνάγκην συμβαίνει. Ὅσῳ γὰρ [10]διάπυρον
διὰ τῆς γείτονος γίνεται θερμασίας, τοσούτῳ μᾶλλον ἐφέλ-
κεται τὰ τὸ θερμὸν ὑποτρέφοντα· τὴν δὲ τοιαύτην ὁρμὴν
ὄρεξιν ὀνομάζομεν. Εἰ δὲ περιδράξαιτο τῆς ἀρκούσης
ὕλης τὸ περιεκτικὸν τῆς τροφῆς, οὐδὲ οὕτως ἠρεμεῖ τοῦ
πυρὸς ἡ ἐνέργεια, ἀλλὰ καθάπερ ἐν χωνευτηρίῳ σύντηξίν
τινα τῆς ὕλης ποιεῖ, καὶ διαλύσασα τὰ συνεςῶτα καὶ
ἀναχέασα καθάπερ ἐκ χοάνης τινὸς μεταχεῖ πρὸς τοὺς
ἐφεξῆς πόρους, εἶτα τὸ παχυμερέςερον τοῦ εἰλικρινοῦς
διακρίνασα τὸ μὲν λεπτὸν δι' ὀχετῶν τινων ἐπὶ τὰς τοῦ
ἥπατος ἄγει πύλας, τὴν δὲ ὑλώδη τῆς τροφῆς ὑποςάθμην
εἰς τοὺς εὐρυχωροτέρους τῶν ἐντέρων πόρους ἀπώσατο,

8) M. ἀνοχλίζουσα. — 9) M. πεφύκασιν ἀλλήλων. — 10) M. ἔμπυρον.

einen allseitigen Wirkungskreis gegeben, damit kein Theil von ihm ohne Thätigkeit oder für die Erhaltung des Ganzen unnütz bliebe. Deßhalb liegt es mit seinem hinteren Theile unter der Lunge und erweitert durch seine fortdauernde Bewegung, indem es jene herabzieht, ihre Kanäle zum Zweck des Einziehens der Luft, ebenso wie es andernseits sie dann wiederum ausdrückt und so das Ausblasen der eingeschlossenen Luft bewirkt. Mit seinem vorderen Theile stößt es an den oberen Theil des Magens und erhält diesen in seiner Wärme und Bewegung um seinen Thätigkeiten genügen zu können, indem es ihn nicht wie dort zum Einziehen des Athems, sondern zur Aufnahme der geeigneten Nahrung veranlaßt. Es liegen nämlich die Eingänge für die Luft und die Nahrung dicht bei einander, setzen sich in gleichem Längenmaß der eine neben dem anderen nach oben fort, und münden auch nebeneinander ihre Kanäle in einer einzigen Oeffnung ein, von wo für den einen die Nahrung, für den anderen die Luft eingeführt wird; unten hingegen findet diese enge Verbindung der beiden Kanäle durchaus nicht weiter statt. Denn zwischen ihnen senkt sich das Herz ein und verleiht der einen die Kraft zum Athmen, dem anderen die Kraft zur Verdauung der Speise. Denn das Feurige ist von solcher Naturbeschaffenheit daß es seinen Brennstoff sucht, was eben auch im Betreff des Nahrungsbehälters nothwendiger Weise eintritt. Denn je mehr er in Folge der in seiner unmittelbaren Nähe vorhandenen Hitze selbst in Wärme geräth, in um so stärkerem Grade zieht er die Dinge an welche diese Wärme nähren, und dieses Verlangen nennen wir Appetit. Hat aber das die Nahrung umschließende Organ den hinlänglichen Stoff in sich aufgenommen, so tritt auch so nicht die Kraft der Wärme außer Thätigkeit, sondern bewerkstelligt, gleichwie in einem Ofen, eine Zerkochung des Stoffes, und wenn sie ihn dann in seine Bestandtheile aufgelöst und durcheinandergemischt hat, ergießt sie ihn wie aus einem Trichter in die nächsten Kanäle, dann scheidet sie die groben Theile von den edlen und reinen ab, und führt das Feine in einigen Röhrchen den Leberpforten zu, während es den groben Stoff der Nahrung, den Bodensatz, in die breiteren Abzugskanäle der Unterleibseingeweide abstößt, in deren vielfachen Windungen sie zirkulieren läßt und so

καὶ τοῖς πολυτρόποις αὐτῶν ἑλιγμοῖς ἀναςρέφουσα χρόνῳ παρακατέχει τὴν τροφὴν τοῖς σπλάγχνοις, ὡς ἂν μὴ δι' εὐθύτητα τοῦ πόρου ῥαδίως ἀποβαλόμενον εὐθὺς ἀνακινοίη τὸ ζῶον πρὸς ὄρεξιν, καὶ μηδέποτε παύοιτο τῆς τοιαύτης ἀσχολίας κατὰ τὴν τῶν ἀλόγων φύσιν ὁ ἄνθρωπος. Ἐπεὶ δὲ καὶ τῷ ἥπατι μάλιςα τῆς τοῦ θερμοῦ συνεργίας ἦν χρεία πρὸς τὴν τῶν ὑγρῶν ἐξαιμάτωσιν, ἀφέςηκε δὲ τοῦτο τῆς καρδίας κατὰ τὴν θέσιν (οὐ γὰρ ἦν, οἶμαι, δυνατὸν ἀρχήν τινα καὶ ῥίζαν ζωτικῆς οὖσαν δυνάμεως, περὶ τὴν ἑτέραν ἀρχὴν ςενοχωρεῖσθαι), ὡς ἂν μή τι τῆς οἰκονομίας ἐν τῇ ἀποςάσει τῆς θερμαντικῆς οὐσίας παραβλαβείη, πόρος νευρώδης (ἀρτηρία δὲ τοῦτο παρὰ τὸν ταῦτα σοφὸν ὀνομάζεται) ἀναδεξάμενος τῆς καρδίας τὸ ἔμπυρον πνεῦμα φέρει παρὰ τὸ ἧπαρ, αὐτοῦ που παρὰ τὴν εἴςοδον τῶν ὑγρῶν συνεςομωμένος, καὶ ἀναζέσας διὰ τῆς θερμότητος τὴν ὑγρασίαν ἐναποτίθεταί τι τῷ ὑγρῷ τῆς τοῦ πυρὸς συγγενείας, τῇ πυροειδεῖ χρόᾳ τὸ τοῦ αἵματος εἶδος καταφοινίξας. Εἶτα ἐκεῖθεν ἀφορμηθέντες δίδυμοί τινες ὀχετοὶ τὸ οἰκεῖον ἑκάτερος σωληνοειδῶς περιέχοντες
p. 134. πνεῦμά τε καὶ αἷμα, ὡς ἂν εὐπόρευτον εἴη [11] τὸ ὑγρὸν, τῇ τοῦ θερμοῦ κινήσει συμπαροδεῦον καὶ κουφιζόμενον, ἐφ' ἅπαν τὸ σῶμα πολυσχιδῶς κατασπείρονται, εἰς μυρίας ὀχετῶν ἀρχάς τε καὶ διαφύσεις κατὰ πᾶν μέρος διασχιζόμενοι. Μιχθεῖσαι δὲ πρὸς ἀλλήλας τῶν ζωτικῶν δυνάμεων αἱ δύο ἀρχαὶ, ἥ τε τὸ θερμὸν πανταχῇ κατὰ τὸ σῶμα, καὶ ἡ τὸ ὑγρὸν ἐπιπέμπουσα, καθάπερ τινὰ δασμὸν ἀναγκαῖον ἐκ τῶν οἰκείων τῇ ἀρχηγικωτέρᾳ τῆς ζωτικῆς οἰκονομίας δυνάμει δωροφοροῦσιν. Ἔςι δ' αὕτη ἡ κατὰ τὰς μήνιγγας καὶ τὸν ἐγκέφαλον θεωρουμένη, ἀφ' ἧς πᾶσα μὲν ἄρθρου κίνησις, πᾶσα δὲ μυῶν συνολκὴ, πᾶν δὲ προαιρετικὸν [12] πνεῦμα τοῖς καθ' ἕκαςον μορίοις ἐπιπεμπόμενον ἐνεργόν τε καὶ κινούμενον τὸν γήϊνον ἡμῶν ἀνδριάντα καθάπερ ἐκ μηχανῆς τινος ἀποδείκνυσι. Τοῦ τε γὰρ θερμοῦ τὸ καθαρώτατον καὶ τοῦ ὑγροῦ τὸ λεπτό-

11) M. τὸ ὑγρόν τε τοῦ θερμοῦ κ. σ. κ. κουφιζόμενον, ἐφ' ἅπαν. — 12) M. πνεῦμα καὶ τοῖς.

den Eingeweiden eine Zeit lang Nahrung gewährt. Denn wenn sie durch einen geradeauslaufenden Kanal leicht und schnell ausgeworfen würden, so würde man auf diese Weise sogleich wieder von Verlangen nach Essen ergriffen werden, und somit der Mensch in der Weise der unvernünftigen Natur in dieser Beschäftigung niemals innehalten. Da jedoch vorzugsweise auch die Leber der Beihilfe der Wärme zur Bereitung des Blutes aus den nassen Stoffen bedarf, sie aber von dem Herzen entfernt gelegen ist (es konnte nämlich, meinem Dafürhalten nach, die eine Quelle und Wurzel der Lebenskraft nicht auf allzuengem Raum mit der anderen zusammengebracht werden), so nimmt, damit in Folge der Entfernung von der wärmenden Substanz die Ordnung und Erhaltung des Körpers keine Beeinträchtigung erleide, ein muskelartiger Kanal (der Sachverständige nennt ihn mit dem Namen Arterie) das Wärmefluidum des Herzens auf und führt es der Leber zu, ziemlich in derselben Gegend wo auch die nassen Bestandtheile Eingang finden einmündend, versetzt darauf durch die Wärme die Feuchtigkeit in Wallung und theilt derselben etwas dem Feuer Verwandtes mit, indem er das Blut röthet und ihm somit die jenem eigene Farbe giebt. Von dort entspringen dann ein Paar Kanäle von welchen ein jeder röhrenartig Luft und Blut enthält, damit die Feuchtigkeit von der Bewegung der Wärme begleitet und leichter gemacht einen rascheren Lauf gewinne, und verbreiten sich in vielfachen Zertheilungen durch den ganzen Körper, indem sie sich in viele Tausende von Kanalanfängen und Abzweigungen nach allen Richtungen hin zerspalten. Die sich miteinander vermischenden beiden Hauptquellen der Lebenskräfte, von welchen die eine die Wärme, die andere die Feuchtigkeit nach allen Richtungen des Körpers verbreitet, zahlen der noch wichtigeren und höherstehenden Kraft des Lebensorganismus aus ihren Mitteln gleichsam einen nothwendigen Tribut. Diese Kraft ist die welche wir in dem Gehirn und seinen Häutchen wahrnehmen, und von welcher jede Gliedbewegung, jede Anziehung der Muskeln ausgeht, ferner aller Willensgeist den einzelnen Gliedern zugeführt wird, und welche dadurch unser irdenes Gebild, wie durch eine Maschine, voll Thätigkeit und Bewegung erscheinen läßt. Denn eine durch Mischung und Durchdringung bewirkte innigste Verbindung der

τατον παρ' ἑκατέρας δυνάμεως διά τινος μίξεώς τε καὶ ἀνακράσεως ἑνωθέντα τρέφει τε καὶ συνίστησι διὰ τῶν ἀτμῶν τὸν ἐγκέφαλον· ἀφ' οὗ πάλιν ἐπὶ τὸ καθαρώτατον ἐκλεπτυνομένη ἡ ἀπ' ἐκείνου ἀνάδοσις ὑπαλείφει τὸν περιεκτικὸν τοῦ ἐγκεφάλου ὑμένα, ὃς ἄνωθεν ἐπὶ τὸ βάθος αὐλοειδῶς διήκων διὰ τῶν καθεξῆς σπονδύλων, ἑαυτὸν δὲ καὶ τὸν ἐγκείμενον αὐτῷ μυελὸν διεξάγων, τῇ βάσει συναπολήγει τῆς ῥάχεως, πάσαις ὀςέων τε καὶ ἁρμονιῶν συμβολαῖς καὶ μυῶν ἀρχαῖς οἷόν τις ἡνίοχος αὐτὸς ἐνδιδοὺς τῆς καθ' ἕκαςον κινήσεώς τε καὶ ςάσεως τὴν ὁρμὴν καὶ τὴν δύναμιν. Διὰ τοῦτό μοι δοκεῖ καὶ ἀσφαλεςέρας ἠξιῶσθαι φρουρᾶς, καὶ κατὰ μὲν τὴν κεφαλὴν διπλαῖς ὀςέων περιβολαῖς ἐν κύκλῳ διειλημμένος, ἐν δὲ τοῖς σπονδύλοις ταῖς τε τῶν ἀκανθῶν προβολαῖς καὶ ταῖς πολυτρόποις κατὰ τὸ σχῆμα διαπλοκαῖς, δι' ὧν ἐν ἀπαθείᾳ πάσῃ φυλάττεται, διὰ τῆς περιεχούσης αὐτὸν φρουρᾶς τὸ ἀσφαλὲς ἔχων. Ὁμοίως δ' ἄν τις καὶ περὶ τῆς καρδίας ςοχάσαιτο ὅτι καθάπερ τις οἶκος ἀσφαλὴς αὕτη διὰ τῶν ςεῤῥοτάτων περιηρμόσθη ταῖς τῶν ὀςέων ἐν κύκλῳ περιοχαῖς ὀχυρωμένη. Κατόπιν μὲν γάρ ἐςιν ἡ ῥάχις ταῖς ὠμοπλάταις ἑκατέρωθεν ἠσφαλισμένη, καθ' ἑκάτερον δὲ πλά-
p. 135. γιον ἡ τῶν πλευρῶν θέσις περιπτύσσουσα τὸ μέσον δυςπαθὲς ἀπεργάζεται, ἐν δὲ τοῖς ἔμπροσθεν τὸ ςέρνον καὶ ἡ τῆς κλειδὸς συζυγία προβέβληται, ὡς ἂν πανταχόθεν αὐτῇ τὸ ἀσφαλὲς ἀπὸ τῶν ἔξωθεν διοχλούντων φυλάσσοιτο. Οἷον δὲ κατὰ τὴν γεωργίαν ἔςιν ἰδεῖν, τῆς ἐκ νεφῶν ἐπομβρίας, ἢ τῆς τῶν ὀχετῶν ἐπιῤῥοῆς διάβροχον ποιούσης τὸ ὑποκείμενον, — κῆπος δέ τις ὑποκείσθω τῷ λόγῳ, μυρίας μὲν δένδρων διαφορὰς, παντοδαπὰς δὲ τῶν ἐκ γῆς φυομένων ἰδέας ἐν ἑαυτῷ τρέφων, ὧν καὶ τὸ σχῆμα καὶ ἡ ποιότης καὶ ἡ τῆς χρόας ἰδιότης ἐν πολλῇ διαφορᾷ τοῖς καθ' ἕκαςον ἐνθεωρεῖται, — τοσούτων τοίνυν κατὰ τὸν ἕνα χῶρον τῷ ὑγρῷ τρεφομένων ἡ μὲν ὑπονοτίζουσα τὰ καθ' ἕκαςον δύναμις, μία τις κατὰ τὴν φύσιν ἐςὶν, ἡ δὲ τῶν τρεφομένων ἰδιότης εἰς διαφόρους τὸ ὑγρὸν με-

reinsten Wärmetheile und des feinsten Feuchtigkeitstoffs aus beiden Kräften ernährt und erhält durch seine Dünste das Gehirn, und von diesem tränkt wiederum ein zur höchsten Reinheit gesteigertes neues Product das das Gehirn einschließende Häutchen, welches von Oben nach Unten röhrenartig durch die Reihe der Wirbelknochen sich sammt dem in ihm enthaltenen Mark fortsetzt, und an dem Ausgang des Rückgrats mit diesem zugleich endigt, und welches in allen Knochen- und Gelenkfügungen und Muskelanfängen wie ein Wagenlenker zu jeder Bewegung wie zu jedem Stillstand den Antrieb und die Kraft selbst ertheilt. Deßhalb scheint mir es auch eines festeren Schutzes für werth erachtet worden zu sein, indem es einerseits im Kopfe durch doppelte Knochenmauern rings eingeschlossen ist, andererseits in den Wirbelknochen durch die spitzen Vorsprünge und die vielfache Verknotung längs des Rückgrats, durch welche jede Verletzung und jeder störende äußere Einfluß fern gehalten wird, als einer schützenden Umgebung seine Sicherheit erhält. In ähnlicher Weise kann man auch von dem Herzen annehmen daß es wie ein geschütztes Haus rings durch die feste Umwandung der Knochen zu seiner Sicherheit eingeschlossen ist. Hinten nämlich befindet sich das durch die beiden Schulterblätter von beiden Seiten geschützte Rückgrat, während von beiden Seiten sich die Rippen herumschließen und das in der Mitte Gelegene gegen Verletzung schützen, und von Vorne die Brust und die beiden Schlüsselbeine eine wehrende Mauer bilden, damit es so von allen Seiten gegen äußere störende Einflüsse sicher bewahrt bleibt. Was wir aber beim Feldbau sehen, wenn der Regen aus den Wolken oder die Berieselung aus den Gräben das betreffende Stück Land durchnetzt, — nehmen wir an es sei ein Garten welcher tausenderlei verschiedene Bäume und allerlei Arten von niedrigeren Erdgewächsen in sich nährt, deren Gestalt, Qualität und Farbeneigenthümlichkeit in reicher Mannigfaltigkeit in den einzelnen auftreten: die jedes einzelne von so vielen auf einem Raume durch die Feuchtigkeit ernährten Gewächsen netzende Kraft ist ihrer Natur nach eben nur eine einzige, die Eigenthümlichkeit hingegen der durch dieselbe gespeisten

ταβάλλει ποιότητας· τὸ γὰρ αὐτὸ πικραίνεται μὲν ἐν τῇ ἀψίνθῳ, εἰς φθοροποιὸν δὲ χυμὸν ἐν τῷ κωνείῳ μεθίςαται, καὶ ἄλλο ἐν ἄλλῳ γίνεται ἐν κρόκῳ, ἐν βαλσάμῳ, ἐν μήκωνι (τῷ μὲν γὰρ ἐκθερμαίνεται, τῷ δὲ καταψύχεται, τῷ δὲ μέσην ἔχει ποιότητα), καὶ ἐν δάφνῃ καὶ ἐν [13]σχίνῳ καὶ τοῖς τοιούτοις εὔπνουν ἐςὶν, ἐν συκῇ δὲ καὶ ὄχνῃ κατεγλυκάνθη, καὶ διὰ τῆς ἀμπέλου βότρυς καὶ οἶνος ἐγένετο, καὶ ὁ τοῦ μήλου [14]χυμὸς, καὶ τὸ τοῦ ῥόδου [15]ἐρύθημα, καὶ τὸ τοῦ κρίνου λαμπρὸν, καὶ τὸ κυανίζον τοῦ ἴου, καὶ τὸ [16]πορφύρεον τῆς ὑακινθίνης βαφῆς, καὶ [17]πάντα ὅσα κατὰ τὴν γῆν ἔςιν ἰδεῖν, ἐκ μιᾶς καὶ τῆς αὐτῆς ἰκμάδος ἀναβλαςάνοντα εἰς τοσαύτας διαφορὰς κατά τε τὸ σχῆμα καὶ τὸ εἶδος καὶ τὰς ποιότητας διακρίνεται· — τοιοῦτόν τι καὶκατὰ τὴν ἔμψυχον ἡμῶν ἄρουραν θαυματοποιεῖται παρὰ τῆς φύσεως, μᾶλλον δὲ παρὰ τοῦ δεσπότου [18]τῆς φύσεως. Ὀςέα καὶ χόνδροι, φλέβες, ἀρτηρίαι, νεῦρα, σύνδεσμοι, σάρκες, δέρμα, πιμελαὶ, τρίχες, ἀδένες, ὄνυχες, ὀφθαλμοὶ, μυκτῆρες, ὦτα, πάντα τὰ τοιαῦτα, καὶ μυρία πρὸς τούτοις ἄλλα διαφόροις ἰδιότησιν ἀπ᾽ ἀλλήλων κεχωρισμένα, μιᾷ τῇ τῆς τροφῆς ἰδέᾳ καταλλήλως τῇ ἑαυτῶν τρέφεται φύσει, ὡς ἑκάςῳ τῶν ὑποκειμένων τὴν τροφὴν προσεγγίσασαν, ᾧπερ ἂν ἐμπελάσῃ, κατ᾽ ἐκεῖνο καὶ ἀλλοιοῦσθαι, οἰκείαν καὶ συμφυῆ τῇ τοῦ μέρους ἰδιότητι γινομένην. Εἰ γὰρ κατὰ τὸν ὀφθαλμὸν γένοιτο,τῷ ὁρατικῷ μορίῳ συγκατεκράθη, καὶ τῶν περὶ τὸν ὀφθαλμὸν χιτώνων ταῖς διαφοραῖς οἰκείως
[p. 136.] εἰς ἕκαςον κατεμερίσθη· εἰ δὲ τοῖς κατὰ τὴν ἀκοὴν μέρεσιν ἐπιῤῥυῇ, τῇ ἀκουςικῇ καταμίγνυται φύσει, καὶ ἐν χείλει γενόμενον χεῖλος ἐγένετο, καὶ ἐν ὀςέῳ πήγνυται, καὶ ἐν μυελῷ ἁπαλύνεται, καὶ τονοῦται μετὰ τοῦ νεύρου, καὶ τῇ ἐπιφανείᾳ συμπεριτείνεται, καὶ εἰς ὄνυχας διαβαίνει, καὶ εἰς τριχῶν γένεσιν λεπτοποιεῖται τοῖς καταλλήλοις

13) M. σχοίνῳ. — 14) M. χυλὸς. — 15) M. ἐρύθρημα. — 16) M.

Pflanzen wandelt die Feuchtigkeit in verschiedene Qualitäten um; denn der gleiche Stoff wird im Wermuth bitter, setzt sich im Schierling in einen todtbringenden Saft um, wird wieder etwas Anderes im Safran, etwas Anderes in der Balsamstaude, etwas Anderes im Mohn (sofern er in dem Einen hitzige, in dem Anderen kühlende, in dem Dritten eine mittlere Eigenschaft erlangt), gewinnt im Lorbeer, im Mastix, und ähnlichen, Wohlgeruch, wird in dem Feigenbaum und Birnbaum süß und im Weinstock zur Traube und Wein, und der Saft des Apfels, das Roth der Rose, der Glanz der Lilie, die Bläue des Veilchens, das röthliche Blau in der Färbung der Hyacinthe, kurz Alles was man auf der Erde sieht, wächst aus einem und demselben Naß empor, und geht in so viele Verschiedenheiten nach Gestalt, Aussehen und Eigenschaften auseinander: — so ein ähnliches Wunder wirkt die Natur, oder vielmehr der Herr der Natur, auch auf dem lebendigen Feld unseres Körpers. Knochen und Knorpel, Adern, Arterien, Muskeln, Bänder, Fleisch, Haut, Fett, Haare, Drüsen, Nägel, Augen, Nase, Ohren, und alles übrige unzählige Derartige, was durch verschiedene Eigenschaften unter sich auseinander geht, Alles wird durch die eine Art von Speise in jener der Natur der einzelnen entsprechenden Weise ernährt, dergestalt daß die zugeführte Nahrung allemal nach desjenigen Gliedes Eigenthümlichkeit sich verändert und in sein besonderes Wesen, sich ihm verbindend, übergeht welchem sie nahe gekommen ist. Gelangt sie an das Auge, so vermischt sie sich mit dem Gesichtsorgan, und vertheilt sich je entsprechend an die verschiedenen Hüllen des Auges. Strömt sie den Gehörtheilen zu, so mischt sie sich mit der Natur des Gehörs. Kommt sie in die Lippen, so wird sie Lippe; sie gewinnt in den Knochen Festigkeit, Weiche in dem Mark, Spannungskraft mit der Sehne, streckt sich aus mit der Hautfläche des Körpers, geht in die Nägel über, und verfeinert sich in den zu dieser Function nöthigen Ausdünstungen bis zur Erzeugung der Haare, so zwar

---

πορφυραῖον τῆς ὑακίνθου. — 17) M. πάνθ' ὅσα. — 18) τῆς fehlt bei M., steht aber in der Baseler Ausg.

ἀτμοῖς, εἰ μὲν διὰ σκολιῶν προάγοιτο πόρων, οὐλοτέρας τε καὶ κατηγκυλωμένας τὰς τρίχας ἐκφύουσα, εἰ δὲ δι' εὐθείας ἡ τῶν τριχοποιῶν ἀτμῶν γένοιτο πρόοδος, τεταμένας τε καὶ εὐθείας προάγουσα.

Ἀλλὰ πολὺ τῶν προκειμένων ὁ λόγος ἡμῖν ἀποπεπλάνηται, τοῖς ἔργοις ἐμβαθύνων τῆς φύσεως, καὶ ὑπογράφειν ἐπιχειρῶν ὅπως ἡμῖν καὶ ἐξ ὁποίων συνέςηκε τὰ καθ' ἕκασον, τά τε πρὸς τὸ ζῆν, καὶ τὰ πρὸς τὸ εὖ ζῆν, καὶ εἴ τι μετὰ [19]τοῦτον ἕτερον κατὰ τὴν πρώτην διαίρεσιν ἐνοήσαμεν. Τὸ γὰρ προκείμενον ἦν δεῖξαι τὴν σπερματικὴν τῆς συςάσεως ἡμῶν αἰτίαν μήτε ἀσώματον εἶναι ψυχὴν, μήτε ἄψυχον σῶμα, ἀλλ' ἐξ ἐμψύχων τε καὶ ζώντων σωμάτων ζῶν καὶ ἔμψυχον παρὰ τὴν πρώτην ἀπογεννᾶσθαι ζῶον, ἐκδεξαμένην δὲ τὴν ἀνθρωπίνην φύσιν καθάπερ τινὰ τροφὸν ταῖς οἰκείαις δυνάμεσιν αὐτὴν τιθηνήσασθαι. Τὴν δὲ τρέφεσθαι κατ' ἀμφότερα, καὶ καταλλήλως ἐν ἑκατέρῳ μέρει τὴν αὔξησιν ἐπίδηλον ἔχειν· εὐθὺς μὲν γὰρ διὰ τῆς τεχνικῆς ταύτης καὶ ἐπιςημονικῆς διαπλάσεως τὴν συμπεπλεγμένην αὐτῇ τῆς ψυχῆς ἐνδείκνυται δύναμιν, ἀμυδρότερον μὲν κατὰ τὴν πρώτην ἐκφαινομένην, καθεξῆς δὲ τῇ τοῦ ὀργάνου τελειώσει συναναλάμπουσαν. Οἷον δὲ ἐπὶ τῶν λιθογλύφων ἔςιν ἰδεῖν — πρόκειται μὲν γὰρ τῷ τεχνίτῃ ζώου τινὸς εἶδος ἐν λίθῳ δεῖξαι, τοῦτο δὲ προθέμενος πρῶτον μὲν τὸν λίθον τῆς συμφυοῦς ὕλης ἀπέῤῥηξεν, εἶτα περικόψας αὐτοῦ τὰ περιττὰ προήγαγέ πως διὰ τοῦ πρώτου σχήματος τῇ μιμήσει [20]τὸ κατὰ πρόθεσιν, ὥςε καὶ τὸν ἄπειρον διὰ τῶν φαινομένων τοῦ σκοποῦ τῆς τέχνης καταςοχάσασθαι, πάλιν ἐπεργασάμενος προςήγγισε πλέον τῇ ὁμοιότητι τοῦ
p. 137. σπουδαζομένου, εἶτα τὸ τέλειον καὶ ἀκριβὲς εἶδος ἐγχειρουργήσας τῇ ὕλῃ εἰς πέρας τὴν τέχνην προήγαγε, καὶ ἔςι λέων, ἢ ἄνθρωπος, ἢ ὅ τι ἂν τύχῃ παρὰ τοῦ τεχνίτου γενόμενον, ὁ πρὸ βραχέος ἄσημος λίθος, οὐ τῆς ὕλης

19) M. τούτων. — 20) M. τῇ κατά.

daß, wenn sie durch krumme Kanäle vorgetrieben wird, sie krause und geringelte Haare erzeugt, wenn dagegen die haarerzeugenden Dünste den geraden Weg nehmen, sie lange und gerade Haare hervorbringt.

Aber unsere Rede hat eine weite Abschweifung gemacht, indem sie sich in die Werke der Natur vertiefte und von ihnen eine kurze Beschreibung zu geben versuchte, wie und woraus alles Einzelne in uns geordnet und eingerichtet sei, erstlich die Theile welche zum Leben, zweitens die welche zum angenehmen Leben vorhanden sind, und was drittens unserer ersten Eintheilung zufolge sonst noch in Betracht gezogen wurde. Denn die Hauptsache war, zu zeigen daß der unsere Existenz begründende Same weder eine Seele ohne Körper, noch ein Körper ohne Seele sei, sondern daß er aus beseelten und lebenden Körpern zunächst selbst als ein lebendes und beseeltes Wesen erzeugt werde, dann die menschliche Natur in sich aufnehme und sie wie eine Amme mit seinen Kräften und Mitteln aufziehe, diese aber werde nach beiden Seiten hin ernährt, und es trete dem entsprechend auch in ihren beiden Theilen ihr Wachsthum deutlich hervor. Denn sie giebt sofort durch diesen kunstvollen und geschickten Bau die Verbindung der Kraft der Seele mit ihr kund, welche Kraft anfangs wohl noch dunkel erscheint, in der Folge aber mit der Vollendung des Organismus in hellstes Licht tritt. Was man aber bei einem Bildhauer sehen kann — gesetzt es habe sich der Künstler vorgenommen ein lebendes Wesen in Stein darzustellen, da bricht er sich zu diesem Zwecke zunächst den Stein aus der Masse, mit der er verbunden ist, los, dann schlägt er davon alles Ueberflüssige rings ab und fördert nun nachahmend in erster roher Gestaltung das was er zu bilden sich vorgenommen hat, dergestalt daß auch der nicht Sachverständige aus dem was ihm vor Augen steht die Absicht der Kunst errathen kann, arbeitet wiederum weiter und bringt sein Werk der Aehnlichkeit mit dem was er schaffen will immer näher, giebt darauf dem Stoff seine Vollendung und genaueste Aehnlichkeit mit dem Vorbild und führt so seine Kunst zu ihrem Endziele, und nun ist der vor Kurzem umgeformte Stein ein Löwe, oder Mensch, oder was sonst Anderes der Künstler eben geschaffen hat, so zwar daß nicht der Stoff in das was er jetzt scheint umge-

πρὸς τὸ εἶδος ὑπαμειφθείσης, ἀλλὰ τοῦ εἴδους ἐπιτεχνηθέντος τῇ ὕλῃ, — τοιοῦτόν [21]τις καὶ ἐπὶ τῆς ψυχῆς λογισάμενος τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. Τὴν γὰρ πάντα τεχνιτεύουσαν φύσιν ἐκ τῆς ὁμογενοῦς ὕλης λαβοῦσαν ἐν ἑαυτῇ τὸ ἐκ τοῦ ἀνθρώπου μέρος δημιουργεῖν ἀνδριάντα φαμέν. Ὥςπερ δὲ τῇ κατ' ὀλίγον ἐργασίᾳ τοῦ λίθου τὸ εἶδος ἐπηκολούθησεν, ἀμυδρότερον μὲν παρὰ τὴν πρώτην, τελειότερον δὲ μετὰ τὴν τοῦ ἔργου συμπλήρωσιν, οὕτω καὶ ἐν τῇ τοῦ ὀργάνου γλυφῇ τὸ τῆς ψυχῆς εἶδος κατὰ τὴν ἀναλογίαν τοῦ ὑποκειμένου προφαίνεται, ἀτελὲς ἐν τῷ ἀτελεῖ, καὶ ἐν τῷ τελείῳ τέλειον. Ἀλλ' ἐξ ἀρχῆς ἂν τέλειον ἦν, εἰ μὴ διὰ τῆς κακίας ἡ φύσις ἐκολοβώθη. Διὰ τοῦτο ἡ πρὸς τὴν ἐμπαθῆ καὶ ζωώδη γένεσιν κοινωνία οὐκ εὐθὺς [22]ἐκλάμπειν ἐν τῷ πλάσματι τὴν θείαν εἰκόνα ἐποίησεν, ἀλλ' ὁδῷ τινι καὶ ἀκολουθίᾳ διὰ τῶν ὑλικῶν τε καὶ ζωωδεςέρων τῆς ψυχῆς ἰδιωμάτων ἐπὶ τὸ τέλειον ἄγει τὸν ἄνθρωπον. Τὸ δὲ τοιοῦτον δόγμα καὶ
1 Corinth. 13, 11. ὁ μέγας ἀπόςολος ἐν τῇ πρὸς Κορινθίους διδάσκει, λέγων Ὅτε ἤμην [23]νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην, ὅτε δὲ γέγονα ἀνήρ, κατήργησα τὰ τοῦ νηπίου. Οὐκ ἄλλης ἐν τῷ ἀνδρὶ τῆς ψυχῆς ἐπειςελθούσης παρὰ τὴν ἐν τῷ μειρακίῳ νοουμένην ἡ νηπιωδεςέρα καταργεῖται διάνοια, καὶ ἡ ἀνδρώδης ἐγγίνεται, ἀλλὰ τῆς αὐτῆς ἐν ἐκείνῳ μὲν τὸ ἀτελὲς, ἐν τούτῳ δὲ διαδεικνυούσης τὸ τέλειον. Ὥςπερ γὰρ τὰ φυόμενά τε καὶ αὐξάνοντα ζῆν λέγομεν, πάντα τε τὰ ἐν μετουσίᾳ ζωῆς καὶ φυσικῆς ὄντα κινήσεως οὐκ ἄν τις ἄψυχα φήσειεν, οὐ μὴν οὐδὲ τελείας ψυχῆς μετέχειν τὴν τοιαύτην ζωὴν ἔςιν εἰπεῖν. Γενομένη γὰρ ἐν τοῖς φυτοῖς ψυχική τις ἐνέργεια μέχρι τῶν κατ' αἴσθησιν κινημάτων οὐκ ἔφθασε. Πάλιν δὲ κατὰ προςθήκην δύναμίς τις ψυχικὴ

21) M. τι. — 22) M. ἐκλ. τὴν θείαν εἰκόνα ἐν τ. πλ. ἐποίησεν. — 23) M. νήπιος, ἐλάλουν ὡς νήπιος, ἐλογιζόμην ὡς νήπιος, ὅτε δὲ.

lichen Willen abhängig ist, und daß das irdische Leben von Oben her regiert wird, allein andernseits haben wir die Ueberzeugung gewonnen daß der glückliche Erfolg solcher Bitten andere Ursachen hat, da Gott diese Güter durchaus nicht denen welche darum bitten schlechthin gewährt, sondern sie aus dem Grunde spendet damit hierdurch den Oberflächlicheren ihr Gottvertrauen gestärkt werde, und wenn wir nach und nach durch die Erfahrung belehrt werden wie Gott bei unbedeutenderen Bitten unser Flehen erhört, endlich zu dem Verlangen nach seinen erhabenen und seiner würdigen Spenden emporsteigen. Wie wir es bei unseren Kindern sehen, welche eine Zeit lang an der Mutterbrust hangen und so viel ihre Natur verträgt von der verlangen welche sie geboren hat, daß das Kind aber dann wenn es gewachsen ist und einige Sprachfertigkeit erlangt hat, die Brust verschmäht, und nach solchen Dingen etwa, wie ein Schmuck, oder ein Kleid, und nach Aehnlichem Verlangen empfindet, woran sein Auge sich ergötzt, später aber wenn es in ein noch reiferes Alter eingetreten, und der Geist mit dem Körper gleichmäßig entwickelt ist, alle kindischen Wünsche bei Seite läßt, und die Aeltern um das bittet was dem reifen Lebensalter ansteht, so sucht auch Gott durch Alles den Menschen zu gewöhnen auf ihn zu schauen, und verschmäht darum oftmals auch nicht unerheblichere Bitten zu erhören, damit er durch seine Güte im Kleinen den welcher seiner Gnadengabe theilhaftig geworden ist zu dem Verlangen nach Höherem auffordere. Auch du also erkenne, wenn Der oder Jener von dunklerer Geburt nach dem Rathschluß der göttlichen Vorsehung ein bekannter und allgemein angesehener Mann wird, oder sich ein anderes der in diesem Leben erstrebten Güter erwirbt, die hohe Beamtenstellung im Staate, oder Reichthum, oder Berühmtheit, auch du also erkenne hierin den Zweck daß dir diese Güte Gottes als ein Beweis seiner Macht in großen Dingen gelten soll, damit du auf Grund der Gewährung deiner kleinen kindischen Freuden dem Vater deine Bitten um Größeres und Vollkommneres darbringen möchtest. Darunter begreift sich aber Alles was der Seele Gewinn bringt. Es würde höchst thöricht sein Gott in der Absicht zu nahen um von dem Ewigen das Zeitliche zu erbitten, von dem

ἐπουρανίου τὰ ἐπίγεια, παρὰ τοῦ ὑψηλοῦ τὰ χαμαίζηλα, παρὰ τοῦ βασιλείαν οὐρανῶν δωρουμένου τὴν γηΐνην ταύτην καὶ ταπεινὴν εὐκληρίαν, παρὰ τοῦ [29]τὰ ἀναφαίρετα χαριζομένου τὴν ἐν ὀλίγῳ τῶν ἀλλοτρίων χρῆσιν, ὧν ἀναγκαία μὲν ἡ ἀφαίρεσις, πρόςκαιρος δὲ ἡ ἀπόλαυσις, ἐπικίνδυνος δὲ ἡ οἰκονομία. Καλῶς δὲ παρίςησι τῇ προςθήκῃ τὸ ἄτοπον, εἰπὼν, Ὥςπερ οἱ ἐθνικοί· τὸ γὰρ περὶ τὰ φαινόμενα τὴν σπουδὴν ἔχειν ἴδιόν ἐςι τῶν
Matth. 6, 7. μηδεμίαν τοῦ μέλλοντος αἰῶνος ἑαυτοῖς ὑποτιθεμένων
D ἐλπίδα, μὴ κρίσεως φόβον, μὴ γεέννης ἀπειλὴν, μὴ ἀγαθῶν προςδοκίαν, μὴ ἄλλο τι τῶν κατὰ τὴν ἀνάςασιν ἐλπιζομένων, οἳ βοσκημάτων δίκην πρὸς τὸν παρόντα ὁρῶντες βίον, ὅπερ ἂν λαιμῷ καὶ κοιλίᾳ καὶ ταῖς λοιπαῖς τοῦ σώματος ἡδυπαθείαις χαρίζωνται, τοῦτο ἐν ἀγαθῶν κρίνουσι μοίρᾳ, ἢ τὸ πρωτεῦσαί τινων, καὶ τὸ ὑπὲρ τοὺς λοιποὺς νομισθῆναι, ἢ πολλοῖς ἐπικαθευδῆσαι ταλάντοις, ἢ εἴ τι ἄλλο τῆς βιωτικῆς ἀπάτης ἐςὶν, οἷς
p. 723. εἴ τις ἂν λέγοι περὶ τῆς μελλούσης ἐλπίδος, λῆρος ἄ-
A τικρυς εἶναι δοκεῖ, παράδεισον καὶ βασιλείαν καὶ οὐρανῶν διαγωγὴν, καὶ τὰ τοιαῦτα διεξερχόμενος. Ἐπεὶ τοίνυν ἴδιόν ἐςι τῶν μὴ ἐχόντων ἐλπίδα τὸ προςτετηκέναι τῇ παρούσῃ ζωῇ, καλῶς τὰ περιττὰ καὶ μάταια τῆς ἐπιθυμίας, ἃ δι᾽ εὐχῆς οἴονται κατορθοῦν ἑαυτοῖς οἱ φιλήδονοι, τῶν ἐθνικῶν ὁ λόγος εἶναί φησι, τῶν νομιζόντων ἐκ τοῦ προςλιπαρεῖν περὶ τῶν ἀτόπων συνεργὸν ἐπὶ τὰ μὴ δέοντα τὸ θεῖον ἕξειν· δοκοῦσι γὰρ, φησὶν, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰςακουσθήσονται.

B Ἀλλὰ ταῦτα μὲν, ἃ δεῖ [30]μὴ αἰτεῖν, δι᾽ ὧν ἐξητάσαμεν ἐδιδάχθημεν. Οἵαν δὲ προςήκει τῷ θεῷ προςάγειν τὴν δέησιν, ἐν τοῖς ἐφεξῆς ἀκουσώμεθα χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

29) τὰ fehlt in den Ausgaben. — 30) Kr. γινώσκειν.

Himmlischen das Irdische, von dem Erhabenen das Niedrige, von dem welcher das Himmelreich spendet das Loos dieses irdischen und gemeinen Glücks, von dem welcher Dinge schenkt welche uns Nichts rauben kann, die kurze Benutzung von Dingen die nicht unser sind, und deren Verlust eine Nothwendigkeit, deren Genuß ein vorübergehender, deren Verwaltung eine gefahrvolle ist. Treffend aber bezeichnet die Schrift die Thorheit noch durch den Zusatz, Wie die Heiden; denn nach dem Sichtbaren zu trachten ist denen eigen welche sich keine Hoffnung machen auf das künftige Leben, keine Furcht haben vor dem Gericht, keine Drohung der Hölle kennen, keine Erwartung von Gütern, kurz Nichts von dem was bei der Auferstehung von uns gehofft wird, welche nach Art der Thiere ihre Blicke auf das gegenwärtige Leben richten und alles dasjenige was sie der Gurgel, dem Bauche und den übrigen Genüssen des Körpers freigebig spenden, oder auch unter Mehreren den ersten Rang einzunehmen und vor den Uebrigen Geltung zu besitzen, oder auf vielen Geldsäcken zu schlafen, oder was sonst noch zu dem Trug des Lebens gehört, für ein Gut halten, Menschen welchen, wollte man zu ihnen von der Hoffnung der Zukunft sprechen, man bei Erwähnung des Paradieses, des Reiches, der Himmel, und ähnlicher Dinge, geradezu als ein Schwätzer vorkommen würde. Da es also denen welche keine Hoffnung haben eigen ist an dem gegenwärtigen Leben zu haften, so spricht es die Schrift treffend aus daß die überflüssigen und nichtigen Wünsche, an deren Erfüllung durch das Gebet die den Lüsten Ergebenen glauben, der Heiden sind, welche da wähnen durch unablässiges Bitten um unstatthafte und sündige Dinge Gott zum Helfer für unerlaubte Handlungen gewinnen zu können. Denn sie glauben, sagt sie, daß sie erhört werden wenn sie viel Worte machen.

Das ists um was man nicht bitten soll, wie wir durch unsere Untersuchung belehrt worden sind. Welcher Art aber die Bitte sein müsse welche man an Gott richtet, das werden wir in dem Folgenden vernehmen, durch die Gnade unseres Herrn Jesu Christi, welchem die Herrlichkeit und die Macht gehört bis in Ewigkeit. Amen.

ΛΟΓΟΣ β'.

C *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.*

Ὅτε προςῆγεν ὁ μέγας Μωϋσῆς τῇ κατὰ τὸ ὄρος μυςαγωγίᾳ τὸν Ἰσραηλίτην λαὸν, οὐ πρότερον αὐτοὺς τῆς θεοφανείας ἠξίωσεν, πρὶν ἁγνείᾳ τε καὶ περιῤῥαντισμῷ νομοθετῆσαι τῷ λαῷ τὸ καθάρσιον. Καὶ οὐδὲ οὕτως
D *ἐθάρσησαν τῆς θείας δυνάμεως τὴν ἐμφάνειαν, ἀλλὰ πρὸς πᾶν κατεπλάγησαν τὸ φαινόμενον, τὸ πῦρ, τὸν γνόφον, τὸν καπνὸν, τὰς σάλπιγγας· καὶ πρὸς ἑαυτοὺς πάλιν ἀποςραφέντες ἠξίουν τὸν νομοθέτην αὐτοῖς μεσίτην γενέσθαι τοῦ θείου βουλήματος, ὡς οὐχ ἱκανῆς οὔσης τῆς δυνάμεως αὐτῶν προςεγγίσαι τῷ θεῷ καὶ θείαν ἐμφάνειαν δέξασθαι. Ὁ δὲ ἡμέτερος νομοθέτης, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριςὸς, προςάγειν ἡμᾶς τῇ θείᾳ χάριτι μέλλων, οὐχὶ Σίναιον ἡμῖν ὄρος τῷ λόγῳ προδείκνυσι γνόφῳ κε-*
p. 724. *καλυμμένον, καὶ πυρὶ καπνιζόμενον, οὐδὲ σαλπίγγων φω-*
A *νὰς ἄσημόν τι καὶ καταπληκτικὸν ἀπηχούσας, οὐδὲ τριημέροις ἁγνείαις καὶ ὕδατι ῥύπον ἐκπλύνοντι τὴν ψυχὴν ἐκκαθαίρει, οὐδὲ πᾶσαν τὴν ἐκκλησίαν ἐν τῇ ὑπωρείᾳ καταλιπὼν ἑνὶ μόνῳ τὴν ἄνοδον ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους χαρίζεται, τὴν κεκαλυμμένην τῷ γνόφῳ τῷ τὴν δόξαν θεοῦ περικρύπτοντι, ἀλλὰ πρῶτον μὲν ἀντὶ τοῦ ὄρους ἐπ' αὐτὸν ἀνάγει τὸν οὐρανὸν, βατὸν τοῖς ἀνθρώποις αὐτὸν διὰ τῆς ἀρετῆς καταςήσας, ἔπειτα δὲ οὐ θεατὰς μόνον*
B *τῆς θείας δυνάμεως, ἀλλὰ καὶ κοινωνοὺς ἀπεργάζεται, καὶ εἰς συγγένειαν τρόπον τινὰ τῆς ὑπερκειμένης φύσεως τοὺς προςιόντας ἄγει, οὐδὲ γνόφῳ κατακρύπτει τὴν ὑπερέχουσαν δόξαν, ὡς δυςθεώρητον τοῖς ἀναζητοῦσιν εἶναι, ἀλλὰ τῷ τηλαυγεῖ φωτὶ τῆς διδασκαλίας τὸν γνόφον καταφωτίσας ἐπὶ λαμπρᾶς αἰθρίας τοῖς καθαροῖς τὴν καρδίαν τὴν ἄφραςον δόξαν καθορᾶσθαι ἐποίησεν. Ὕδωρ δὲ περιῤῥαίνειν οὐκ ἐξ ἀλλοτρίων ναμάτων, ἀλλὰ τὸ ἐν ἡμῖν αὐτοῖς ἀναβρύον χαρίζεται, εἴτε τὰς τῶν ὀφθαλμῶν*
C *τις λέγοι πηγὰς, εἴτε τὴν καθαρὰν τῆς καρδίας συνείδησιν, μηδεμίαν ἰλὺν ἀπὸ κακίας ἐπαγομένην. Ἁγνείαν δὲ*

Zweite Rede.

Unser Vater, der Du bist im Himmel.

Als der große Moses das Israelitische Volk der heiligen Lehre auf dem Berge zuführte, hielt er sie nicht eher für würdig vor Gottes Antlitz zu treten als bis er durch Sühnung und Besprengung dem Volke sich zu reinigen geboten hatte. Aber auch so waren sie nicht ohne Zagen vor der Offenbarung der göttlichen Macht und entsetzten sich vor jeder Erscheinung, vor dem Feuer, der Finsterniß, dem Rauch, den Posaunen, und nachdem sie wieder zu sich gekommen waren, baten sie den Gesetzgeber daß er ihr Vermittler mit dem göttlichen Willen werden wolle, weil ihre Kraft nicht stark genug sei Gott zu nahen und seine Erscheinung zu ertragen. Dagegen läßt uns unser Gesetzgeber, unser Herr Jesus Christus, da er uns der göttlichen Gnade zuzuführen im Begriff steht, mit seinem Wort keinen in Dunkel eingehüllten, von Feuer rauchenden Berg Sinai sehen und keine verworrenen und Entsetzen verbreitenden Posaunentöne vernehmen, noch reinigt er durch dreitägige Sühnung und den Schmuz abspülendes Wasser die Seele, noch läßt er die ganze Versammlung am Fuße des Berges stehen, und behält sich allein das Besteigen des Berggipfels vor, welcher in ein die Glorie Gottes verbergendes Dunkel gehüllt ist, sondern erstlich führt er uns anstatt auf den Berg in den Himmel selbst, und bahnt den Menschen den Weg dahin durch die Tugend, dann macht er uns nicht bloß zu Zuschauern allein der göttlichen Macht, sondern auch zu Theilnehmern derselben, und bringt die Herantretenden gewissermaßen in ein verwandtschaftliches Verhältniß zu dem allerhabenen Wesen, verbirgt nicht die Herrlichkeit seiner Glorie in Finsterniß, so daß er für die welche ihn suchen schwer zu erschauen ist, sondern er erleuchtet mit dem hellstrahlenden Lichte seiner Lehre die Finsterniß und läßt in leuchtender Helligkeit diejenigen welche reinen Herzens sind seine unbeschreibliche Herrlichkeit schauen. Wasser aber zum Besprengen giebt er uns nicht aus fremden Bächen, sondern das was in uns selbst aufquillt, mag man nun als seine Quelle die Augen oder das reine Bewußtsein des Herzens nennen, welches keinen Schlamm von der Bosheit mit sich führt. Sein Gebot geht ferner nicht bloß auf Rein-

οὐ μόνον ἀπὸ τῆς ἐννόμου τῶν γαμετῶν ὁμιλίας, ἀλλ' ἀπὸ πάσης ὑλικῆς τε καὶ ἐμπαθοῦς διαθέσεως νομοθετήσας, οὕτως προςάγει διὰ τῆς προςευχῆς τῷ θεῷ. Αὕτη γὰρ τῶν ῥημάτων ἡ δύναμις, δι' ὧν οὐχὶ φωνάς τινας ἐν συλλαβαῖς ἐκφωνουμένας μανθάνομεν διὰ τοῦ λόγου, ἀλλ' ἐπίνοιαν τῆς πρὸς τὸν θεὸν ἀναβάσεως δι' ὑψηλῆς πολιτείας κατωρθωμένην. Ἔξεςι δὲ δι' αὐτῶν τῶν τῆς προς-
D ευχῆς λόγων τὴν θείαν μυςαγωγίαν κατανοῆσαι. Ὅταν προςεύχησθε, φησίν· οὐκ εἶπεν, Ὅταν εὔχησθε, ἀλλ', Ὅταν προςεύχησθε, ὡς τοῦ κατὰ τὴν εὐχὴν ἤδη προκατορθωθῆναι προςήκοντος, πρὶν διὰ τῆς προςευχῆς τῷ θεῷ προςεγγίσαι. Τίς δὲ ἡ τῶν ὀνομάτων τούτων κατὰ τὸ σημαινόμενόν ἐςι διαφορά; Ὅτι εὐχὴ μὲν ἔςιν ἐπαγγελία τινὸς τῶν κατ' εὐσέβειαν ἀφιερουμένων, προςευχὴ δὲ αἴτησις ἀγαθῶν μετὰ ἱκετηρίας προςαγομένη θεῷ. Ἐπεὶ οὖν παῤῥησίας ἡμῖν χρεία ὅταν προςίωμεν θεῷ τὰς ὑπὲρ τῶν λυσιτελούντων ἱκετηρίας ποιούμενοι, ἀναγκαίως τὸ κατὰ τὴν εὐχὴν προηγήσεται, ἵνα τὸ παρ' ἑαυτῶν ἐκτελέσαντες,
p. 725. A οὕτως θαρσοῦντες τὸ παρὰ τοῦ θεοῦ ἀντιλαβεῖν ἀξιώσωμεν. Διό φησιν ὁ προφήτης ὅτι, Τὰς εὐχάς μου ἀποδώσω σοι, ἃς διέςειλε τὰ χείλη μου, καὶ, Εὔξασθε καὶ ἀπόδοτε κυρίῳ τῷ θεῷ ἡμῶν. Καὶ πολλαχοῦ τῆς γραφῆς τὴν τοιαύτην [1] ἔςιν τῆς εὐχῆς σημασίαν εὑρεῖν, ὥςε γνῶναι ἡμᾶς ὅτι εὐχὴ μὲν ἐςι, καθὼς εἴρηται, χαριςήριος δωροφορίας ἐπαγγελία· ἡ δὲ προςευχὴ τὴν μετὰ τὴν ἐκπλήρωσιν τῆς ἐπαγγελίας τῷ θεῷ γινομένην πρόςοδον διερμηνεύει. Διδάσκει οὖν ἡμᾶς ὁ λόγος μὴ πρότερον αἰτεῖσθαί τι παρὰ τοῦ θεοῦ, πρὶν αὐτῷ
B τι τῶν κεχαρισμένων δωροφορῆσαι· εὔξασθαι γὰρ χρὴ πρότερον, εἶτα προςεύξασθαι, ὡς εἴ τις λέγοι προηγεῖσθαι τὴν σπορὰν τῆς ἐπικαρπίας. Οὐκοῦν [2] χρὴ πρότερον ἡμᾶς καταβαλεῖν τῆς εὐχῆς τὰ σπέρματα, καὶ οὕτως αὐξηθεῖσαν τὴν καταβολὴν τῶν σπερμάτων καρπώσασθαι, διὰ τῆς προςευχῆς τὴν χάριν [3] ἀντιλαμβάνοντας. Ὡς οὖν οὐκ ἐσομένης ἐν παῤῥησίᾳ τῆς ἐντεύξεως εἰ μὴ ἐπὶ προ-

Psalm. 65, 13. et 76, 11.

1) Kr. ἔςιν ἰδεῖν τ. εὐχῆς σημασίαν, ὥςτε. — 2) Kr. χρὴ καταβαλεῖν πρότερον τῆς εὐχῆς. — 3) Die Ausgaben bieten ἀντιλαμβάνοντα.

heit von dem Verheiratheten erlaubten ehelichen Umgang, sondern auf eine Reinheit von jeglicher materialen und leidenschaftlichen Gemüthsverfassung, und so führt er uns durch das Gebet Gott zu. Denn das ist die Bedeutung seiner Rede, in welcher wir keineswegs eben nur nach Silben ausgesprochene Wörter vernehmen, sondern ein Mittel uns auf Grund eines erhabenen Wandels ein Aufsteigen zu Gott zu sichern. Doch können wir ja durch die Worte des Gebets selbst die heilige Lehre uns zu Herzen führen. Wenn Ihr betet, heißt es; er sagt nicht, Wenn Ihr gelobet, sondern, Wenn Ihr betet, wie wenn man den durch das Gelöbniß versprochenen richtigen Wandel bereits begonnen haben müsse, ehe man sich Gott betend nahet. Welches ist der Unterschied in der Bedeutung dieser Ausdrücke? Das Eine bezeichnet bloß das Versprechen einer Sache welche man in frommer Gesinnung als ein Weihgeschenk darbringt, das Andere ein Bitten um Güter welches man unter Flehen vor Gott bringt. Da wir nun uns frei und offen aussprechen müssen, wenn wir vor Gott treten und unser Flehen nach dem was uns frommt kundgeben, so muß nothwendiger Weise die Erfüllung des Gelöbnisses vorausgehen, damit wir nach Erfüllung dessen was uns obliegt, so Muth fassen Gott um das Seinige zu bitten. Deßhalb sagt der Prophet, Ich will dir meine Gebete bezahlen, welche meine Lippen gelobt haben, und, Betet und bezahlet dem Herrn unserem Gott. In dieser Bedeutung kann man häufig in der Schrift das Wort Gebet angewendet finden, so daß wir sehen, Gebet ist in diesem Sinne, wie gesagt, das Gelöbniß einer Gabe des Dankes, unser Gebet hingegen bezeichnet den Hintritt vor Gott nach Erfüllung des Gelöbnisses. Es lehrt uns demnach die Schrift nicht eher Etwas von Gott zu bitten als man ihm etwas Werthes als Gabe dargebracht hat; denn erst muß man geloben, dann beten, wie wenn man sagt daß die Saat der Ernte vorausgehe. Deßhalb müssen wir zuerst den Samen des Gelöbnisses auswerfen, um dann den ausgestreuten Samen mit Wucher wieder zu ernten, indem wir vermittelst des Gebetes die Gegengabe uns auswirken. Da nun der Zutritt zu Gott nicht gestattet sein wird, wenn man nicht nach vorausgeschicktem Gelöbniß und vorher darge-

ληφθείσῃ εὐχῇ τινι καὶ δωροφορίᾳ ἡ πρόσοδος γένοιτο, ἀναγκαίως ἡ εὐχὴ τῆς προσευχῆς προηγήσεται. Ὡς οὖν
Luc. 11, 2. ἤδη τούτου κατορθωθέντος φησὶ πρὸς τοὺς μαθητὰς ὁ κύριος, Ὅταν προσεύχησθε, λέγετε, Πάτερ ἡμῶν ὁ ἐν
C τοῖς οὐρανοῖς. Τίς δώσει μοι πτέρυγας, ὡσεὶ περιστε-
Psalm. 54, 6. ρᾶς, φησί που τῆς ψαλμῳδίας ὁ μέγας Δαυίδ· εἴποιμι δ' ἂν καὶ αὐτὸς, τολμήσας τὴν ἴσην φωνήν, Τίς δώσει μοι τὰς πτέρυγας ἐκείνας πρὸς τὸ δυνηθῆναι τῷ ὕψει τῆς τῶν ῥημάτων μεγαλοφυΐας συναναπτῆναι κατὰ διάνοιαν, ὥστε καταλιπεῖν μὲν τὴν γῆν πᾶσαν, διαπερᾶσαί τε πάντα τὸν ἐν μέσῳ κεχυμένον ἀέρα, καταλαβεῖν δὲ τὸ αἰθέριον κάλλος, καὶ ἐπὶ τὰ ἄστρα φθάσαι, καὶ πᾶσαν
D τὴν ἐν αὐτοῖς διακόσμησιν κατιδεῖν, στῆναι δὲ μηδὲ ἐν τούτοις, ἀλλὰ διεξελθεῖν καὶ διὰ τούτων, καὶ πάντων τῶν κινουμένων τε καὶ μεθισταμένων ἐκτὸς γενέσθαι, καὶ καταλαβεῖν τὴν ἑστῶσαν φύσιν, τὴν ἀμετακίνητον δύναμιν, τὴν ἐφ' ἑαυτῆς καθιδρυμένην, τὴν πάντα ἄγουσάν τε καὶ φέρουσαν ὅσα ἐν τῷ εἶναι ἐστιν, πάντα τὰ τοῦ ἀφράστου θελήματος τῆς θείας σοφίας ἐξηρτημένα, ὥστε πάντων τῶν ἀλλοιουμένων τε καὶ μεθισταμένων πόῤῥω τῇ διανοίᾳ γενόμενος ἐν ἀτρέπτῳ τε καὶ ἀκλινεῖ τῇ τῆς ψυχῆς καταστά-
p. 726. σει τὸν ἄτρεπτόν τε καὶ ἀναλλοίωτον διὰ τῆς γνώμης
A πρότερον οἰκειώσασθαι, εἶθ' οὕτω τῇ οἰκειοτάτῃ προσηγορίᾳ ἐπικαλέσασθαι καὶ εἰπεῖν, Πάτερ; Οἵας γὰρ τῷ λέγοντι χρεία ψυχῆς, ὅσης τῆς παῤῥησίας, οἵας τῆς συνειδήσεως, ἵνα θεὸν νοήσας, ὡς ἔστι δυνατὸν, ἐκ τῶν ἐπινοουμένων αὐτῷ προσηγοριῶν πρὸς τὴν σύνεσιν τοῦ ἀφράστου δόξης χειραγωγούμενος, καὶ μαθὼν ὅτι ἡ θεία φύσις, ὅ τί ποτέ ἐστιν, αὐτοαγαθότης ἐστὶν, ἁγιασμὸς, ἀγαλλίαμα, δύναμις, δόξα, καθαρότης, ἀϊδιότης, ἀεὶ κατὰ τὰ αὐτὰ
B καὶ ὡσαύτως ἔχουσα, καὶ ὅσα τοιαῦτα νενόηται περὶ τὴν θείαν φύσιν, διά τε τῆς θείας γραφῆς καὶ τῶν οἰκείων λογισμῶν κατανοήσας, εἶτα τολμήσει τὴν τοιαύτην προέσθαι φωνὴν, καὶ τὸν τοιοῦτον ἑαυτοῦ κατονομάσαι πατέρα; Δῆλον γὰρ ὅτι, εἰ μετέχοι τινὸς διανοίας, οὐκ ἂν θαρσήσειεν, μὴ τὰ αὐτὰ καὶ ἐν ἑαυτῷ βλέπων, ἐκείνην

brachter Gabe ihm nahet, so muß nothwendiger Weise das Gelöbniß dem Gebet vorausgehen. Gleich als ob dies nun bereits geschehen, spricht der Herr zu den Jüngern, Wenn Ihr betet, sprecht, Unser Vater in dem Himmel. Wer wird mir Flügel geben, wie die einer Taube? spricht irgendwo in seinen Psalmen der große David. Auch ich möchte das gleiche Wort wagen und sprechen, Wer giebt mir jene Flügel, um im Geiste den gleichen Höhenflug unternehmen zu können mit der Erhabenheit der Worte, so daß ich hinter mir lasse die ganze Erde, das ganze in der Mitte liegende Luftmeer durcheile, und die ätherische Schönheit erfasse, zu den Sternen eile, und ihre ganze Herrlichkeit erschaue, aber auch dabei nicht stehen bleibe, sondern selbst über diese hinaus die Grenzen alles Wandelbaren und Veränderlichen überschreite, und die unveränderliche Natur erfasse, die unwandelbare Macht, welche auf sich selbst gegründet ist und Alles führt und trägt was ein Dasein hat, Alles was von dem unaussprechlichen Willen der göttlichen Weisheit abhängig ist, so daß ich im Geiste mich von allem Veränderlichen und Wandelbaren weit entferne und in fester und nicht zu verrückender Seelenverfassung mir den welcher fest und unwandelbar ist durch meine Gesinnung zuerst zu eigen mache, und dann mit der Anrede innigster Vertraulichkeit ihn anrufe und spreche, Vater! Denn was für eine Seele muß der also Sprechende haben, welche Sicherheit, was für ein Gewissen, um, wenn er, durch die ihm anhaftenden Benennungen zum Verständniß seiner unsagbaren Herrlichkeit angeleitet, Gott, so weit es möglich ist, erkannt hat, und gelernt daß die göttliche Natur, was sie auch sein mag, die Güte selbst ist, die Heiligung, die Freude, die Macht, die Herrlichkeit, die Reinheit, die Ewigkeit, welche sich stets gleich und dieselbe bleibt, und nachdem er mit Hilfe der heiligen Schrift und seines eigenen Denkens alle Eigenschaften der göttlichen Natur überdacht hat, dann dieses Wort auszusprechen, und zu wagen dies erhabene Wesen Vater zu nennen! Denn wenn er etwas Verstand hat, wird er offenbar nicht den Muth besitzen das Wort Vater! Gott gegenüber

προέσθαι πρὸς τὸν θεὸν τὴν φωνὴν, καὶ εἰπεῖν, Πάτερ.
Τῆς γὰρ πονηρᾶς προαιρέσεως ὁ ἀγαθὸς κατ' οὐσίαν πα-
τὴρ γενέσθαι φύσιν οὐκ ἔχει, οὔτε τοῦ κατὰ τὸν βίον βε-
βηλωθέντος ὁ ἅγιος, οὔτε τοῦ περιτρεπομένου ὁ ἀναλ-
C λοίωτος, οὔτε τοῦ νεκρωθέντος ἐξ ἁμαρτίας ὁ πατὴρ τῆς
ζωῆς, οὔτε τῶν ἐν τοῖς πάθεσι τῆς ἀτιμίας ἀσχημονούν-
των ὁ καθαρὸς καὶ ἀκήρατος, οὔτε τοῦ πλεονέκτου ὁ εὐ-
εργέτης, οὔτε ὅλως τῶν ἔν τινι κακῷ εὑρισκομένων ὁ ἐν
παντὶ ἀγαθῷ θεωρούμενος. Εἰ γάρ τις πρὸς ἑαυτὸν βλέ-
πων ἔτι καθαρσίου [4] δεόμενον, καὶ τὴν μοχθηρὰν ἑαυτοῦ
συνείδησιν ἐπιγινώσκων πλήρη κηλίδων καὶ πονηρῶν ἐγ-
καυμάτων, πρὶν καθαρθῆναι τῶν [5] τοιούτων κακῶν πρὸς
τὴν τοῦ θεοῦ συγγένειαν ἑαυτὸν εἰςποιοῖ καὶ λέγοι, Πά-
τερ, τῷ δικαίῳ ὁ ἄδικος, [6] καὶ τῷ καθαρῷ ὁ ἀκάθαρτος,
D ὕβρις ἄντικρυς ἂν εἴη καὶ [7] λοιδορίας τὰ ῥήματα, εἴπερ
τῆς ἰδίας μοχθηρίας πατέρα τὸν θεὸν ὀνομάζοι· ἡ γὰρ
τοῦ πατρὸς φωνὴ τὴν αἰτίαν τοῦ ἐξ αὐτοῦ ὑποςάντος δια-
σημαίνει. Οὐκοῦν ὁ μοχθηρὸς τὴν συνείδησιν, εἰ πατέρα
ἑαυτοῦ τὸν θεὸν λέγοι, οὐδὲν ἕτερον ἢ τῶν ἰδίων κακῶν
ἀρχηγόν τε καὶ αἴτιον αὐτὸν εἶναι κατηγορήσει. Ἀλλ' οὔ
2 Cor. 6, 14. τις κοινωνία φωτὶ πρὸς σκότος, φησὶν ὁ ἀπόςολος,
ἀλλὰ τῷ φωτὶ φῶς [8] προςῳκείωται, καὶ τῷ δικαίῳ τὸ
δίκαιον, καὶ τῷ καλῷ τὸ καλὸν, καὶ τῷ ἀφθαρτῷ τὸ ἄ-
p. 727. A φθαρτον. Τὰ δὲ ἐναντία πρὸς τὰ ὁμογενῆ πάντως τὴν
Matth. 6, 18. συγγένειαν ἔχει. Οὐ γὰρ δύναται δένδρον καλὸν. καρ-
ποὺς πονηροὺς ποιεῖν. Εἰ τοίνυν βαρυκάρδιός τις
ὢν, καθὼς φησιν ἡ γραφὴ, καὶ τὸ ψεῦδος ζητῶν
Psalm. 4, 2. κατατολμᾷ τῶν τῆς προσευχῆς ῥημάτων, γινωσκέτω ὅτι
οὐ τὸν οὐράνιον ὁ τοιοῦτος πατέρα καλεῖ, ἀλλὰ τὸν
καταχθόνιον, ὃς αὐτός τε ψεύςης ἐςὶν καὶ τοῦ ἐν
ἑκάςῳ συνιςαμένου ψεύδους πατὴρ [9] γίνεται. Ἐκεῖνος
ἁμαρτία καὶ ἁμαρτίας πατήρ. Διὰ τοῦτο οἱ ἐμπαθεῖς

---

4) Kr. δεόμενος. — 5) Kr. τοιούτων τε καὶ τοσούτων κακῶν. — 6) καὶ fehlt in den Ausgaben. — 7) Kr. λοιδορία. — 8) Kr. προςοικειοῦται. — 9) In den Ausgaben ist interpunctiert γίνεται, ἐκεῖνος ἁμ.

auszusprechen, da er in sich nicht die gleichen Eigenschaften wie an ihm wahrnimmt. Denn der welcher seinem Wesen nach gut ist vermag seiner Natur nach nicht Vater des bösen Willens zu werden, noch der Heilige ein Vater dessen welcher sich durch sein Leben besudelt hat, noch der Unwandelbare ein Vater des Unstäten und Vergänglichen, noch der Vater des Lebens ein Vater dessen welcher durch die Sünde den Tod empfangen hat, noch der Reine und Fleckenlose ein Vater der durch schmachvolle Leidenschaften Verunzierten, noch der Wohlthäter ein Vater des Habsüchtigen, noch überhaupt der welcher uns in vollendeter Güte entgegentritt ein Vater derer welche in irgend einem Bösen erfunden werden. Denn wenn Jemand Angesichts seiner selbst, des noch der sühnenden Reinigung Ermangelnden, und in Erkenntniß seines beladenen Gewissens, welches über und über von kleineren und größeren Schlechtigkeiten gebrandmarkt ist, eher sich in die Verwandtschaft mit Gott einführt als er sich von so großen Schlechtigkeiten gereinigt hat, und spricht, Vater!, er der Ungerechte zu dem Gerechten, und der Unreine zu dem Reinen, so ist es geradezu Frevel und sind Worte der Lästerung, sofern er ja Gott mit der Benennung Vater zum Vater seiner eigenen Schuldbeladenheit macht; denn der Ausdruck Vater bezeichnet den Ursprung dessen welcher von dem Vater stammt. Wenn also Jemand mit einem schuldbeladenen Gewissen Gott seinen Vater nennt, so wird er nichts Anderes thun als ihn als Urheber und Ursache seiner Missethaten anschuldigen. Aber es ist keine Gemeinschaft des Lichts mit der Finsterniß, spricht der Apostel, sondern dem Licht ist Licht verwandt, der Gerechtigkeit die Gerechtigkeit, dem Guten das Gute, und dem Unvergänglichen das Unvergängliche. Die Gegentheile davon können jedenfalls nur wieder mit dem ihnen Gleichartigen in Verwandtschaft stehen. Denn ein guter Baum kann keine schlechten Früchte tragen. Wenn also Einer mit beladenem Herzen, und wie sich die Schrift ausdrückt, die Lüge suchend, die Worte des Gebets zu gebrauchen wagt, der erfahre daß er nicht den himmlischen Vater, sondern den Vater der Hölle anruft, welcher selbst ein Lügner ist und zum Vater der in einem Jeden entstehenden Lüge wird. Er ist die Sünde und Vater der Sünde. Deßhalb werden die welche den

Eph. 2, 3. τὴν ψυχὴν ὀργῆς τέκνα παρὰ τοῦ ἀποςόλου προσαγο-
2 Thess. 2. 3. ρεύονται, καὶ ὁ τῆς ζωῆς ἀποςὰς ἀπωλείας υἱὸς ὀνο-
Judith 16, 12. B μάζεται, καὶ τις βλακώδης καὶ θηλυδρίας υἱὸς κορα-
1 Thessal. 5, 5. σίων αὐτομολούντων προσηγορεύθη. Ὡςαύτως καὶ ἐκ
Jud. 16, 2. et 21, 10. τοῦ ἐναντίου οἱ λαμπροὶ τὴν συνείδησιν υἱοὶ φωτὸς καὶ
1 Reg. 10. 26. ἡμέρας προσαγορεύονται, καὶ δυνάμεως υἱοὶ ἕτεροι οἱ
2 Reg. 13, 28. πρὸς τὴν θείαν ἰσχὺν ἑαυτοὺς τονώσαντες. Ὅταν τοί-
4 Reg. 2, 16. νυν πατέρα τὸν θεὸν λέγειν ἡμᾶς ἐν τῇ προσευχῇ διδάσκῃ ὁ κύριος, οὐδὲν ἕτερόν μοι δοκεῖ ποιεῖν ἢ τὸν ὑψηλόν τι καὶ ἐπηρμένον [10] ἡμῖν νομοθετεῖν βίον· οὐ γὰρ δὴ ψεύδεσθαι διδάσκει ἡμᾶς ἡ ἀλήθεια, ὥςε λέγειν ὃ μή ἐσμεν καὶ ὀνομάζειν ὃ μὴ πεφύκαμεν, ἀλλὰ πατέρα λέγοντας
C ἑαυτῶν τὸν ἄφθαρτόν τε καὶ δίκαιον καὶ ἀγαθὸν, ἐπαληθεύειν τῷ βίῳ τὴν ἀγχιςείαν. Ὁρᾷς ὅσης ἡμῖν παρασκευῆς ἐςι χρεία, οἵου βίου, πόσης καὶ [11] ποταπῆς σπουδῆς, ὥςε ποτὲ πρὸς τοῦτο τὸ μέτρον τῆς παῤῥησίας ὑψωθείσης ἡμῶν τῆς συνειδήσεως τολμῆσαι εἰπεῖν τῷ θεῷ ὅτι, Πάτερ. Εἰ γὰρ περὶ τὰ χρήματα βλέποις, εἰ περὶ τὴν βιωτικὴν ἀπάτην ἠσχολημένος εἴης, ἢ τὴν ἐξ ἀνθρώπων δόξαν ἀναζητοίης, [12] ἢ τῶν ἐπιθυμιῶν ταῖς ἐμπαθε-
D ςέραις δουλεύοις, ἔπειτα τὴν τοιαύτην προσευχὴν διὰ ςόματος λάβοις, τί οἴει ἐρεῖν τὸν εἰς τὸν βίον σου βλέποντα καὶ τῆς [13] εὐχῆς ἐπαΐοντα; Ἐγὼ μὲν γὰρ τοιούτων τινῶν ῥημάτων ἀκούειν δοκῶ, ὡςανεὶ τοῦ θεοῦ πρὸς τὸν τοιοῦτον λέγοντος, Πατέρα καλεῖς, ὁ κατεφθαρμένος τῷ βίῳ τὸν τῆς ἀφθαρσίας πατέρα; τί μολύνεις τῇ ῥυπαρᾷ σου φωνῇ τὸ ἀκήρατον ὄνομα; τί καταψεύδῃ τοῦ ῥήματος; τί καθυβρίζεις τὴν ἀμόλυντον φύσιν; Εἰ τέκνον ἦς ἐμὸν, ἐκ τῶν ἐμῶν ἀγαθῶν ἔδει πάντως καὶ τὸν σὸν βίον χαρακτηρίζεσθαι. Οὐκ ἐπιγινώσκω τῆς ἐμῆς φύσεως ἐν σοὶ
p. 728. A τὴν εἰκόνα· ἐκ τῶν ἐναντίων οἱ χαρακτῆρες. Τίς κοινω-
2 Corinth. 6, 14. νία φωτὶ πρὸς σκότος; τίς ζωῆς καὶ θανάτου συγγένεια; τίς οἰκειότης τῷ καθαρῷ τὴν φύσιν πρὸς [14] τὸν ἀκάθαρ-

10) ἡμῖν fehlt in den Ausgaben; dieselben bieten im Folgenden auch λέγοντες für λέγοντας. — 11) Kr. ποταπῆς ἐςι τῆς σπουδῆς. — 12. Kr. εἰ. — 13. Kr. προςευχῆς. — 14) Kr. τὸ.

Leidenschaften fröhnen in ihrer Seele Kinder des Zorns von dem Apostel genannt, und heißt der von dem Leben Abgefallene ein Kind des Verderbens, und wer träge und weibisch ist, der hat den Namen eines Kinds entlaufender Mägdlein erhalten. Ebenso führen im Gegentheile die welche ein klares Gewissen haben den Namen Kinder des Lichts und des Tages, und wieder Andere, welche sich an der Kraft Gottes gestärkt haben, den Namen Kinder der Kraft. Wenn uns nun der Herr in dem Gebet lehrt Gott Vater zu nennen, so scheint er mir damit nichts Anderes zu thun als uns das Leben in sittlicher Höhe und Erhabenheit als ein Gebot hinzustellen. Denn in der That lehrt uns die Wahrheit nicht lügen, so daß wir sagen was wir nicht sind, und uns einen Namen geben welcher uns nicht gehört, sondern daß, wenn wir den Unvergänglichen und Gerechten und Guten Vater nennen, wir durch unser Leben unsere Verwandtschaft bewähren sollen. Du siehst welcher Vorbereitung, welches Lebens, eines wie großen und mächtigen Eifers wir Noth haben, um unser Gewissen zu dem Grade der Freiheit erheben zu können wo wir wagen dürfen zu Gott Vater zu sagen. Denn wenn du deine Blicke auf das Geld richtest, wenn du mit dem Truge des täglichen Lebens beschäftigt bist, oder Ruhm bei Menschen suchst, oder wenn du ein Sclave deiner leidenschaftlicheren Begierden bist, und dann dieses Gebet in den Mund nimmst, was glaubst du daß der welcher dein Leben sieht und dein Flehen hört dazu sagen wird? Mir ist es als ob ich etwa solche Worte sprechen hörte, wie wenn Gott zu einem Solchen sagte, Du, der in seinem Leben Verderbte, nennst Vater den Vater der Unverdorbenheit? was besudelst du mit deinem unreinen Munde den makellosen Namen? was legst du eine Lüge in das Wort? was höhnst du die unentweihte Natur? Wärst du mein Kind, so mußte durchaus auch dein Leben nach dem Vorbild meiner Vollkommenheiten gestaltet werden. Ich erkenne nicht in dir das Bild meiner Natur. Die Kennzeichen deuten auf das Gegentheil. Was hat das Licht für eine Gemeinschaft mit der Finsterniß? welche Verwandtschaft hat das Leben und der Tod? wie paßt zu dem seiner Natur nach Reinen der Unreine? Es liegt ein großer Zwischenraum zwi-

τον; Πολὺ τοῦ εὐεργετοῦντος πρὸς τὸν πλεονέκτην τὸ μέ-
σον. Ἄμικτος ἡ τοῦ ἐλεήμονος καὶ τοῦ ἀπηνοῦς ἐναντίω-
σις. Ἄλλος πατὴρ τῶν ἐν σοὶ κακῶν. Τὰ γὰρ ἐμὰ γεν-
νήματα τοῖς πατρῴοις ἀγαθοῖς καλλωπίζεται· τέκνον τοῦ
ἐλεήμονος ὁ ἐλεήμων, καὶ τοῦ καθαροῦ ὁ καθαρὸς, ὁ
[15]φθορᾶς ἀλλότριος τοῦ ἀφθάρτου, καὶ τὸ ὅλον ἐξ ἀγα-
θοῦ ἀγαθὸς καὶ ἐκ δικαίου δίκαιος. Ὑμᾶς δὲ οὐκ οἶδα
πόθεν ἐςέ. Οὐκοῦν ἐπικίνδυνον πρὶν καθαρθῆναι τῷ βίῳ
B τῆς προςευχῆς ταύτης κατατολμῆσαι, καὶ πατέρα ἑαυτοῦ
τὸν Θεὸν ὀνόμασαι. Ἀλλὰ ἀκούσωμεν τῶν τῆς προςευχῆς
ῥημάτων πάλιν, εἴ τις ἄρα γένοιτο ἡμῖν τῶν κρυφίων τοῦ
νοῦ κατανόησις διὰ τῆς συνεχεςέρας ἐπαναλήψεως. Πά-
τερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Ὅτι μὲν οὖν χρὴ τῷ κατ'
ἀρετὴν βίῳ τὸν Θεὸν οἰκειώσασθαι, μετρίως ἡμῖν διὰ τῶν
προλαβόντων ἐξήταςαι λόγων. Δοκεῖ δέ μοι καὶ βαθυ-
τέραν τινὰ διάνοιαν ὑποσημαίνειν ὁ λόγος· ταῦτα γὰρ
ὑπόμνησιν ἡμῖν ἐμποιεῖ τῆς τε πατρίδος ἧς ἐκπεπτώκα-
C μεν, καὶ τῆς εὐγενείας ἧς ἀπεβλήθημεν. Καὶ γὰρ ἐν τῷ
κατὰ τὸν νέον διηγήματι τὸν ἀποςάντα τῆς πατρῴας
Luc. 15, 12 sqq. ἑςίας καὶ πρὸς τὸν χοιρώδη βίον αὐτομολήσαντα τὴν ἀν-
θρωπίνην ἀθλιότητα δείκνυσιν ὁ λόγος, ἱςορικῶς διηγού-
μενος τὴν ἀποφοίτησιν αὐτοῦ καὶ τὴν ἀσωτίαν, οὐ πρό-
τερον δὲ αὐτὸν ἐπανάγει πρὸς τὴν ἐξ ἀρχῆς εὐκληρίαν,
πρὶν αἴσθησιν αὐτὸν τῆς παρούσης ἀναλαβεῖν συμφορᾶς,
καὶ εἰς ἑαυτὸν ἐλθεῖν καὶ μελετῆσαι τὰ τῆς μεταμελείας
ῥήματα. Ταῦτα δὲ ἦν συμβαίνοντά πως τοῖς τῆς προς-
ευχῆς λόγοις· [16]φησὶν γὰρ ἐκεῖ, Πάτερ, ἥμαρτον εἰς τὸν
D οὐρανὸν καὶ ἐνώπιόν σου· οὐκ ἂν προςθεὶς τῇ ἐξομολο-
γήσει τὴν εἰς τὸν οὐρανὸν ἁμαρτίαν, μὴ πεπεισμένος ἑαυ-
τοῦ πατρίδα εἶναι τὸν οὐρανὸν, ὃν καταλιπὼν ἐπλημμέ-
λησεν. Διὰ τοῦτο καὶ εὐπρόσιτον αὐτῷ τὸν πατέρα ἡ
μελέτη τῆς τοιαύτης ἐξομολογήσεως ἀπεργάζεται, ὥςε καὶ
προςδραμεῖν αὐτῷ καὶ φιλήματι τὸν τράχηλον δεξιώσα-
σθαι, ὅπερ σημαίνει τὸν λογικὸν ζυγὸν τὸν διὰ ςόματος

15) Kr. φθόρος. — 16) Kr. ἔφησε.

schen dem der wohlthut und dem der geizig und habsüchtig ist. Unvereinbar stehen sich die Begriffe von Mitleidig und von Unbarmherzig gegenüber. Für das Böse in dir giebt es einen anderen Vater; denn meine Kinder schmücken sich mit den Tugenden ihres Vaters: das Kind des Barmherzigen ist der Barmherzige, und des Reinen der Reine, des dem Verderben Fremden der Unverdorbene, kurz von dem Guten stammt der Gute und von dem Gerechten der Gerechte. Woher Ihr aber seid weiß ich nicht! Sonach ist es gefahrvoll, ehe man sich in seinem Lebenswandel gereinigt hat, dies Gebet zu wagen und Gott seinen Vater zu nennen. Doch, hören wir nochmals die Worte des Gebets, ob uns vielleicht durch die öftere Wiederholung ein Verständniß des versteckten Sinnes zu Theil wird. Unser Vater, der du bist im Himmel. Daß wir also durch einen tugendhaften Lebenswandel uns Gott gewinnen müssen, ist in dem was vorausgieng hinlänglich untersucht worden. Die Worte scheinen mir aber auch noch eine tiefere Bedeutung zu haben; denn sie gewähren uns eine Erinnerung an das Vaterland, aus welchem wir vertrieben worden sind, und an die edle Abkunft, die wir verloren haben. Auch in der Erzählung von dem Jüngling welcher den väterlichen Heerd verlassen hatte, und zu dem unreinen Leben der Schweine übergegangen war, zeigt uns die Schrift das menschliche Elend, indem sie von seinem Weggang und seiner Schwelgerei erzählt und ihn nicht eher zu dem anfänglichen Glück zurückkehren läßt, als bis er im Gefühl seines gegenwärtigen Unglücks in sich gegangen war, und auf die Worte der Reue gesonnen hatte. Diese aber stimmen gewissermaßen mit den Worten des Gebets. Er sagt nämlich dort, Vater, ich habe gesündigt gegen den Himmel und vor dir! Gewiß würde er nicht die Sünde gegen den Himmel seinem Bekenntniß noch hinzugefügt haben, wenn er nicht überzeugt gewesen wäre daß der Himmel sein Vaterland war, welches er aufgab als er sündigte. Darum macht auch eine solche Art von Bekenntniß, auf welches sein Nachdenken ihn geführt, ihm den Vater leicht zugänglich, so daß er ihm entgegenläuft und unter Küssen seinen Nacken umschlingt — das bedeutet den Zügel der Vernunft, welcher durch die Ueberlieferung des Evangeliums dem Menschen, der

ἐπιβληθέντα τῷ ἀνθρώπῳ διὰ τῆς εὐαγγελικῆς παραδό σεως, τῷ ἐκδύντι τὴν πρώτην τῆς ἐντολῆς ζεύγλην καὶ
p. 729. ἀποσεισαμένῳ τὸν φυλάσσοντα νόμον, περιθεῖναι δὲ αὐ-
A τῷ καὶ τὴν ϛολὴν, οὐκ ἄλλην, ἀλλὰ τὴν πρώτην, ἧς ἐγυμνώθη διὰ τῆς παρακοῆς, ὁμοῦ τῇ γεύσει τῶν ἀπειρημένων γυμνὸν ἑαυτὸν θεασάμενος· ὅ τε περὶ τὴν χεῖρα δακτύλιος διὰ τῆς ἐν τῇ σφενδόνῃ γλυφῆς τὴν τῆς εἰκόνος ἐπανάληψιν ὑποσημαίνει· ἀσφαλίζεται δὲ καὶ τοὺς πόδας τοῖς ὑποδήμασιν, ὡς ἂν μὴ γυμνῇ τῇ πτέρνῃ τῇ κεφαλῇ τοῦ ὄφεως προσεγγίζων ἐμπίπτοι τῷ δήγματι. Ὥςπερ τοίνυν ἐκεῖ τῆς παρὰ τοῦ πατρὸς φιλανθρωπίας αἰτία γέγονε τῷ νέῳ ἡ πρὸς τὴν πατρῴαν ἑϛίαν ἐπιϛροφὴ
B (αὕτη δὲ ἦν ὁ οὐρανὸς, εἰς ὃν πεπλημμεληκέναι τῷ πατρὶ λέγει), οὕτω καὶ ἐνταῦθα δοκεῖ μοι διδάσκων ὁ κύριος τὸν ἐν τοῖς οὐρανοῖς ἐπικαλεῖσθαι πατέρα μνήμην σοι ποιεῖσθαι τῆς ἀγαθῆς πατρίδος, ὡς ἂν ἐπιθυμίαν σφοδροτέραν τῶν καλῶν ἐμποιήσας ἐπιϛήσειέν σε τῇ ὁδῷ τῇ πρὸς τὴν πατρίδα πάλιν ἐπαναγούσῃ. Ὁδὸς δὲ ἡ πρὸς τὸν οὐρανὸν τὴν ἀνθρωπίνην φύσιν ἀνάγουσα οὐδεμία τίς ἐϛιν ἄλλη εἰ μὴ φυγὴ καὶ ἀπόϛασις τῶν περιγείων κακῶν· τῆς δὲ φυγῆς τῶν κακῶν ἐπίνοια οὐκ ἄλλη μοί τις εἶναι δοκεῖ πλὴν τῆς πρὸς τὸν θεὸν ὁμοιώσεως. Τῷ δὲ
C ὁμοιωθῆναι θεῷ τὸ δίκαιόν τε καὶ ὅσιον καὶ ἀγαθὸν, καὶ τὰ τοιαῦτα ἔϛι γενέσθαι· ὧν εἴ τις, ὡς ἔϛι δυνατὸν, τοὺς χαρακτῆρας ἐναργῶς ἐν ἑαυτῷ τυπώσειεν, ἀμογητὶ κατὰ τὸ αὐτόματον πρὸς τὸν οὐράνιον χῶρον ἀπὸ τοῦ περιγείου μεταναϛήσεται βίου. Οὐ γὰρ τοπικὴ τοῦ θείου πρὸς τὸ ἀνθρώπινόν ἐϛιν ἡ διάϛασις, ὥϛε τινὸς μηχανῆς ἡμῖν καὶ ἐπινοίας γενέσθαι χρείαν, τὸ βαρύ τε καὶ ἐμβριθὲς καὶ γεῶδες τοῦτο σαρκίον πρὸς τὴν ἀσώματόν τε καὶ νοερὰν διαγωγὴν μετοικίζειν, ἀλλὰ νοητῶς τῆς ἀρετῆς τοῦ κακοῦ
D κεχωρισμένης ἐν μόνῃ τῇ προαιρέσει τοῦ ἀνθρώπου κεῖται πρὸς ὅπερ ἂν ἐπικλιθείη τῇ ἐπιθυμίᾳ, ἐν ἐκείνῳ εἶναι. Ἐπεὶ οὖν οὐδεὶς ἔπεϛι πόνος ἑλέσθαι τὸ ἀγαθὸν, τῷ δὲ ἑλέσθαι καὶ τὸ τυχεῖν ἕπεται ὧν τις προείλετο,

dem ersten Joch des Gebots sich entzogen und das Gesetz was ihn in seiner Obhut hielt abgeschüttelt hatte, wieder in den Mund gelegt wurde, — ihm auch das Gewand anzieht, und zwar kein anderes, sondern das erste, dessen er durch seinen Ungehorsam verlustig gegangen war, da er alsbald nachdem er von dem Verbotenen gekostet sich nackt gesehen hatte; der Ring am Finger aber giebt durch den Schnitt des Kastens zu erkennen daß er das Ebenbild wieder erlangt habe, und auch seine Füße schützt er mit Schuhen, damit er nicht, wenn er mit nackter Ferse dem Kopf der Schlange nahe kommt, von ihr gebissen werde. Gleichwie also dort die Rückkehr zum Vaterheerd Ursache der liebevollen Güte des Vaters gegen den Jüngling ward (dieser Heerd aber war der Himmel, gegen welchen er gesündigt zu haben dem Vater eingesteht), so scheint mir auch hier der Herr, wenn er lehrt den Vater im Himmel anzurufen, dich an das liebe Vaterland erinnern zu wollen, damit er durch Erweckung einer heftigeren Begierde nach seinen Herrlichkeiten dich auf den wieder nach der Heimath führenden Weg stelle. Der Weg aber welcher die Menschheit zum Himmel emporführt ist kein anderer als Flucht und Lossagung von dem irdischen Bösen, und das Mittel zur Flucht, glaube ich, ist kein anderes als sich Gott ähnlich zu machen. Dadurch daß man sich Gott ähnlich macht gewinnt man die Fähigkeit gerecht und heilig und gut, und was sonst noch dahin gehört, zu werden; wer diese Eigenschaften nach Möglichkeit scharf und deutlich in sich ausgeprägt hat, der wird ohne Anstrengung und ganz von selbst von dem irdischen Leben in das himmlische Land einziehen. Denn nicht eine örtliche Trennung findet zwischen Gott und dem Menschen statt, so daß wir eines künstlichen Mittels und einer Erfindung Noth hätten, dieses schwere, darniederziehende und irdische Fleisch nach dem körperlosen und intellectualen Aufenthalt überzusiedeln, sondern da die Scheidung des Guten von dem Bösen eine nicht sinnliche ist, so liegt es in dem bloßen Willen des Menschen da zu sein wohin er in seinem Verlangen sich neigt. Da nun keine Mühe dabei ist das Gute zu wollen, und dem Wollen auch das Erlangen dessen was man will nachfolgt, so steht

ἔξεςί σοι εὐθὺς ἐν τῷ οὐρανῷ εἶναι, τὸν θεὸν ἐν τῇ διανοίᾳ λαβόντι. Εἰ γὰρ, καθώς φησιν ὁ ἐκκλησιαςὴς, ὁ θεὸς
Eccl. 5, 1 ἐν τῷ οὐρανῷ [17] ἄνω, σὺ δὲ τῷ θεῷ, κατὰ τὸν προφήτην,
Psalm. 73, 28. προςεκολλήθης, ἀνάγκη πᾶσα τὸν τῷ θεῷ συνημμένον ἐκεῖ εἶναι ὅπου ἔςιν ὁ θεός. Προστάξας τοίνυν ἐν τῇ προςευχῇ λέγειν πατέρα ἑαυτοῦ τὸν θεὸν οὐδὲν ἕτερον ἢ ὁμοιοῦσθαί σε τῇ θεοπρεπεῖ πολιτείᾳ τῷ οὐρανίῳ κελεύει πατρὶ, καθάπερ καὶ φανερώτερον ἑτέρωθι τὸ τοιοῦτον
p. 730. A παρεγγυᾷ λέγων, Γίνεσθε τέλειοι, ὡς καὶ ὁ πατὴρ ὑμῶν
Matth. 5, 48. ὁ οὐράνιος τέλειός ἐςιν. Εἰ οὖν νενοήκαμεν τῆς τοιαύτης προσευχῆς τὴν διάνοιαν, καιρὸς ἂν εἴη παρασκευάζειν ἑαυτῶν τὰς ψυχὰς, ὥςε ποτὲ θαρσῆσαι τὰς φωνὰς ταύτας ἀναλαβεῖν διὰ ςόματος καὶ εἰπεῖν ἐν παῤῥησίᾳ, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Ὥςπερ γὰρ φανερὰ τῆς πρὸς τὸν θεὸν ὁμοιότητός ἐςι τὰ γνωρίσματα, δι' ὧν ἔςι τέ-
Joann. 1, 12. κνον θεοῦ γενέσθαι τινά (ὅσοι γὰρ ἔλαβον αὐτὸν, φησὶν,
B ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· λαμβάνει δέ τις ἐν ἑαυτῷ τὸν θεὸν ὁ τὴν κατὰ τὸ ἀγαθὸν ἀναλαβὼν τελειότητα), οὕτως ἔςι τινα καὶ τοῦ πονηροῦ χαρακτῆρος ἴδια σημεῖα, ἐν οἷς ὁ γενόμενος υἱὸς θεοῦ εἶναι οὐ δύναται, τῆς ἐναντίας φύσεως τὴν εἰκόνα φέρων. Βούλει γνῶναι τοῦ πονηροῦ χαρακτῆρος τὰ ἰδιώματα; Ὁ φθόνος, τὸ μῖσος, ἡ διαβολὴ, ὁ τύφος, ἡ πλεονεξία, ἡ ἐμπαθὴς ἐπιθυμία, τὸ κατὰ τὴν δοξομανίαν ἀῤῥώςημα, ταῦτά ἐςι καὶ τὰ τοιαῦτα οἷς ἡ μορφὴ τοῦ ἐναντίου χαρακτηρίζεται. Ὁ τοίνυν ταῖς τοιαύταις κηλῖσι τὴν ψυχὴν ἐγκεκαυμένος ἐὰν πατέρα καλέσῃ, ποῖος αὐτῷ πατὴρ ἐπακούσεται; Δηλαδὴ ὁ συγγενῶς πρὸς τὸν κεκληκότα ἔχων.
C Οὗτος δέ ἐςιν οὐχ ὁ οὐράνιος, ἀλλ' ὁ καταχθόνιος· οὗ γὰρ τὰ σημεῖα φέρει τῆς ἀγχιςείας, ἐκεῖνος πάντως τὴν ἰδίαν συγγένειαν ἐπιγνώσεται. Οὐκοῦν ἡ τοῦ πονηροῦ ἀνδρὸς προσευχὴ, ἕως ἂν ἐν τῇ πονηρίᾳ ᾖ, τοῦ διαβόλου ἐπίκλησις γίνεται, τοῦ δὲ ἀφεςῶτος τῆς πονηρίας καὶ ἐν ἀγαθότητι ζῶντος τὸν ἀγαθὸν πατέρα ἡ φωνὴ προςκαλε-

17) ἄνω fehlt in den Ausgaben.

es bei dir sofort in dem Himmel zu sein, sobald du nur Gott in deinen Sinn aufgenommen hast. Denn wenn, wie der Prediger sagt, Gott oben in dem Himmel ist, du aber, nach den Worten des Propheten, mit Gott fest verbunden bist, so muß ganz nothwendiger Weise der mit Gott eng Verbundene dort sein wo Gott ist. Befiehlt er also in dem Gebet Gott seinen Vater zu nennen, so gebietet er nichts Anderes als daß du durch einen gottgefälligen Wandel dem himmlischen Vater ähnlich werdest, wie er das auch noch deutlicher an einer anderen Stelle ausspricht, wo er sagt, Werdet vollkommen, wie euer Vater im Himmel vollkommen ist. Haben wir nun die Bedeutung dieses Gebets begriffen, so dürfte es an der Zeit sein unsere Seelen vorzubereiten, so daß wir endlich es wagen können diese Worte in den Mund zu nehmen und frei zu sprechen, Unser Vater in dem Himmel! Denn wie die Kennzeichen der Aehnlichkeit mit Gott, wodurch man Gottes Kind werden kann, deutliche sind, — denn wie Viele ihn aufnahmen, denen gab er Macht Gottes Kinder zu werden; man nimmt aber Gott in sich auf wenn man die Vollkommenheit im Guten in sich aufnimmt, — so giebt es auch besondere Kennzeichen des Bösen, mit welchen der welcher Gottes Kind wird nicht behaftet sein kann, weil er so das Bild der gegentheiligen Natur an sich tragen würde. Willst du die Eigenschaften des bösen Bildes kennen lernen? Sie sind der Neid, der Haß, die Verläumdung, die Hoffart, der Geiz, die leidenschaftliche Begierde, die Krankheit der Ruhmsucht, diese und ähnliche sind es worin die Gestalt des Widersachers sich kennzeichnet. Wer also mit einer durch solche Fehler gebrandmarkten Seele den Vater anruft, was für ein Vater wird dem Gehör geben? Doch offenbar der welcher mit dem verwandt ist welcher ihn angerufen hat. Das ist aber nicht der himmlische, sondern der höllische Vater; denn auf Verwandtschaft mit wem die Zeichen deuten, der wird jedenfalls seine Sippen erkennen. So wird also des bösen Menschen Gebet, so lange er im Bösen verharrt, zu einer Anrufung des Teufels; die Stimme dessen hingegen welcher vom Bösen sich losgesagt hat und im Guten lebt wird den

σεται. Ὅταν τοίνυν προσίωμεν τῷ Θεῷ, πρότερον τὸν βίον ἐπισκοπήσωμεν, εἴ τι τῆς θείας συγγενείας ἄξιον ἐν
D ἑαυτοῖς φέρομεν, εἶθ' οὕτω τὸν τοιοῦτον λόγον [18] εἰπεῖν θαρσήσωμεν· ὁ γὰρ λέγειν πατέρα προστάξας τὸ ψεῦδος λέγειν οὐ συνεχώρησεν. Οὐκοῦν ὁ τῆς θεϊκῆς εὐγενείας ἀξίως πολιτευσάμενος, οὗτος καλῶς πρὸς τὴν οὐράνιον πόλιν ὁρᾷ, πατέρα τε τὸν τῶν οὐρανῶν βασιλέα καὶ πα-
Coloss. 3, 2. τρίδα ἑαυτοῦ τὴν οὐράνιον ὀνομάζων μακαριότητα. Εἰς τί φέρει τῆς συμβουλῆς ὁ σκοπός, Τὰ ἄνω φρονεῖν; οὗ ὁ Θεός, ἐκεῖ θεμελίους τῆς οἰκήσεως ἑαυτοῦ καταβάλλεσθαι, ἐκεῖ τοὺς θησαυροὺς ἀποτίθεσθαι, ἐκεῖ μετοικίζειν
Matth. 6, 21. ἑαυτοῦ τὴν καρδίαν· ὅπου γάρ ἐςιν ὁ θησαυρός, ἐκεῖ [19] ἔςαι καὶ ἡ καρδία· πρὸς τὸ πατρικὸν κάλλος διὰ παντὸς βλέ-
p. 731. A πειν, καὶ κατ' ἐκεῖνο τὴν ἰδίαν καλλωπίζειν ψυχήν. Οὐκ
Rom. 2, 11. ἔςι προσωποληψία παρὰ Θεῷ, φησὶν ἡ γραφή. Ἀπέςω καὶ τῆς σῆς μορφῆς ὁ τοιοῦτος ῥύπος. Φθόνου καθαρὸν τὸ θεῖον καὶ πάσης ἐμπαθοῦς κηλῖδος· μηδέ σε καταςιζέτω τὰ τοιαῦτα πάθη, μὴ φθόνος, μὴ τύφος, μὴ ἄλλο τι τῶν μολυνόντων τὸ θεοειδὲς κάλλος. Ἐὰν τοιοῦτος ἧς, θάρσησον τῇ οἰκείᾳ φωνῇ τὸν Θεὸν προσκαλέσασθαι, καὶ πατέρα ἑαυτοῦ τὸν τοῦ παντὸς δεσπότην κατονομάσαι. Ὄψεταί σε πατρικοῖς ὀφθαλμοῖς, περιςελεῖ σε τῇ θείᾳ ςολῇ, [20] κατακοσμήσει τῷ δακτυλίῳ, καταρτίσει τοὺς
B πόδας πρὸς τὴν ἄνω πορείαν τοῖς εὐαγγελικοῖς ὑποδήμασιν, ἀποκαταςήσει σε τῇ οὐρανίῳ πατρίδι ἐν Χριςῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, [21] ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ γ'.

C · Ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου.

Hebr. 10, 1. Ὁ τὴν σκιὰν τῶν μελλόντων ἀγαθῶν περιέχων νόμος, καί τισιν αἰνίγμασι τυπικοῖς προαναφωνῶν τὴν ἀλήθειαν,

---

18) εἰπεῖν fehlt in den Ausgaben. — 19) Kr. ἔςι. — 20) Kr. καὶ κατακοσμήσει. — 21) Kr. ᾧ πρέπει ἡ δόξα.

guten Vater anrufen. Wenn wir demnach vor Gott treten, laßt uns zuerst einen Blick auf unser Leben werfen, ob wir etwas der Gottesverwandtschaft Würdiges an uns tragen, und so dann wagen dieses Wort auszusprechen; denn der welcher Vater! zu sagen geboten hat, hat das Lügen nicht gestattet. Wer also des göttlichen Adels würdig wandelt, der blickt mit Recht zur Himmelsstadt auf, wenn er den König der Himmel Vater und die himmlische Seligkeit sein Vaterland nennt. Wohin zielt der Rath, nach dem zu trachten was oben ist? Er zielt dahin daß man wo Gott ist da die Grundmauern seines Hauses errichten, da seine Schätze niederlegen, dahin sein Herz bringen soll, (denn wo dein Schatz ist, da wird auch das Herz sein), daß man fortwährend den Blick auf die Schönheit des Vaters richten, und nach ihr die eigene Seele schmücken soll. Es ist kein Ansehen der Person bei Gott, spricht die Schrift. Möge auch von deiner Schönheit solche Unsauberkeit fern bleiben. Gott ist rein von Neid und von jeglichem Makel der Leidenschaft: mögen auch dich diese Leidenschaften nicht brandmarken, nicht Neid, nicht Hoffart, noch ein Anderes was die göttliche Schönheit verunziert. Bist du ein Solcher, so wage es mit deiner Stimme Gott anzurufen und den Herrn des Alls Vater zu nennen. Er wird mit Vateraugen dich anblicken, wird dich umkleiden mit dem göttlichen Gewand, mit dem Ring schmücken, die Füße mit den Schuhen des Evangeliums rüsten zur Reise nach Oben, wird dich wieder zurückführen in das himmlische Vaterland, in Jesu Christo, unserem Herrn, dem die Herrlichkeit und die Macht gehört bis in Ewigkeit. Amen.

Dritte Rede.

Geheiliget werde Dein Name; zu uns komme Dein Reich!

Das Gesetz, welches den Schatten der zukünftigen Güter enthält, und in einigen Gleichnissen die Wahrheit vorherverkündet,

Exod. 28, 4 sqq. et 39, 1 sqq. Levit. 8, 7 sqq. ἐπειδὰν εἰς τὸ ἄδυτον εἰςάγῃ προςευξόμενον τῷ Θεῷ τὸν ἱερέα, πρῶτον μὲν καθαρσίοις τισὶ καὶ περιῤῥαντισμοῖς ἀφαγνίζει τὸν εἰςιόντα, εἶτα τῇ ἱερατικῇ ςολῇ χρυσῷ καὶ πορφύρᾳ καὶ τοῖς λοιποῖς ἄνθεσι τῆς βαφῆς ἐκπρεπῶς
D ἐξησκημένῃ κατακοσμήσας, τήν τε περιςήθιον ἐπιβαλὼν αὐτῷ μίτραν, καὶ τοὺς κώδωνας τῶν κρασπέδων μετὰ τῶν ῥοΐσκων ἐξάψας, ἄνωθεν δὲ ταῖς ἐπωμίσι διασφίγξας τὸν ἐπενδύτην, καὶ τὴν κεφαλὴν καλλωπίσας τῷ διαδήματι, δαψιλῶς τε τῆς κόμης καταχέας τοῦ μύρου, οὕτως αὐτὸν παράγει ἐπὶ τὸ ἄδυτον, τὰς ἀποῤῥήτους ἱερουργίας ἐπιτελέσοντα. Ὁ δὲ πνευματικὸς νομοθέτης, ὁ κύριος ἡμῶν
p. 732. Ἰησοῦς Χριςὸς, ἀπογυμνῶν τῶν σωματικῶν προκαλυμμά-
A των τὸν νόμον, καὶ εἰς τὸ ἔμφανες ἄγων τὰ τῶν τύπων αἰνίγματα, πρῶτον μὲν οὐχ ἕνα τοῦ παντὸς ἀποκρίνας μόνον εἰς ὁμιλίαν ἄγει Θεῷ, ἀλλὰ παντὶ κατὰ τὸ ἴσον τὴν ἀξίαν ταύτην χαρίζεται, κοινὴν προθεὶς τοῖς βουλομένοις τῆς ἱερωσύνης τὴν χάριν, ἔπειτα δὲ οὐκ ἀλλοτρίῳ κόσμῳ τῷ ἐκ βαφῆς τινος καὶ ὑφαντικῆς περιεργίας ἐξειργημένῳ τὸ κάλλος τοῦ ἱερέως σοφίζεται, ἀλλ' οἰκεῖον αὐτῷ καὶ συμφυῆ περιβάλλει τὸν κόσμον, ἀντὶ τῆς ποικίλης ἁλουργίδος ταῖς τῶν ἀρετῶν χάρισι περιανθίζων, κοσμεῖ
B δὲ καὶ τὸ ςῆθος, οὐ γηΐνῳ χρυσῷ, ἀλλ' ἐν ἀκηράτῳ καὶ καθαρᾷ συνειδήσει τὸ τῆς καρδίας ὡραΐζων κάλλος, ἐναρμόζει δὲ τῇ μίτρᾳ ταύτῃ καὶ πολυτελῶν λίθων αὐγάς· αὗται δέ εἰσιν αἱ τῶν ἁγίων ἐντολῶν λαμπηδόνες, ὡς τῷ ἀποςόλῳ δοκεῖ. Ἀλλὰ καὶ τῇ περισκελίδι τὸ μέρος ἐκεῖνο ᾧ κόσμος ἐςὶ τὸ τοιοῦτον τοῦ ἐνδύματος [1] εἶδος κατασφαλίζεται· πάντως δὲ οὐκ ἀγνοεῖς ὅτι τὸ τῆς σωφροσύνης περιβόλαιον κόσμος τοῦ τοιούτου μέρους ἐςίν. Ἀπαρτήσας δὲ τῶν κρασπέδων τοῦ βίου τοὺς νοητοὺς ῥοΐσκους
C τε καὶ τοὺς κώδωνας, — ταῦτα δὲ εἰκότως ἄν τις τὰ προφανῆ τῆς κατ' ἀρετὴν πολιτείας νοήσειεν, — ὡς ἂν ἐπίσημος ἡ κατὰ τὴν ζωὴν ταύτην πορεία γένοιτο· τούτων οὖν τῶν κρασπέδων ἐξάψας ἀντὶ μὲν τοῦ κώδωνος τὸν

1) εἶδος fehlt in den Ausgaben.

it den Priester, wenn es ihn zum Gebet zu Gott in das Heilig-
im eintreten läßt, zuerst durch gewisse Sühnmittel und Bespren-
ngen eine Reinigung mit sich vornehmen, dann schmückt es ihn
t dem priesterlichen Gewand, welches köstlich in Gold, Purpur
d der Blüthenpracht anderer Farben gearbeitet ist, legt ihm hier-
f die Brustbinde an, und nachdem es die Schellen am Saume
ischen den Granatäpfeln angehängt, und das Obergewand oben
die Schultern festgeknüpft, und das Haupt mit dem Diadem ge-
müçkt, und das Haar reichlich mit Salböl übergossen hat, führt
ihn so in das Heiligthum ein, um das geheime Opferwerk zu
lziehen. Der geistliche Gesetzgeber aber, unser Herr Jesus Chri-
s, entkleidet das Gesetz der körperlichen Hüllen, macht die Bilder
d Gleichnisse offenbar, und führt erstlich nicht bloß einen Einzi-
t, aus der Gesammtheit Auserwählten, zum Gespräch mit Gott
sammen, sondern gewährt diese Würdigung gleichmäßig Jedem,
dem er die Begnadigung des Priesterthums als eine gemeinsame
rstellt für Alle welche wollen, ferner denkt er auch nicht auf das
öne Aussehen des Priesters durch fremdartigen Schmuck, durch
rbe und den Fleiß der Weberei geschaffen, sondern er umgiebt
n mit dem Schmuck welcher ihm eigen gehört und mit ihm selbst
rwachsen ist, kleidet ihn in die Blumenpracht der Anmuth der
ugenden anstatt des Purpurgewands, und schmückt seine Brust,
cht mit irdischem Gold, sondern ziert die Schönheit des Herzens
rch ein lauteres und fleckenloses Gewissen, besetzt aber diese Mitra
ch mit dem funkelnden Schimmer kostbarer Steine, und diese sind,
e der Apostel glaubt, die Strahlen seiner heiligen Gebote. Auch
it der Schenkelbinde schützt er jenen Theil welchem diese Art von
ewandung zum Schmuck dient; jedenfalls ist dir aber nicht unbe-
nnt daß das Gewand der Mäßigkeit dieses Theiles Schmuck aus-
acht. An den Säumen des Lebens aber befestigte er die geistigen
ranatäpfel und Schellen, — unter diesen dürfte man passender
Weise die leuchtenden Werke des tugendhaften Wandels verstehen,
- damit eine solche Lebenswanderung ihre Auszeichnung hätte:
n diesen Säumen also hieng er anstatt der Schelle das helltönende

εὔηχον λόγον τῆς πίςεως, ἀντὶ δὲ τοῦ ῥοΐσκου τὴν κεκρυμμένην τῆς μελλούσης ἐλπίδος ἑτοιμασίαν, τὴν τῷ ςυφωτέρῳ βίῳ κεκαλυμμένην, ἀντὶ δὲ τῶν ἀνθινῶν τὴν εὐανθῆ τοῦ παραδείσου χάριν, οὕτω παράγει ἐπὶ τὸ ἄδυτον τοῦ ἱεροῦ καὶ ἐνδότατον. Τὸ δὲ ἄδυτον τοῦτο οὐκ ἄψυχόν ἐςιν, οὔτε χειρόκμητον, ἀλλὰ τὸ κρυπτὸν τῆς καρδίας ἡμῶν ταμεῖον, ἐὰν ἀληθῶς ἄδυτον ᾖ τῇ κακίᾳ καὶ τοῖς πονηροῖς λογισμοῖς ἀνεπίβατον. Κοσμεῖ δὲ τὴν κεφαλὴν
D τῷ οὐρανίῳ φρονήματι, οὐ γραμμάτων τύπον ἐνσημηνάμενος πετάλῳ χρυσῷ, ἀλλ' αὐτὸν τὸν Θεὸν ἐντυπώσας ἐν τῷ ἡγεμονικῷ λογισμῷ· μύρον δὲ [2] καταχέει τῆς κόμης τὸ παρ' αὐτῆς ἔνδοθεν τῆς ψυχῆς διὰ τῶν ἀρετῶν μυρεψούμενον· θῦμα δὲ καὶ ἱερεῖον προςάγειν αὐτὸν τῷ Θεῷ παρασκευάζει διὰ τῆς μυςικῆς ἱερουργίας οὐκ ἄλλο τι ἢ ἑαυτόν. Ὁ γὰρ οὕτως παρὰ τοῦ κυρίου πρὸς τὴν ἱερωσύνην ταύτην ἀγόμενος τὸ φρόνημα τῆς σαρκὸς νεκρώσας ἐν τῇ μαχαίρᾳ τοῦ πνεύματος, ὅ ἐςι ῥῆμα Θεοῦ, οὕτως
p. 733. A ἱλεοῦται τὸν Θεὸν ἐν τοῖς ἀδύτοις γενόμενος, ἑαυτὸν διὰ τῆς τοιαύτης θυσίας ἱερουργήσας, καὶ παραςήσας τὸ ἑαυτοῦ σῶμα θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεςον τῷ Θεῷ. Ἀλλ' ἐρεῖ τις ἴσως μὴ ταῦτα κατὰ τὸ πρόχειρον ἔχειν τὴν τῆς προσευχῆς διάνοιαν τῆς προκειμένης ἡμῖν εἰς ἐξήγησιν, περινοεῖν δὲ ἡμᾶς τοὺς τοιούτους λόγους οὐκ ἐκ τῶν οἰκείων τοῖς ὑποκειμένοις ἁρμόζοντας. Οὐκοῦν πάλιν ὑπομνησθήτω τῶν πρώτων τῆς προσευχῆς [3] ῥημάτων. Ὁ γὰρ
B οὕτως ἑαυτὸν παρασκευάσας ὥςε ἐν παῤῥησίᾳ τολμῆσαι πατέρα ἑαυτοῦ τὸν Θεὸν ὀνομάσαι, οὗτος ἀκριβῶς περίκειται τὴν ςολὴν ἐκείνην ἣν ὁ λόγος ὑπέγραψεν, καὶ ἠχεῖ τοῖς κώδωσιν, καὶ ἐξανθεῖ τοῖς ῥοΐσκοις, καὶ λάμπει περὶ τὸ ςῆθος ταῖς τῶν ἐντολῶν αὐγαῖς, καὶ φέρει τοῖς ὤμοις τοὺς πατριάρχας τε καὶ τοὺς προφήτας, ἀντὶ τῶν ὀνομάτων τὰς ἀρετὰς ἐκείνων εἰς τὸν ἴδιον κόσμον μετακοσμήσας, καὶ τὴν κεφαλὴν κοσμεῖ τῷ τῆς δικαιοσύνης ςεφάνῳ, καὶ τὴν κόμην ἔχει τῷ οὐρανίῳ μύρῳ διάβροχον, ἐντός τε

2) Kr. κατασκεδάζει. — 3) Kr. διδαγμάτων.

Wort des Glaubens auf, anstatt des Granatapfels die geheime Vorbereitung auf die Hoffnung der Zukunft, welche in der Schale des herberen Lebens verborgen ist, anstatt des blühenden Farbenschmucks die herrliche Blume der Gnade des Paradieses, und führt ihn so in das Innere und Allerheiligste des Tempels. Dieses Innere ist aber nichts Lebloses und von Menschenhänden Gemachtes, sondern die geheime Schatzkammer unseres Herzens, wofern sie in Wahrheit sich dem Bösen verschließt und den schlechten Gedanken unzugänglich ist. Das Haupt aber schmückt er mit der himmlischen Klugheit, und bezeichnet kein Goldblättchen mit dem Gepräge von Buchstaben, sondern prägt Gott selbst in den regierenden Verstand ein; ein Salböl sprengt er ferner über das Haupt aus welches im Inneren der Seele selbst von den Tugenden duftig bereitet ist, und als Opferthier heißt er ihn Gott kein anderes in dem mystischen Opferdienst zuführen als sich selbst. Wer so von dem Herrn zum Priesteramt geführt wird, und nun den fleischlichen Sinn mit dem Schwerte des Geistes, welches das Wort Gottes ist, tödtet, der betritt das Heiligste des Tempels und versöhnt sich Gott, indem er durch solchen Dienst sich selbst ihm hingiebt, und seinen Körper als ein lebendiges, heiliges, Gott wohlgefälliges Opfer darbringt. Aber man wird vielleicht sagen daß der Sinn des uns zur Erklärung vorliegenden Gebets hierin nicht deutlich zur Hand liege, und daß, wenn wir solcherlei Aussprüche in nähere Betrachtung nehmen, damit etwas nicht zur Sache Gehöriges unserem Stoffe anpassen. Erinnere man sich also wieder an die ersten Worte des Gebets. Der welcher sich so vorbereitet hat daß er frei es wagen kann Gott seinen Vater zu nennen, der ist genau mit dem Gewand bekleidet welches die Schrift schilderte, und klingt mit den Schellen, leuchtet in dem Farbenschmuck der Granaten, seine Brust umschimmert der Glanz der Gebote, er trägt auf den Schultern die Erzväter und Propheten und hat an Stelle ihrer Namen ihre Tugenden zu seinem eigenen Schmuck umgestaltet, sein Haupt ziert er mit der Krone der Gerechtigkeit, und netzt sein Haar mit dem himmlischen Salböl, er gelangt

γίνεται τῶν [4] ἐπουρανίων ἀδύτων, ἅπερ παντὶ λογισμῷ
C βεβήλῳ ἄδυτα ὡς ἀληθῶς ἐϛι καὶ ἀνεπίβατα. Ἀλλ' ὅπως μὲν προϛήκει παρεσκευάσθαι τὸν ἱερωμένον, μετρίως ἐν τοῖς ἐξητασμένοις ὁ λόγος ὑπέδειξεν, λοιπὸν δ' ἂν εἴη σκοπεῖν αὐτὴν τὴν αἴτησιν ἣν προςάγειν ἐκέλευσεν τῷ θεῷ τὸν ἐντὸς τῶν ἀδύτων γενόμενον· οὐ γάρ μοι δοκεῖ κατὰ τὸ πρόχειρον εὔληπτον παρέχειν ἡμῖν τὴν διάνοιαν ψιλῶς τῆς προςευχῆς ἐκτεθέντα τὰ ῥήματα. Ἁγιασθήτω, φησὶ, τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου. Τί ταῦτα πρὸς τὴν ἐμὴν χρείαν; εἴποι τις ἂν ἄνθρωπος, ἢ ἐπὶ ἁμαρτίαις ἑαυτὸν διὰ μετανοίας μαϛίζων, ἢ ὅπως ἂν φύγοι κατακρατοῦσαν τὴν ἁμαρτίαν τὸν θεὸν εἰς συμμαχίαν
D καλῶν, ἐν ὀφθαλμοῖς ἔχων ἀεὶ τὸν διὰ τῶν πειρασμῶν προςπαλαίοντα. Ἔνθεν οἱ θυμοὶ τὸν λογισμὸν τοῦ καθεϛηκότος παράγουσιν, ἐκεῖθεν αἱ τῶν ἀτόπων ἐπιθυμίαι τὸν τόνον τῆς ψυχῆς ἐκνευρίζουσιν, ἑτέρωθεν ἡ πλεονεξία πήρωσιν ἐπάγει τῷ διορατικῷ τῆς καρδίας, ὁ τύφος, ἡ ὑπερηφανία, τὸ μῖσος, ὁ λοιπὸς τῶν ἀντιπαλαιόντων ἡμῖν κατάλογος οἷόν τι ϛῖφος πολεμίων ἐν κύκλῳ περιϛοιχησάμενον τὸν περὶ τῶν ἐσχάτων ἐπάγει τῇ ψυχῇ κίνδυνον· εἶτα ὁ ἐκδῦναι [5] τὰ κακὰ ταῦτα διὰ τῆς κρείττονος συμμαχίας σπουδάζων ποίοις ἂν κυριώτερον χρήσαιτο λόγοις;
p. 734. οὐχ οἷς ὁ μέγας Δαυίδ, Ῥυσθείην ἐκ τῶν μισούντων με,
A λέγων, καὶ, [6] Ἀποϛραφήτωσαν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, καὶ, Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ὅσα τοιαῦτα δι' ὧν ἔϛι τοῦ θεοῦ τὴν συμμαχίαν κατὰ τῶν ἐναντίων διαναϛῆσαι; Νυνὶ δὲ τί φησιν ὁ τῆς προςευχῆς νόμος; Ἁγιασθήτω τὸ ὄνομά σου. Εἰ γὰρ μὴ λέγοιτο παρ' ἐμοῦ τοῦτο, ἆρα δυνατόν ἐϛι μὴ ἅγιον εἶναι τοῦ θεοῦ τὸ ὄνομα; Ἐλθέτω ἡ βασιλεία σου. Τί γὰρ τῆς ἐξουσίας τοῦ θεοῦ ἠλλοτρίωται, τοῦ διειληφότος τῇ σπιθαμῇ τὸν οὐ-
B ρανὸν ὅλον, καθώς φησιν Ἡσαΐας, τοῦ [7] περιδεδραγμένου πάσης τῆς γῆς, τοῦ περικρατοῦντος ἐν τῇ χειρὶ τὴν ὑγρὰν φύσιν, ὃς πᾶσαν ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον

Psalm. 69, 15. Ibid. 35, 4. et 40, 15. Ibid. 60, 11. et 108, 12.

4) Kr. ὑπερουρανίων. — 5) τὰ κακὰ fehlt in den Ausgaben. — 6) Kr. ἀποϛραφείησαν. — 7) Kr. περιδεδραγμένου τὴν γῆν.

in das verschlossene himmlische Heiligthum, welches jedem unsauberen Gedanken in Wahrheit ein verschlossenes und unzugängliches ist. Wie jedoch der das Opfer Bringende vorbereitet sein muß, das ist in dem früheren Theile der Untersuchung hinlänglich gezeigt worden; es möchte nun übrig sein die Bitte selbst in Betracht zu nehmen welche der in das verschlossene Heiligthum Gelangte Gott darbringen soll, da mir die Worte des Gebets in ihrer schlichten Hinstellung keinen ganz leichten und ohne Schwierigkeit faßlichen Sinn zu gewähren scheinen. Geheiligt werde, spricht er, Dein Name, Dein Reich komme. Was hat dies mit meiner Nothdurft zu schaffen, sagt vielleicht ein Mensch welcher sich ob seiner Sünden in Reue geißelt, oder vielleicht Gott um Beistand anruft daß er der ihn beherrschenden Sünde entfliehe, weil er immer den vor Augen hat welcher durch Versuchungen mit ihm ringt. Hier verrücken Zornesausbrüche den Verstand aus seiner Verfassung, dort entnerven die Begierden nach sündigen Thorheiten die Spannkraft der Seele, von einer anderen Seite verblendet die Habsucht das Auge des Herzens, die Hoffart, der Hochmuth, der Haß, die ganze Zahl der übrigen Widersacher umstellt uns rings wie eine Rotte von Feinden, und bringt die Seele in die äußerste Gefahr: was soll dann wohl der welcher mit Hilfe einer mächtigeren Bundesgenossenschaft diesem entgehen will für passendere Worte brauchen als welche der große David spricht, Errette mich von denen die mich hassen! und, Meine Feinde sollen sich abwenden von mir! und, Gieb mir Beistand in der Noth! und andere derartige durch welche man den Beistand Gottes gegen seine Widersacher erwecken kann? Was sagt nun die Vorschrift des Gebets? Geheiligt werde Dein Name! Kann denn etwa, wenn das von mir nicht ausgesprochen wird, der Name Gottes nicht heilig sein? Dein Reich komme! Was ist denn der Macht Gottes entrückt, welcher mit seiner Hand den ganzen Himmel umfaßt, wie Esaias sagt, der die ganze Erde umspannt, der in seiner Hand das flüssige Element zusammenhält, der die gesammte weltliche und überweltliche Schö-

ἐνηγκάλιςαι κτίσιν; Εἰ οὖν ἅγιον ἀεὶ τοῦ Θεοῦ τὸ ὄνομα, καὶ οὐδὲν ἐκπέφευγε τὸ κράτος τῆς τοῦ Θεοῦ δεσποτείας, ἀλλὰ καὶ κρατεῖ πάντων, καὶ κατὰ τὸν ἁγιασμὸν προςθήκης οὐκ ἐπιδέεται ὁ διὰ πάντων ἀνελλιπὴς καὶ τέλειος, τί βούλεται ἡ εὐχὴ, Ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου; Ἢ τάχα τι τοιοῦτον ὁ λόγος ἐν τῷ εἴδει τῆς προςευχῆς δογματίζει, ὅτι ἀσθενής ἐςι πρὸς ἀγαθοῦ
C τινος κτῆσιν ἡ ἀνθρωπίνη φύσις, καὶ διὰ τοῦτο οὐκ ἄν τι γένοιτο τῶν σπουδαζομένων ἡμῖν, μὴ τῆς θείας συμμαχίας τὸ ἀγαθὸν ἐν ἡμῖν κατορθούσης; Ἀγαθῶν δὲ πάντων ἐςὶ τὸ κεφάλαιον τὸ τῷ ἐμῷ βίῳ τὸ ὄνομα τοῦ Θεοῦ ἐνδοξάζεσθαι. Γένοιτο δ' ἂν ἡμῖν ἐκ τοῦ ἐναντίου γνωριμωτέρα ἡ ἔννοια. Ἤκουσά που τῆς ἁγίας γραφῆς κατακρινούσης ἐκείνους οἳ τῆς κατὰ τοῦ Θεοῦ βλασφημίας
Esai. 52, 5. Rom. 2, 24. αἴτιοι γίνονται. Οὐαὶ γὰρ, φησὶ, δι' οὓς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Τοῦτο δὲ τοιοῦτόν ἐςιν.
D Οἱ μήπω πεπιςευκότες τῷ λόγῳ τῆς ἀληθείας πρὸς τὸν βίον τῶν παραδεδεγμένων τὴν τοῦ μυςηρίου πίςιν ἀποσκοποῦσιν. Ὅταν τοίνυν τὸ μὲν ὄνομα τῆς πίςεως ἔν τισιν ᾖ, ὁ δὲ βίος ἀντιφθέγγηται τῷ ὀνόματι, ἢ διὰ πλεονεξίας εἰδωλολατρῶν, ἢ ἐν μέθαις καὶ κώμοις ἀσχημονῶν, καὶ τῷ βορβόρῳ τῆς ἀσωτίας ὑὸς δίκην ἐγκαλινδούμενος, πρόχειρος εὐθὺς παρὰ τῶν ἀπίςων ὁ λόγος, οὐκ εἰς τὴν προαίρεσιν τῶν κακῶς τῷ βίῳ κεχρημένων τὴν κατηγορίαν τρέπων, ἀλλ' ὡς τοιαῦτα πράττειν τοῦ μυςηρίου διδάσκοντος· μὴ γὰρ ἂν γενέσθαι τὸν δεῖνα τὸν
p. 735. τὰ θεῖα μεμυημένον μυςήρια ἢ λοίδορον, ἢ πλεονέκτην,
A ἢ ἅρπαγα, ἢ ἄλλο τι τοιοῦτον κακὸν, εἰ μὴ ἔννομον αὐτοῖς τὸ ἁμαρτάνειν ἦν. Διὰ τοῦτο χαλεπὴν τοῖς τοιούτοις ἀπειλὴν ὁ λόγος ἐπανατείνεται λέγων ἐκείνοις εἶναι τὸ, Οὐαὶ δι' οὓς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Εἰ δὴ τοῦτο νενόηται, καιρὸς ἂν εἴη τὸ ἐκ τοῦ ἐναντίου λεγόμενον κατανοῆσαι· εὔχεσθαι γὰρ πρό γε πάντων οἶμαι χρῆναι καὶ τοῦτο ποιεῖσθαι τῆς προςευχῆς τὸ κεφάλαιον, τὸ μὴ βλασφημεῖσθαι ἐν τῷ ἐμῷ βίῳ

pfung in seinen Armen trägt? Ist nun der Name Gottes immer heilig, und entflieht der Herrschaft Gottes Nichts, sondern regiert vielmehr sie alle Dinge, und bedarf der in allen Stücken sich Genügende und Vollkommene keines Zuwachses an seiner Heiligkeit, was will dann das Gebet, Geheiligt werde Dein Name, Dein Reich komme? Oder lehrt vielleicht die Schrift in der Form des Gebets etwa dies, daß die menschliche Natur zu schwach sei um sich ein Gut zu erwerben, und daß darum wohl Nichts von dem was wir erstreben geschehe, es sei denn daß die göttliche Hilfe in uns das Gute zu Stande bringt? Das hauptsächlichste aller Güter aber ist daß ich durch mein Leben den Namen Gottes verherrliche. Vielleicht dürfte uns das Verständniß aus dem Gegentheile deutlicher werden. Ich habe irgendwo vernommen wie die heilige Schrift jene verdammt welche sich der Blasphemie gegen Gott schuldig machen. Wehe, sagt sie, über diejenigen durch welche mein Name gelästert wird unter den Heiden! Das heißt aber dies: die welche noch nicht an das Wort der Wahrheit geglaubt haben halten ihre Blicke auf das Leben derjenigen gerichtet welche sich bereits zu dem Glauben an die hochheilige Lehre bekannt haben. Wenn nun welche zwar den Namen von Gläubigen führen, ihr Leben jedoch dem Namen widerspricht, sei es im Götzendienst des Geizes, oder in dem Laster der Trunkenheit und Völlerei, oder weil es sich in dem Schmuz der Lüderlichkeit wie ein Schwein wälzt, dann haben die Ungläubigen sofort das Wort bei der Hand welches nicht gegen den Willen derer welche das Leben so schmachvoll mißbrauchen die Anklage kehrt, sondern annimmt daß unser hochheiliger Glaube uns solcherlei Thun lehre; denn, sagen sie, dieser oder jener in die göttliche Lehre Eingeweihte würde kein Verläumder, oder Geiziger, oder Habsüchtiger, oder sonst was Böses dieser Art geworden sein, wäre ihnen zu sündigen nicht gesetzlich und erlaubt. Deßhalb richtet die Schrift gegen solche Menschen die furchtbare Drohung, und spricht, Wehe über jene durch welche mein Name gelästert wird unter den Heiden! Haben wir nun dies beherzigt, so dürfte es an der Zeit sein den diesem entgegenstehenden Ausspruch in Betracht zu ziehen; denn vor allen Dingen muß ich, meiner Meinung nach, das zum Hauptgegenstand meines Gebets machen, daß ich den Na-

τὸ ὄνομα τοῦ θεοῦ, ἀλλὰ δοξάζεσθαι καὶ ἁγιάζεσθαι.
B Ἐν ἐμοὶ οὖν, φησὶν, ἁγιασθήτω τὸ ἐπικληθέν μοι ὄνομα
Matth. 5, 16. τῆς σῆς δεσποτείας, ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς. Τίς δὲ οὕτω θηριώδης καὶ ἄλογος, ὥςε ὁρῶν ἐν τοῖς πεπιςευκόσι θεῷ βίον καθαρὸν δι' ἀρετῆς κατωρθωμένον, πάντων τῶν ἐξ ἁμαρτίας μολυσμῶν καθαρεύοντα, πάσης τῆς πρὸς τὸ χεῖρον ὑπονοίας ἀλλοτριούμενον, λαμπρὸν τῇ σωφροσύνῃ, σεμνὸν τῇ φρονήσει, ἀνδρείως ἔχοντα πρὸς τὰς τῶν παθῶν προςβολὰς, μηδαμοῦ ταῖς σωματικαῖς ἡδυπαθείαις μαλακιζόμενον, τρυφῆς καὶ βλακείας καὶ τῆς
C κατὰ τὸν τύφον χαυνότητος ὡς ὅτι μάλιςα κεχωρισμένον, τοσοῦτον μετέχοντα τοῦ βίου ὅσον ἐπάναγκες, ἀκρῷ τῷ ποδὶ τῆς γῆς ἐπιψαύοντα, οὐ ταῖς καθ' ἡδονὴν ἀπολαύσεσιν, τῷ γηΐνῳ τούτῳ βίῳ καταχωννύμενον, ἀλλ' ὑπερανεςῶτα πάσης τῆς καθ' αἴσθησιν [8]γινομένης ἀπάτης, καὶ πρὸς τὴν ἀσώματον ζωὴν διὰ σαρκὸς ἁμιλλώμενον, ἕνα πλοῦτον νομίζοντα τὴν τῆς ἀρετῆς κτῆσιν, μίαν εὐγένειαν τὴν πρὸς τὸν θεὸν οἰκειότητα, μίαν ἀξίαν καὶ δυναςείαν μίαν τὸ κρατεῖν ἑαυτοῦ καὶ ἀδούλωτον εἶναι τοῖς ἀνθρωπίνοις παθήμασιν, ἀχθόμενον τῇ παρατάσει τῆς τοῦ ὑλι-
D κοῦ βίου ζωῆς, σπεύδοντα δὲ, καθάπερ οἱ διὰ πελάγους κακοπαθοῦντες, πρὸς τὸν λιμένα καταντῆσαι τῆς ἀναπαύσεως, — τίς τοίνυν τὸν τοιοῦτον ὁρῶν οὐ δοξάζει τὸ ὄνομα τὸ ἐπικεκλημένον τῷ τοιούτῳ βίῳ; Οὐκοῦν ὁ ἐν τῇ προσευχῇ λέγων, Ἁγιασθήτω τὸ ὄνομά σου ἐν ἐμοὶ, ταῦτα τῇ δυνάμει τῶν λεγομένων προσεύχεται, Γενοίμην τῇ συνεργίᾳ τῆς σῆς βοηθείας ἄμεμπτος, δίκαιος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος,
p. 736. λαλῶν ἀλήθειαν, ἐργαζόμενος δικαιοσύνην, ἐν εὐθύτητι πορευόμενος, τὰ ἄνω φρονῶν, τῶν γηΐνων ὑπερορῶν, [9]τῇ σωφροσύνῃ λάμπων, τῇ ἀφθαρσίᾳ κοσμούμενος, τῇ σοφίᾳ καὶ τῇ φρονήσει καλλωπιζόμενος, ταῖς ἀγγελικαῖς πολι-

---

8) Kr. γενομένης. — 9) Die Worte τῇ σωφροσύνῃ — — — καλλωπιζόμενος stehen in den bisherigen Ausgaben hinter πορευόμενος.

nen Gottes durch mein Leben nicht lästere, sondern verherrliche und heilige. In mir also, sagt er, werde der von mir angerufene Name Deiner Herrschaft geheiligt, damit die Menschen die guten Werke sehen und den Vater im Himmel dafür preisen. Wer ist aber so thierisch und unvernünftig daß, wenn er in denen welche an Gott glauben ein durch die Tugend bewirktes lauteres Leben erblickt, welches von allen Befleckungen der Sünde rein und jedem Gedanken und Vorsatz zum Bösen fremd ist, strahlend in weiser Mäßigung, verehrungswürdig in besonnener Klugheit, männlich standhaft gegen die Angriffe der Leidenschaften, in keiner Weise durch die körperlichen Lüste verweichlicht, so weit als möglich von Schwelgerei, Schlaffheit und hoffärtiger Aufgeblähtheit entfernt, welches sich nur so viel als nöthig ist an dem weltlichen Leben betheiligt, mit der Spitze des Fußes die Erde berührt, nicht in Genüssen der Lust, in diesem irdischen Leben untergeht, sondern allen Sinnentrug überragt, und im Fleische nach dem körperlosen Leben ringt, welches den Besitz der Tugend für den einzigen Reichthum hält, für den einzigen Adel die Verwandtschaft mit Gott, dem als einzige Würde und einzige Machtstellung die Selbstbeherrschung gilt und die Freiheit von der Sclaverei der menschlichen Leidenschaften, welches die Länge des materialen Lebens schwer empfindet, und wie unglückliche Seefahrer eilt in den Hafen der Ruhe zu gelangen, — wer also, wenn er ein solches Leben sieht, preist nicht den Namen dessen welcher für ein solches Leben angerufen worden ist? Wer demnach in dem Gebete sagt, Geheiligt werde Dein Name in mir, der betet der Bedeutung seiner Worte nach, Möchte ich mit dem Beistand deiner Hilfe tadellos, gerecht, gottesfürchtig werden, mich jeder bösen Handlung enthalten, Wahrheit reden, Gerechtigkeit üben, auf geradem Wege wandeln, trachten nach dem was oben ist, den Blick über das Irdische hinwegrichten, glänzen in Enthaltsamkeit, geschmückt sein mit sittlicher Unverdorbenheit, geziert mit Weisheit und Klugheit, und

τείαις ἐλλαμπρυνόμενος. Ταῦτα καὶ τὰ τοιαῦτα περιέ-
χει ἡ βραχεῖα αἴτησις αὕτη ἡ λέγουσα διὰ προςευχῆς τῷ
θεῷ ὅτι, Ἁγιασθήτω τὸ ὄνομά σου· οὐ γὰρ ἔςιν ἄλλως
δυνατὸν ἐν ἀνθρώπῳ δοξασθῆναι θεὸν, μὴ τῆς κατ' αὐ-
τὸν ἀρετῆς τῇ θείᾳ δυνάμει τὴν αἰτίαν τῶν ἀγαθῶν μαρ-
τυρούσης. Ὁ δὲ ἐφεξῆς λόγος τὴν βασιλείαν τοῦ θεοῦ
B εὔχεται ἐλθεῖν. Ἆρα νῦν ἀξιοῖ γενέσθαι βασιλέα τὸν τοῦ
παντὸς βασιλέα, τὸν ἀεὶ ὄντα ὅπερ ἐςὶν, τὸν πρὸς πᾶσαν
μεταβολὴν ἀμετάθετον, τὸν οὐκ ἔχοντα εὑρεῖν κρεῖττον
εἰς ὃ μεταβήσεται; Τί οὖν βούλεται ἡ εὐχὴ τὴν τοῦ θεοῦ
βασιλείαν ἐκκαλουμένη; Ἀλλὰ τὸν μὲν ἀληθῆ περὶ τού-
του λόγον εἰδεῖεν ἂν οἷς τὸ πνεῦμα τῆς ἀληθείας ἀνακα-
λύπτει τὰ κεκρυμμένα μυςήρια· ἡμεῖς δὲ τοιαύτην ἔχομεν
περὶ τοῦ ῥητοῦ τὴν διάνοιαν. Μία τῶν πάντων ὑπέρκει-
ται ἡ ἀληθὴς ἐξουσία καὶ δύναμις, ἡ τοῦ παντὸς ἀναδε-
C δεγμένη τὸ κράτος, καὶ βασιλεύουσα οὐ βιαίᾳ τινὶ καὶ
τυραννικῇ δυναςείᾳ, φόβοις καὶ ἀνάγκαις ὑποζεύξασα τῇ
ὑποταγῇ τὸ ὑπήκοον. Ἐλευθέραν γὰρ εἶναι προςήκει παν-
τὸς φόβου τὴν ἀρετὴν καὶ ἀδέσποτον, ἑκουσίᾳ γνώμῃ τὸ
ἀγαθὸν αἱρουμένην· ἀγαθοῦ δὲ παντὸς τὸ κεφάλαιον τὸ
ὑπὸ τὴν ζωοποιὸν ἐξουσίαν τετάχθαι. Ἐπειδὴ τοίνυν τῆς
τοῦ καλοῦ κρίσεως ἀπεπλανήθη δι' ἀπάτης ἡ ἀνθρωπίνη
φύσις, καὶ πρὸς τὸ ἐναντίον γέγονεν τῆς προαιρέσεως
ἡμῶν ἡ ῥοπὴ, καὶ παντὶ τῷ χείρονι ἡ ζωὴ τῶν ἀνθρώ-
πων κατεκρατήθη, μυρίαις ὁδοῖς τοῦ θανάτου καταμιχ-
θέντος τῇ φύσει (πᾶσα γὰρ κακίας ἰδέα οἷόν τις ὁδὸς
D τῷ θανάτῳ καθ' ἡμῶν γίνεται), ἐπειδὴ τοίνυν τῇ τοιαύ-
τῃ τυραννίδι περιεσχέθημεν, καθάπερ δημίοις τισὶν ἢ πο-
λεμίοις ταῖς προςβολαῖς τῶν παθημάτων τῷ θανάτῳ
δεδουλωμένοι, καλῶς εὐχόμεθα τοῦ θεοῦ τὴν βασιλείαν
ἐφ' ἡμᾶς ἐλθεῖν· οὐ γὰρ ἔςιν ἄλλως ἐκδῦναι τὴν πονηρὰν
τῆς φθορᾶς δυναςείαν, μὴ τῆς ζωοποιοῦ δυνάμεως ἐφ'
ἡμῶν [10] ἀντιλαβούσης τὸ κράτος. Ἐὰν οὖν ἐλθεῖν ἐφ' ἡμᾶς
τὴν βασιλείαν τοῦ θεοῦ αἰτήσωμεν, ταῦτα τῇ δυνάμει τὸν

---

10) Kr. ἀντιμεταλαβούσης.

leuchten im Wandel der Engel! Dieses und Aehnliches enthält diese kurze Bitte welche im Gebet zu Gott spricht. Geheiligt werde Dein Name! Denn es ist unmöglich daß Gott auf andere Weise im Menschen verherrlicht werde, als so daß seine Tugend die göttliche Macht als die Ursache und Quelle der erlangten Güter bekennt. Die weiteren Worte bitten daß Gottes Reich kommen solle. Bitten sie etwa daß der jetzt König werden solle welcher König des Alls ist, welcher das was er ist immer ist, welcher jeder Veränderung unzugänglich ist, welcher kein Besseres finden kann in welches er sich zu verwandeln vermöchte? Was will also das Gebet welches das Reich Gottes herbeiruft? Das wahre Verständniß davon dürften diejenigen haben welchen der Geist der Wahrheit die verborgenen Geheimnisse offenbart; wir haben über diese Worte folgende Ansicht. Ueber allen Dingen thront einzig erhaben die wahre Gewalt und Macht welche die Herrschaft über das All übernommen hat, und nicht gewaltsam und tyrannisch regiert, und das ihr Unterthänige nicht mit Schrecken und Zwangsmitteln unter ihr Joch beugt. Denn die Tugend muß frei sein von aller Furcht und Niemandem unterthan, und nach freiwilligem Entschluß das Gute wählen; der höchste Segen aber ist es für sie dem Gebote der lebendigmachenden Kraft untergeordnet zu sein. Da nun die menschliche Natur in dem Urtheile über das was gut ist durch Betrug irregeleitet worden ist, unser Wille sich dem Entgegengesetzten zugeneigt hat und das Leben der Menschen der Tyrannei alles Bösen preisgegeben ist, weil der Tod auf tausendfachen Wegen sich mit der Natur verbindet (denn jede Gattung des Bösen wird für den Tod gleichsam zu einem Wege auf welchem er sich uns naht), da wir also in die Fesseln solcher Tyrannenherrschaft gefallen und von den Angriffen der Leidenschaften wie von Henkers- oder Feindeshänden in die Knechtschaft des Todes geführt sind, so beten wir mit Recht daß das Reich Gottes zu uns kommen solle; denn auf eine andere Weise vermögen wir nicht der bösen Gewaltherrschaft der Vernichtung uns zu entziehen, wenn nicht die lebendigmachende Kraft bei uns ihre Gewalt dagegen geltend macht. Bitten wir also daß das Reich Got-

p. 737. θεὸν ἱκετεύομεν· ἀπαλλαγείην τῆς φθορᾶς, ἐλευθερωθείην
A τοῦ θανάτου, ἄνετος γενοίμην τῶν τῆς ἁμαρτίας δεσμῶν, μηκέτι [11] βασιλεύοι κατ' ἐμοῦ ὁ θάνατος, μηκέτι ἐνεργὸς ἔςω καθ' ἡμῶν ἡ τυραννὶς τῆς κακίας, μὴ κατακρατείτω μου ὁ [12] πολέμιος, μηδὲ ἀγέτω με δι' ἁμαρτίας αἰχμάλωτον, ἀλλ' ἐλθέτω ἐπ' ἐμὲ ἡ βασιλεία σου, ἵνα ὑποχωρήσῃ ἀπ' ἐμοῦ, μᾶλλον δὲ εἰς τὸ μὴ ὂν μεταχωρήσῃ τὰ νῦν ἐπικρατοῦντα καὶ βασιλεύοντα πάθη· ὡς γὰρ ἐκλείπει καπνὸς, οὕτως ἐκλείψουσιν, καὶ, ὡς τήκεται [13] κηρὸς, οὕ-
B τως ἀπολοῦνται. Οὔτε γὰρ καπνὸς ἀναχεθεὶς εἰς τὸν ἀέρα σημεῖόν τι τῆς ἰδίας ὑπολείπεται φύσεως, οὔτε κηρὸς ἐν πυρὶ γενόμενος ἔτι εὑρίσκεται, ἀλλὰ καὶ οὗτος τὴν φλόγα δι' ἑαυτοῦ θρέψας εἰς ἀτμὸν καὶ ἀέρα μετεποιήθη, καὶ ὁ καπνὸς εἰς παντελῆ ἀφανισμὸν μετεχώρησεν. Οὕτως, ἐὰν ἡ βασιλεία τοῦ θεοῦ ἐφ' ἡμᾶς ἔλθῃ, πάντα τὰ νῦν ἐπικρατοῦντα εἰς ἀφανισμὸν περιςήσεται· οὐ γὰρ ὑπομένει τὸ σκότος τὴν τοῦ φωτὸς παρουσίαν, οὐ νόσος
C ὑγείας ἐπιλαβούσης ἵςαται, οὐκ ἐνεργεῖ τὰ πάθη τῆς ἀπαθείας παρούσης, φροῦδος ὁ θάνατος, ἀφανὴς ἡ φθορὰ, ὅταν ἡ ζωὴ ἐν ἡμῖν βασιλεύῃ καὶ ἀφθαρσία τὸ κράτος ἔχῃ. Ἐλθέτω ἡ βασιλεία σου. Ἡ γλυκεῖα φωνὴ, δι' ἧς ταύτην ἄντικρυς προςάγομεν τῷ θεῷ τὴν δέησιν· καταλυθήτω ἡ ἀντικειμένη παράταξις, ἀφανισθήτω τῶν ἀλλοφύλων ἡ φάλαγξ, ἀναιρεθήτω τῆς σαρκὸς ὁ κατὰ τοῦ πνεύματος πόλεμος, μὴ ἔςω τὸ σῶμα τοῦ πολεμίου τῆς ψυχῆς ὁρμητήριον, ἐπιφανήτω μοι [14] ἡ βασιλικὴ δυναςεία, ἡ ἀγγελικὴ χεὶρ, αἱ χιλιάδες τῶν εὐθυνόντων, ἡ μυ-
D ριὰς τῶν κατὰ τὸ δεξιὸν παριςαμένων, ἵνα πέσῃ ἐκ τοῦ ἀντικειμένου κλίτους ἡ χιλιὰς τῶν πολεμούντων· πολὺς ὁ ἀντίπαλος, ἀλλὰ τοῖς ἐρήμοις τῆς σῆς συμμαχίας δεινός τε καὶ ἀκαταμάχητος, ἀλλ' ἕως ἂν μόνος ὁ πολεμούμενος ᾖ· ἐπειδὰν δὲ ἡ σὴ βασιλεία φανῇ, ἀπέδρα ὀδύνη [15] καὶ λύπη καὶ ςεναγμὸς, ἀντειςέρχεται δὲ ζωὴ καὶ εἰρήνη καὶ ἀγαλλίαμα. Ἢ τάχα, καθὼς ἡμῖν ὑπὸ τοῦ Λουκᾶ τὸ

11) Kr. βασιλευέτω. — 12) Kr. πόλεμος. — 13) Nach κηρὸς stehen in der Morel'schen Ausgabe noch die Worte ἀπὸ προςώπου πυρὸς, welche

tes zu uns komme, so flehen wir Gott um Folgendes an: Möchte ich der Vernichtung entrissen werden, befreit werden vom Tod, losgelassen aus den Banden der Sünde, möchte der Tod nicht mehr über mich herrschen, nicht mehr die Gewaltherrschaft des Bösen über mich wirksam sein, möchte der Feind mich nicht darniederwerfen, und mich durch die Sünde zum Gefangenen machen, sondern dein Reich komme zu mir, daß von mir weichen, oder vielmehr in das Nichts verschwinden, die jetzt mich beherrschenden und knechtenden Leidenschaften; denn wie der Rauch vergeht, so werden sie vergehen, und wie Wachs schmilzt, so werden sie untergehen. Denn weder der Rauch, wenn er in die Luft sich ergießt, läßt seines Wesens eine Spur zurück, noch läßt sich Wachs welches ins Feuer geworfen ist wiederfinden, sondern auch dieses wird, nachdem es durch sich der Flamme Nahrung gegeben, in Qualm und Luft verwandelt, und der Rauch geht in völlige Vernichtung über. So wird, wenn das Reich Gottes zu uns kommt, auch Alles was jetzt die Herrschaft hat in Nichts vergehen; denn die Finsterniß verträgt nicht die Gegenwart des Lichts, nicht hält die Krankheit Stand wenn die Genesung naht, nicht walten die Leidenschaften wenn Freiheit von Leidenschaften vorhanden ist, vergebens ist der Tod, verschwunden die Vernichtung, wenn das Leben in uns regiert und Unvergänglichkeit die Macht hat. Es komme dein Reich! Das süße Wort durch welches wir diese Bitte vor den Herrn bringen: vernichtet werde das feindliche Heer, es verschwinde die Schaar der Philister, es werde ein Ende gemacht dem Krieg des Fleisches gegen den Geist, es solle der Körper nicht ferner der Angriffspunkt für den Feind der Seele sein, es erscheine mir das Reich des Herrn, die engelische Schaar, die zahllose Menge der Rächer, die Legionen welche sich zur Rechten stellen, damit von dem Berge des Feindes die tausend Krieger fallen; zahlreich ist der Feind, aber nur für die von deiner Hilfe Verlassenen schrecklich und unbezwingbar, und nur so lange der allein ist gegen welchen der Kampf gerichtet ist: wenn aber dein Reich erscheint, dann entflieht das Wehe und der Schmerz und das Klagen, und Leben und Frieden und Jubel zieht an ihrer Statt ein. Oder ruft

---

auch Krabinger nicht in seinen Handschriften fand. — 14) ἡ fehlt in den Ausgaben. — 15) καὶ fehlt bei Kr.

αὐτὸ νόημα σαφέϛερον ἑρμηνεύεται, ὁ τὴν βασιλείαν ἐλ-
θεῖν ἀξιῶν τὴν τοῦ ἁγίου πνεύματος συμμαχίαν ἐπιβοᾶ-
ται; οὕτω γὰρ ἐν ἐκείνῳ τῷ εὐαγγελίῳ φησὶν, ἀντὶ τοῦ,
p. 738. A Ἐλθέτω ἡ βασιλεία σου, Ἐλθέτω τὸ ἅγιον πνεῦμά σου
ἐφ᾽ ἡμᾶς καὶ καθαρισάτω ἡμᾶς. Τί ἐροῦσιν [16] πρὸς ταῦ-
τα οἱ θρασυϛομοῦντες κατὰ τοῦ πνεύματος τοῦ ἁγίου;
τίνι διανοίᾳ τὴν τῆς βασιλείας ἀξίαν εἰς ταπεινότητα
δουλείας μετασκευάζουσιν; ὅπερ γὰρ ὁ Λουκᾶς πνεῦμα
ἅγιον λέγει, [17] τοῦτο Ματθαῖος βασιλείαν· ὠνόμασεν.
Πῶς εἰς τὴν ὑποχείριον κτίσιν κατασπῶσιν [18] τὴν φύσιν
τοῦ πνεύματος, ἀντὶ τῆς βασιλευούσης τῇ βασιλευομένῃ
συγκατατάσσοντες φύσει; Ἡ κτίσις δουλεύει, ἡ δὲ δου-
λεία βασιλεία οὐκ ἔϛιν. [19] Ἀλλὰ μὴν βασιλεία τὸ πνεῦμα
B τὸ ἅγιον· εἰ δὲ βασιλεία ἐϛὶν, βασιλεύει πάντως, οὐ βα-
σιλεύεται· εἰ δὲ μὴ βασιλεύεται, οὐδὲ κτίσις ἐϛίν· ἴδιον
γὰρ τῆς κτίσεως τὸ δουλεύειν ἐϛίν. Εἰ οὖν [20] βασιλεία
τὸ πνεῦμα, πῶς τῇ δουλευούσῃ φύσει συναριθμοῦσιν αὐτὸ
οἱ μηδέπω προσεύχεσθαι μεμαθηκότες, οἱ μὴ εἰδότες
τίς ὁ καθαρίζων [21] τὸ κεκοινωμένον, [22] τίς ὁ τῆς βασι-
λείας [23] ἀναδεδεγμένος τὸ κράτος; Ἐλθέτω τὸ ἅγιον πνεῦ-
μά σου, φησὶν, καὶ καθαρισάτω ἡμᾶς. Οὐκοῦν ἰδία καὶ
C ἐξαίρετος τοῦ ἁγίου πνεύματος δύναμίς τε καὶ ἐνέργεια
τὸ καθαρίζειν τὴν ἁμαρτίαν ἐϛίν· οὐ γὰρ δὴ τὸ καθαρὸν
τε καὶ ἀμόλυντον τοῦ καθαρίζοντος δέεται. Ἀλλὰ μὴν
τὸ αὐτὸ τοῦτο καὶ τῷ μονογενεῖ προςμαρτυρεῖ ὁ ἀπόϛο-
Hebr. 1, 3. λος. Καθαρισμὸν γὰρ, φησὶ, τῶν ἁμαρτιῶν ἡμῶν ποιη-
σάμενος ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης τοῦ πατρός.
Οὐκοῦν ἓν ἑκατέρων τὸ ἔργον, τοῦ τε καθαρίζοντος τὴν
ἁμαρτίαν πνεύματος καὶ τοῦ τὸν καθαρισμὸν πεποιηκό-
τος. Ὧν δὲ ἡ ἐνέργεια μία, καὶ ἡ δύναμις πάντως ἡ
D αὐτὴ τούτων ἐϛίν· πᾶσα γὰρ ἐνέργεια δυνάμεώς ἐϛιν ἀπο-
τέλεσμα. Εἰ οὖν καὶ ἐνέργεια καὶ δύναμις μία, πῶς ἔϛιν

16) Kr. οἱ θρασυϛομοῦντες πρὸς ταῦτα. — 17) ὃ γὰρ Λουκᾶς μὲν πνεῦμα ἅγιον λέγει, Ματθαῖος δὲ βασ. ὠνόμασεν, πῶς haben die Ausg.— 18) Kr. οἱ θεομάχοι, ἀντὶ. — 19) Kr. Τὸ δὲ πνεῦμα τ. ἅγιον βασιλεία ἔϛιν.

vielleicht, wie uns von Lukas derselbe Gedanke deutlicher erklärt wird, der welcher bittet daß das Reich komme den Beistand des heiligen Geistes an? Denn es heißt in jenem Evangelium anstatt, Dein Reich komme!, Der heilige Geist komme zu uns und reinige uns! Was werden die frechen Redner gegen den heiligen Geist hierauf sagen? in welcher Absicht verkehren sie die Würde des Reichs zur Niedrigkeit der Sclaverei? Denn was Lukas heiligen Geist, das nennt Matthäus Reich. Wie mögen sie die Natur des heiligen Geistes zur untergeordneten Kreatur herabziehen, und sie anstatt mit der regierenden mit der regierten Natur zusammenstellen? Die Kreatur dient; Dienen aber ist nicht Herrschen. Nun ist aber der heilige Geist Reich. Ist er aber Reich, so regiert er jedenfalls, und wird nicht regiert. Wird er aber nicht regiert, so ist er auch nicht Kreatur, denn der Kreatur ist es eigen regiert zu werden. Regiert aber der Geist, wie können sie ihn dann der dienenden Natur zuzählen, sie die noch nicht beten gelernt haben, die nicht wissen wer der ist der das Besudelte reinigt, wer der ist welcher die Gewalt des Reichs übernommen hat? Es komme dein heiliger Geist zu uns, heißt es, und reinige uns! Die eigenthümliche und besondere Macht und Wirkung des heiligen Geistes ist also die der Reinigung von der Sünde; denn was rein und unbefleckt ist bedarf in der That keines Läuterers. Nun aber bezeugt der Apostel dieses eben von dem Eingeborenen. Denn, sagt er, er hat die Reinigung unserer Sünden bewerkstelligt, und sich gesetzt zur Rechten der Majestät des Vaters. Beide haben also ein Geschäft; der Geist reinigt von der Sünde und Christus auch, er, welcher die Reinigung bewerkstelligt hat. Welcher Thätigkeit aber dieselbe ist, deren Macht muß nothwendiger Weise auch dieselbe sein; denn alle Thätigkeit ist Wirkung und Vollzug der Macht. Ist nun die Wirksamkeit und die Macht eine einzige, mit welchem Rechte kann

---

Οὐκοῦν τῆς κατὰ τὴν κτίσιν κοινωνίας κεχώριςαι· ὃ γὰρ βασιλεύει, οὐ βασιλεύεται· ὃ δὲ μὴ βασιλεύεται, οὐδὲ. — 20) Kr. *Εἰ οὖν βασιλεία τ. πν., πῶς οὐχ ὁμολογοῦσι τὴν δεσποτείαν οἱ μηδὲ πρ. πώποτε μεμ., οἱ μηδὲ εἰδότες; Τίς.* — 21) Kr. *τόν.* — 22) Kr. *τίς δὲ ὁ.* — 23) Kr. *ἐξηρτημένος τὴν ἐξουσίαν;*

ἑτερότητα φύσεως [24] νοῆσαι ἐν οἷς οὐδεμίαν κατὰ τὴν δύναμίν τε καὶ ἐνέργειαν διαφορὰν ἐξευρίσκομεν; Ὡς γὰρ οὐκ ἔςιν ἐν τοῖς τοῦ πυρὸς ἰδιώμασιν, ὅταν τὰ δύο, τὸ φωτίζον τε καὶ τὸ καῖον, ἴσον καὶ ὅμοιον ᾖ, νομίσαι τινὰ τοῦ ὑποκειμένου παραλλαγὴν εἶναι, οὕτως οὐκ ἄν τις σωφρονῶν μίαν ἐνέργειαν ἐκ τῆς θείας γραφῆς διδαχθεὶς τοῦ υἱοῦ καὶ τοῦ πνεύματος διαφοράν τινα φύσεως ὑπονοεῖν ἐναχθείη. Ἀλλὰ μὴν προαποδέδεικται ταῖς τῶν
p. 739. εὐσεβούντων δόξαις τὴν αὐτὴν ἐπὶ πατρός τε καὶ υἱοῦ
A φύσιν εἶναι· μὴ γὰρ εἶναι δυνατὸν τὰ ἑτερογενῆ τῇ τοῦ θεοῦ κλήσει κατονομάζεσθαι. Ὡς οὐ λέγεται βάθρον ὁ υἱὸς τοῦ τέκτονος, οὐδ' ἄν τις εἴποι τῶν εὖ φρονούντων ὅτι ὁ οἰκοδόμος τὴν οἰκίαν ἐτεκνώσατο, ἀλλὰ τῇ τοῦ υἱοῦ καὶ τῇ τοῦ πατρὸς προσηγορίᾳ τὸ κατὰ τὴν φύσιν συνημμένον σημαίνεται, ἀνάγκη πᾶσα, ὅταν τὰ δύο πρὸς τὸ ἓν οἰκείως ἔχῃ, [25] μηδὲ πρὸς ἄλληλα διαφόρως ἔχειν. Ὥςτ', εἰ τῷ πατρὶ κατὰ τὴν φύσιν ὁ υἱὸς ἥνωται, τῆς δὲ τοῦ υἱοῦ φύσεως διὰ τῆς τῶν ἐνεργειῶν ταὐτότητος οὐκ ἀλ-
B λότριον ἀπεδείχθη τὸ πνεῦμα τὸ ἅγιον, μία κατὰ τὸ ἀκόλουθον ἀποδέδεικται τῆς ἁγίας τριάδος ἡ φύσις, οὐ συγχεομένης ἐφ' ἑκάςης τῶν ὑποςάσεων τῆς κατ' ἐξαίρετον ἐπιθεωρουμένης αὐταῖς ἰδιότητος, οὐδὲ τῶν γνωρισμάτων ἐν ἀλλήλοις ἀλλασσομένων, ὥςε τὸ σημεῖον τῆς πατρικῆς ὑποςάσεως ἐπὶ τὸν υἱὸν ἢ τὸ πνεῦμα μετενεχθῆναι, ἢ τοῦ υἱοῦ πάλιν ἑνὶ τῶν προκειμένων ἐφαρμοσ-
C θῆναι, ἢ τὴν τοῦ πνεύματος ἰδιότητα τῷ πατρὶ καὶ τῷ υἱῷ ἐπιφαίνεσθαι. Ἀλλ' ἐν τῇ κοινότητι τῆς φύσεως ἀκοινώνητος ἡ τῶν ἰδιαζόντων θεωρεῖται διάκρισις. Ἴδιον
Joann. 16, 28. et 17, 8. τοῦ πατρὸς τὸ μὴ ἐξ αἰτίου εἶναι. Τοῦτο οὐκ ἔςιν ἰδεῖν ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος· ὅ τε γὰρ υἱὸς ἐκ τοῦ
Joann. 15, 26. πατρὸς ἐξῆλθε, καθώς φησιν ἡ γραφὴ, καὶ τὸ πνεῦμα ἐκ τοῦ θεοῦ καὶ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. Ἀλλ' ὥςπερ τὸ ἄνευ αἰτίας εἶναι, μόνου τοῦ πατρὸς ὂν, τῷ υἱῷ

---

24) Kr. ὑπονοῆσαι. — 25) Kr. καὶ μηδὲ.

man dann eine Verschiedenheit der Natur in denen erkennen wollen in welchen wir bezüglich der Wirksamkeit und der Macht eben keinen Unterschied auffinden? Denn gleichwie in den Eigenschaften des Feuers, wenn die beiden, die des Leuchtens und die des Brennens, gleich und ähnlich sind, eine Verschiedenheit des Wesens anzunehmen nicht zulässig ist, so wird kein Vernünftiger, wenn er aus der heiligen Schrift über eine einzige Thätigkeit des Sohnes und des heiligen Geistes belehrt worden ist, sich dazu verleiten lassen einen Unterschied ihrer Natur anzunehmen. Im Gegentheil, es ist früher aus den Glaubensansichten frommer Männer der Beweis geführt worden daß im Vater dieselbe Natur wie im Sohne ist, da es unmöglich sei daß Verschiedenartiges den Namen Gottes führe. Wie ein Tischlerssohn nicht Schwelle heißt, und wohl auch Niemand der bei Sinnen ist wird behaupten wollen daß der Baumeister das Haus gezeugt habe, sondern mit der Benennung Sohn und Vater nur eben der natürliche Zusammenhang bezeichnet wird, so können nothwendiger Weise, wenn die Zwei mit einem Dritten in engster Verwandtschaft stehen, sie auch unter einander sich nicht verschieden verhalten. Darum, wenn der Sohn mit dem Vater seiner Natur nach Eins ist, und durch die Identität der Wirksamkeit der heilige Geist als ein von der Natur des Sohns nicht Getrennter nachgewiesen worden ist, ist folgerichtig die Natur und das Wesen der heiligen Dreieinigkeit erklärt, ohne daß die an jeder der drei Personen beobachtete besondere Eigenthümlichkeit vermengt, noch ihre Kennzeichen wechselsweise vertauscht werden, dergestalt daß das Kennzeichen der Person des Vaters auf den Sohn oder den Geist übertragen, oder das des Sohns wiederum einem der Genannten angepaßt wird, oder daß die Eigenthümlichkeit des Geistes auch an dem Sohne erscheint. Allein man beobachtet in der Gemeinsamkeit ihrer Natur die Scheidung der besonderen Persönlichkeiten welche sich auf keine Gemeinsamkeit zurückführen läßt. Dem Vater ist es eigenthümlich ursprungslos zu sein. Dies vermögen wir nicht am Sohne und am Geiste zu entdecken; denn der Sohn kam aus dem Vater, wie die Schrift sagt, und der Geist geht aus Gott und vom Vater aus. Wie jedoch die Ursprungslosigkeit, welche allein des Vaters ist, mit dem Sohne und dem Geiste nicht in Verbindung gebracht werden kann,

καὶ τῷ πνεύματι ἐφαρμοσθῆναι οὐ δύναται, οὕτω τὸ ἔμπαλιν τὸ ἐξ αἰτίας εἶναι, ὅπερ ἴδιόν ἐςιν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, τῷ πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει. Κοινοῦ δὲ ὄντος τῷ υἱῷ καὶ τῷ πνεύματι τοῦ μὴ ἀγεννήτως εἶναι, ὡς ἂν μή τις σύγχυσις περὶ τὸ ὑποκείμενον θεωρηθείη, πάλιν ἔςιν ἄμικτον τὴν ἐν τοῖς ἰδιώμασιν αὐτῶν διαφορὰν ἐξευρεῖν, ὡς ἂν καὶ τὸ κοινὸν φυλαχθείη, καὶ τὸ ἴδιον μὴ συγχεθείη. Ὁ γὰρ μονογενὴς υἱὸς ἐκ τοῦ πατρὸς παρὰ τῆς ἁγίας γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵςησιν αὐτῷ τὸ ἰδίωμα. Τὸ δὲ ἅγιον πνεῦμα καὶ ἐκ τοῦ πατρὸς λέγεται, καὶ τοῦ υἱοῦ εἶναι προςμαρτυρεῖται· εἰ γάρ τις, φησὶ, πνεῦμα Χριςοῦ οὐκ
Rom. 8, 9. ἔχει, οὗτος οὐκ ἔςιν αὐτοῦ. Οὐκοῦν τὸ μὲν πνεῦμα τὸ ἐκ τοῦ θεοῦ ὂν καὶ Χριςοῦ πνεῦμά ἐςιν· ὁ δὲ υἱὸς ἐκ τοῦ θεοῦ ὢν οὐκέτι καὶ τοῦ πνεύματος οὔτε ἐςὶν, οὔτε λέγεται· οὐδὲ ἀντιςρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη, ὡς δύνασθαι κατὰ τὸ ἴσον δι' ἀναλύσεως ἀντιςραφῆναι τὸν λόγον καὶ, ὥςπερ Χριςοῦ τὸ πνεῦμα λέγομεν, οὕτω καὶ τοῦ πνεύματος Χριςὸν ὀνομάσαι. Ταύτης τοίνυν τῆς ἰδιότητος τρανῶς καὶ ἀσυγχύτως τὸ ἕτερον τοῦ ἑτέρου διακρινούσης, τῆς δὲ κατὰ τὴν ἐνέργειαν ταὐτότητος τὸ κοινὸν μαρτυρούσης τῆς φύσεως, ἔῤῥωται δι' ἑκατέρων ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις, ὡς καὶ ἀριθμεῖσθαι τὴν τριάδα διὰ τῶν ὑποςάσεων, καὶ εἰς ἑτεροφυῆ τμήματα μὴ διακόπτεσθαι. Τίς οὖν ἡ μανία τῶν πνευματομαχούντων δουλεύειν τὸν κύριον δογματιζόντων, οἷς οὐδὲ Παῦλος διαμαρτυρόμενός ἐςιν ἀξιόπιςος, ὅς φησιν, Ὁ δὲ
Corinth. 3, 17. κύριος τὸ πνεῦμά ἐςιν; Ἢ τάχα τὸ Ἐλθέτω καθαιρετικὸν τῆς ἀξίας νομίζουσιν; εἶτα οὐκ ἀκούουσι τοῦ μεγάλου Δαυὶδ, καὶ τὸν πατέρα πρὸς ἑαυτὸν ἕλκοντος καὶ, Ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς, βοῶντος; Εἰ οὖν ἐπὶ τοῦ πατρὸς τὸ ἐλθεῖν σωτήριον, πῶς ἐπὶ τοῦ πνεύματος τὸ ἐλθεῖν ἐπονείδιςον; Ἢ τὸ καθαίρειν τῶν ἁμαρτιῶν σημεῖον ποιοῦνται τῆς κατὰ τὴν ἀξίαν ὑφέσεως; Καὶ μὴν ἄκουε τῶν ἀπίςων Ἰουδαίων βοώντων ὅτι, Τὸ ἀφιέναι ἁμαρτίας μόνου ἐςὶ τοῦ θεοῦ. Περὶ τοῦ πατρὸς λέγοντες, Τί οὗτος,

so kann wiederum die Eigenschaft daß man einen Ursprung hat, welche dem Sohne und dem Geiste gehört, unmöglich an dem Vater sich beobachten lassen. Hat nun der Sohn und der Geist die gemeinsame Eigenschaft sich nicht ursprungslos zu verhalten, so vermag man andernseits den Unterschied ihrer Eigenschaften in völliger Reinheit aufzufinden, damit einerseits die Gemeinsamkeit gewahrt, andernseits das Eigenthümliche nicht vermengt und vermischt werde. Denn der eingeborene Sohn wird von der heiligen Schrift als vom Vater ausgegangen genannt, und so weit stellt ihr Wort ihm seine Eigenthümlichkeit fest. Vom heiligen Geist aber heißt es, er sei aus dem Vater, und außerdem wird bezeugt daß er des Sohnes sei; denn, sagt die Schrift, wenn Jemand den Geist Christi nicht hat, der ist nicht sein. Sonach ist also der Geist der aus Gott ist auch Christi Geist; der Sohn aber, obschon er aus Gott ist, ist darum nicht auch des Geistes, noch bezeichnet man ihn so; auch kehrt sich dies bezügliche Verhältniß nicht um, so daß wir den Satz ebenso umdrehen, und, wie wir vom Geiste sagen daß er Christi sei, so auch von Christus zu sagen vermöchten daß er des Geistes sei. Wenn also diese Eigenthümlichkeit beide von einander deutlich und scharf abscheidet, dagegen die Identität der Wirksamkeit die Gemeinsamkeit der Natur bestätigt, so hat der fromme Glaube über Gott, daß die Dreieinigkeit durch ihre Personen eine Zählung zuläßt, und dennoch nicht sich in einander fremdartige Stücke zerspaltet, durch Beides seine Befestigung gewonnen. Was ist das also für ein Wahnwitz der Widersacher des heiligen Geistes, die da lehren daß der Herr im Stande des Dienenden sei, und für welche selbst das Zeugniß des Paulus keine Glaubwürdigkeit besitzt, welcher sagt, Der Herr aber ist der Geist? Oder glauben sie vielleicht daß das Es komme seine Würdestellung beeinträchtige? Dann vernehmen sie nicht was der große David sagt, welcher den Vater zu sich zieht und ausruft, Komme, uns zu retten! Wenn also den Vater zu bitten daß er komme heilbringend ist, wie soll dann die gleiche Bitte an den Geist beschimpfend und schmähend sein? Oder machen sie das Reinigen von Sünde zu einem Zeichen einer Herabsetzung der Würde? So höre denn auf die ungläubigen Juden, wo sie ausrufen, Sünden vergeben

Luc. 5, 21. φασὶν, λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός; Εἰ οὖν ἀφίησι [26] μὲν ὁ Θεὸς ἁμαρτίας, αἴρει δὲ ὁ υἱὸς τοῦ κόσμου τὴν ἁμαρτίαν, καθαρίζει δὲ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῶν τῆς ἁμαρτίας μολυσμάτων, οἷς ἂν ἐγγένηται, τί ἐροῦσιν οἱ τῇ ἰδίᾳ προσπο-
D λεμοῦντες ζωῇ; Ἀλλ' ἐλθέτω ἐφ' ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον, καὶ καθαρισάτω ἡμᾶς, καὶ ποιήσειεν δεκτικοὺς τῶν ὑψηλῶν τε καὶ θεοπρεπῶν νοημάτων, τῶν διὰ τῆς προςευχῆς ἡμῖν παρὰ τῆς τοῦ σωτῆρος ὑποδεικνυμένων φωνῆς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ δ'.

p. 740. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς.
A Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.

B Ἤκουσά τινος ἰατρικοῦ τεχνικῶς περὶ τῆς κατὰ τὴν ὑγείαν ἕξεως φυσιολογοῦντος· ἴσως δ' ἂν γένοιτο ἡμῖν καὶ πρὸς τὴν τῆς ψυχῆς εὐεξίαν οὐκ ἀπὸ σκοποῦ τὸ λεγόμενον. Τὴν γὰρ ἐκ τοῦ μετρίου παρατροπὴν τῶν ἐν ἡμῖν ςοιχείων τινὸς ἀρχὴν καὶ αἰτίαν τῆς κατὰ τὸ πάθος συςάσεως διωρίζετο, καὶ ἐκ τοῦ ἐναντίου πάλιν τὴν ἐπὶ τὸ οἰκεῖόν τε καὶ κατὰ φύσιν τῶν πλημμελῶς παρακινηθέντων ἀποκατάςασιν θεραπείαν ἔφασκεν τῆς νοσώδους αἰτίας εἶναι. Καὶ διὰ τοῦτο σκοπεῖν ᾤετο δεῖν [1] τί μάλιςα
C τῶν ἐν ἡμῖν ἐν ἀταξίᾳ κινουμένων διὰ τῆς ἰδίας ἐπικρατήσεως ἄτονον [2] ποιεῖ τοῦ ἀντιςοιχοῦντος τὴν πρὸς τὴν ὑγείαν συνειςφοράν· ὡς εἰ μὲν τὸ θερμὸν ἐπικρατοίη, συμμαχίαν τῷ δυναςευομένῳ παρέχειν καὶ ὑπονοτίζειν τὸ ξηραινόμενον, μή που τῆς ὕλης ἐπιλιπούσης μαρανθείη τελείως καὶ ἀποσβεσθείη ἐν ἑαυτῷ τὸ θερμὸν, αὐτὸ περὶ

---

26) Kr. μὲν αμαρτίας ὁ πατὴρ, αἴρει.
1) Kr. ὅτι. — 2) Kr. ποιεῖν.

kann allein Gott. Mit Bezug auf den Vater sagen sie, Wer ist der daß er Gotteslästerung redet? wer kann Sünden vergeben außer Gott allein? Vergiebt nun Gott die Sünden, und nimmt der Sohn der Welt Sünde auf sich, und reinigt der heilige Geist von den Flecken der Sünde, an welchen solche haften, was werden dann die sagen welche einen Kampf gegen ihr eigenes Leben führen? Ja, es komme zu uns der heilige Geist, und läutere uns, und mache uns fähig erhabener und göttlicher Gedanken, welche uns auf dem Wege des Gebets von der Stimme des Erlösers geoffenbart werden, welchem die Herrlichkeit gehört in Ewigkeit. Amen.

Vierte Rede.

Dein Wille geschehe, wie im Himmel, also auch auf Erden! Unser tägliches Brot gieb uns heute!

Ich habe einen Arzt in geschickter und sachverständiger Weise über den Zustand der Gesundheit eingehend sprechen hören; vielleicht daß seine Worte auch bezüglich des Wohlbefindens der Seele für uns nicht unpassend sind. Er bezeichnete nämlich als Anfang und Ursache einer in uns entstehenden Krankheit die Abweichung der in uns befindlichen Elemente von ihrem richtigen Verhältniß, und umgekehrt wieder, sagte er, bestehe in der Rückversetzung der in fehlerhafter Weise abgewichenen Theile in ihr passendes und natürliches Verhältniß die Heilung der Veranlassung zur Krankheit. Darum meinte er auch, müsse man sein Augenmerk darauf richten was von den in uns in Unordnung gerathenen Theilen durch seine Uebergewalt die helfende Einwirkung der von der entgegengesetzten Seite her zur Genesung anstrebenden Kraft abschwäche, dergestalt daß, wenn die Hitze in Uebermacht ist, man dem Theil welcher unter dem Einfluß derselben steht, Hilfe bringt, und das was gedörrt wird mit Feuchtigkeit netzt, damit nicht etwa durch Vernichtung des Stoffs die Hitze sich völlig verzehre und in sich selbst erlösche und vergehe,

[3]ἑαυτὸ δαπανώμενον, ὡςαύτως καὶ, εἴ τι τῶν ἄλλων τῶν
κατὰ τὸ ἐναντίον ἐν ἡμῖν θεωρουμένων ἐκβαίνοι τὸν ὅρον,
πρὸς τὸ πλεονάζον ἴςασθαι τῷ ἐλαττουμένῳ τὴν ἀπὸ τῆς
D τέχνης συμμαχίαν ἐπάγοντας, τούτων δὲ γενομένων,· καὶ
μηδενὸς τῇ τῶν ϛοιχείων ἰσονομίᾳ ἐμποδίζοντος, ἐπανά-
γεσθαι τὴν ὑγείαν τῷ σώματι, μηκέτι τῆς φύσεως κατὰ
τὴν κρᾶσιν ἀνωμαλούσης. Τί δή μοι βούλεται τὸ μακρὸν
τοῦτο τοῦ λόγου προοίμιον; Τάχα οὐκ [4]ἀπὸ σκοποῦ τὸ
p. 741. θεώρημα, οὐδὲ πόῤῥω που τῆς προκειμένης ὑποθέσεως
A ἀπεσχοινίςαι· πρόκειται γὰρ ἡμῖν εἰς θεωρίαν τὸ, Γενη-
θήτω τὸ θέλημά σου. Ὅτου δὲ χάριν ἐμνήσθημεν τοῦ
κατὰ τὴν ἰατρικὴν θεωρήματος, διὰ τῶν ἐφεξῆς σαφηνί-
σομεν. Ἦν ἐν ὑγείᾳ ποτὲ νοητῇ τὸ ἀνθρώπινον, οἷόν τινων
ϛοιχείων, τῶν τῆς ψυχῆς λέγω κινημάτων, κατὰ τὸν τῆς
ἀρετῆς λόγον ἰσοκρατῶς ἐν ἡμῖν κεκραμένων. Ἐπεὶ δὲ
τοῦ ἐπιθυμητικοῦ κατισχύσαντος ἡ ἐκ τοῦ ἐναντίου νοου-
μένη διάθεσις, ἡ ἐγκράτεια, κατεκρατήθη τῷ πλεονάζοντι,
B καὶ τὴν ἄμετρον τῆς ἐπιθυμίας ἐπὶ τὰ μὴ δέοντα κίνη-
σιν τὸ κωλύον οὐκ ἦν, ἐκ τούτου τὸ ἐπιθανάτιον νόσημα,
ἡ ἁμαρτία, τῇ ἀνθρωπίνῃ συνέςη φύσει. Ὁ τοίνυν ἰατρὸς
ἀληθὴς τῶν τῆς ψυχῆς παθημάτων, ὁ διὰ τοὺς κακῶς
ἔχοντας ἐν τῇ ζωῇ τῶν ἀνθρώπων γενόμενος, τοῖς ἐν τῇ
προςευχῇ νοήμασι τὸ νοσοποιὸν αἴτιον ὑπεκλύων ἐπανά-
γει ἡμᾶς ἐπὶ τὴν νοητὴν ὑγίειαν. Ὑγεία δὲ τῆς ψυχῆς
ἡ τοῦ θείου θελήματος εὐοδία, ὥςπερ δὴ πάλιν τὸ ἐκ-
πεσεῖν τοῦ ἀγαθοῦ θελήματος νόσος ἐςὶ ψυχῆς [5]τελευ-
τῶσα εἰς θάνατον. Ἐπεὶ οὖν ἠσθενήσαμεν τὴν ἀγαθὴν
C ἐν τῷ παραδείσῳ δίαιταν καταλιπόντες, ὅτε τοῦ δηλητη-
ρίου τῆς παρακοῆς ἄρδην ἐνεφορήθημεν, καὶ διὰ τοῦτο
τῷ πονηρῷ τούτῳ καὶ ἐπιθανατίῳ νοσήματι κατεκρατήθη
ἡ φύσις, ἦλθεν ὁ ἀληθινὸς ἰατρὸς, κατὰ τὸν νόμον τῆς
ἰατρικῆς διὰ τῶν ἐναντίων τὸ κακὸν ἐξιώμενος. Καὶ τοὺς
διὰ τοῦτο τῇ ἀῤῥωςίᾳ συνενεχθέντας, ὅτι τοῦ θείου θε-

3) Kr. ἑαυτῷ. — 4) Kr. ἄπο — 5) Kr. τελευτώσης. Das τελευτῶσα ist Conjectur.

wie wir ebenso auch, wenn eine andere entgegengesetzte Thätigkeit unsers Körpers die Grenze überschreitet, dann, um seiner Uebermacht einen Damm entgegenzusetzen, dem beeinträchtigten Theile den Beistand der Kunst zukommen lassen, und daß, wenn dies geschehen ist, und Nichts mehr dem Gleichheitsverhältniß der Elemente hindernd entgegentritt, dann dem Körper die Gesundheit wiedergegeben werde, sofern nun die Natur in ihrer Mischung keiner Ungleichheit und Abweichung von der Regel mehr unterliegt. Was will nun dieses lange Vorwort meiner Rede? Vielleicht ist die Betrachtung nicht zwecklos, und dem für meine Rede gewählten Stoffe nicht allzufern; als Gegenstand der Betrachtung liegt aber vor das Dein Wille geschehe! Weßhalb wir aber der ärztlichen Betrachtung gedachten, werden wir im Folgenden deutlich machen. Es befand sich einst das Menschengeschlecht in seiner geistigen Gesundheit, und die Elemente, das heißt die Thätigkeiten der Seele, waren nach dem Verhältniß der Tugend zu gleichmäßiger Kraftäußerung in uns zusammengemischt. Da jedoch das Begehrungsvermögen die Oberhand gewann, und in Folge dessen die gegentheilige Verfassung, die Enthaltsamkeit, vor der Uebermacht gewichen war, und Nichts den maßlosen Fortschritt der Begierde zu dem Unerlaubten aufhielt, da entstand für die menschliche Natur die todbringende Krankheit, die Sünde. Der wahre Arzt der Leiden der Seele, welcher der Kranken wegen in das Leben der Menschen gekommen ist, hebt nach und nach durch die in dem Gebete niedergelegten Gedanken und Entschließungen das die Krankheit verursachende Uebel und führt uns zur geistigen Gesundheit wieder zurück. Gesundheit der Seele aber ist das gute Gelingen im Durchführen des göttlichen Willens, wie eben andernseits die diesem Willen bewiesene Untreue eine Krankheit der Seele ist welche mit dem Tode endigt. Da nun, nachdem wir das Gift des Ungehorsams in vollen Zügen eingesogen und in Folge dessen die menschliche Natur von dieser bösen und todbringenden Krankheit erfaßt worden war, wir das gute Leben im Paradiese krank verlassen hatten, da kam der wahre Arzt, welcher nach dem Gesetze der Heilkunst das Uebel durch die entgegengesetzten Mittel heilte. Und zwar befreit er diejenigen welche in die Krankheit verfallen waren weil sie vom göttlichen Willen ab-

λήματος ἐχωρίσθησαν, πάλιν ἐλεύθεροι τοῦ νοσήματος τῇ πρὸς τὸ βούλημα τοῦ θεοῦ συναφείᾳ. Τὰ γὰρ τῆς προςευχῆς ῥήματα θεραπεία ἐςὶ τῆς [6] ἐγγενομένης τῇ ψυχῇ
D ἀῤῥωςίας· εὔχεται γὰρ οἷόν τισιν ὀδύναις τὴν ψυχὴν συνεχόμενος ὁ λέγων, Γενηθήτω τὸ θέλημά σου. Θέλημα δὲ θεοῦ ἡ σωτηρία τῶν ἀνθρώπων ἐςίν. Ἐπειδὰν τοίνυν εἰς τοῦτο ςῶμεν ὥςε εἰπεῖν τῷ θεῷ ὅτι, Γενηθήτω καὶ ἐν ἐμοὶ τὸ θέλημά σου, ἀνάγκη πᾶσα πρότερον κατειπεῖν ἐκείνου τοῦ βίου ὃς ἔξω τοῦ θείου βουλήματος ἦν, καὶ ταῦτα ἐν τῇ ἐξαγορεύσει διεξελθεῖν ὅτι, Ἐπειδὴ κακῶς ἐνήργησεν ἐν ἐμοὶ διὰ τοῦ φθάσαντος βίου τὸ ἀντικείμενον θέλημα, καὶ ὑπηρέτης ἐγενόμην τοῦ πονηροῦ τυράν-
p. 742. νου, οἷόν τις δήμιος τὴν τοῦ ἐχθροῦ ψῆφον εἰς πέρας
A κατ᾽ ἐμαυτοῦ φέρων, τούτου χάριν οἶκτον λαβὼν τῆς ἀπωλείας μου δός ποτε καὶ τὸ σὸν θέλημα γενέσθαι ἐν ἐμοί. Ὥςπερ γὰρ ἐν τοῖς ζοφώδεσι τῶν σπηλαίων φωτὸς εἰςκομισθέντος ὁ ζόφος ἐξαφανίζεται, οὕτω τοῦ σοῦ θελήματος ἐν ἐμοὶ γενομένου πᾶσα πονηρὰ καὶ ἄτοπος τῆς προαιρέσεως κίνησις εἰς τὸ μὴ ὂν περιΐςαται. Ἡ γὰρ σωφροσύνη σβέσει τὴν ἀκόλαςον καὶ ἐμπαθῆ τῆς διανοίας ὁρμὴν, ἡ ταπεινοφροσύνη καταναλώσει τὸν τῦφον, ἡ μετριότης ἰά-
B σεται τῆς ὑπερηφανίας τὴν νόσον, τὸ δὲ τῆς ἀγάπης ἀγαθὸν πολὺν κατάλογον τῶν ἀντικειμένων κακῶν τῆς ψυχῆς ἀπελάσει· ταύτῃ γὰρ ὑποχωρεῖ τὸ μῖσος, ὁ φθόνος, ἡ μῆνις, ἡ κατ᾽ ὀργὴν κίνησις, ἡ θυμώδης διάθεσις, ἡ ἐπιβουλὴ, ἡ ὑπόκρισις, ἡ λυπηρῶν μνήμη, ἡ τῆς ἀντιλυπήσεως ὄρεξις, ἡ περικάρδιος τοῦ αἵματος ζέσις, ὁ πικρὸς ὀφθαλμὸς, πᾶσα ἡ τῶν τοιούτων κακῶν ἀγέλη τῇ ἀγαπητικῇ διαθέσει ἐξαφανίζεται. Οὕτως ἐκβάλλει τὴν διπλῆν εἰδωλολατρείαν ἡ ἐνέργεια τοῦ θεοῦ βουλήματος· διπλῆν δέ φημι τήν τε περὶ τὰ εἴδωλα μανίαν καὶ τὴν
C περὶ τὸ ἀργύριον καὶ χρυσίον [7] ἐπιθυμίαν, ἅπερ εἴδωλα
Psalm. 113, 4. τῶν ἐθνῶν ὁ τῆς προφητείας ὠνόμασε λόγος. Γενηθήτω τοίνυν τὸ θέλημά σου, ἵνα σβεσθῇ τοῦ διαβόλου τὸ θέ-

6) Kr. ἐγγινομένης. — 7) Bei Kr. fehlt ἐπιθυμίαν.

gewichen dadurch wieder von ihrem Leiden daß er sie mit dem göttlichen Willen versöhnte und verband. Denn die Worte des Gebets geben Heilung von dem Uebel welches die Seele befallen hatte; denn wer spricht, Es geschehe Dein Wille!, der betet, wie wenn er von Seelenschmerzen ergriffen wäre. Der Wille Gottes aber ist das Heil der Menschen. Wenn wir nun dazu schreiten daß wir zu Gott sagen, Dein Wille geschehe auch in mir!, so müssen wir nothwendiger Weise zuerst jenes Leben anklagen welches außerhalb des göttlichen Willens stand und in folgender Weise uns aussprechen: Da der dem Deinigen widerstrebende Wille in meinem früheren Leben schlecht gehandelt hat, und ich ein Diener des bösen Fürsten geworden bin, indem ich gleichsam wie ein Henkersknecht den Urtheilsspruch des Feindes an mir vollstreckte, deßhalb erbarme Dich meiner Verlorenheit, und gieb daß endlich Dein Wille auch in mir geschehe! Denn wie in dem Dunkel der Höhlen, wenn ein Licht hineingebracht wird, das Dunkel verschwindet, so verschwindet, wenn Dein Wille in mir geschieht, alle böse und thörichte Regung des Willens in das Nichts. Denn die Enthaltsamkeit wird den zügellosen und leidenschaftlichen Drang dämpfen, die Demuth wird die Hoffart vernichten, die Bescheidenheit wird die Krankheit des Hochmuths heilen, und der Segen der Liebe wird eine zahlreiche Schaar der feindlichen Uebel aus der Seele vertreiben; denn vor ihr weicht der Haß zurück, der Neid, der Groll, die Heftigkeit, die jähzornige Stimmung, die Tücke, die Heuchelei, die Unversöhnlichkeit, welche angethanes Weh nicht vergißt, die Rachsucht, welche es zu erwidern bestrebt ist, das rings um das Herz siedende Blut, der giftig stechende Blick, — der ganze Haufe dieser Uebel wird durch das Gefühl der Liebe der Vernichtung überwiesen. So vertreibt die Kraft des göttlichen Willens den zwiefachen Götzendienst; zwiefachen Götzendienst aber nenne ich den Wahnwitz welcher den Götzen huldigt, und zweitens die Gier nach dem Gold und Silber, welche das Wort des Propheten die Götzen der Heiden genannt hat. Demnach geschehe Dein Wille, damit der Wille des Teufels erlösche! Warum bitten

λημα. Διὰ τί δὲ παρὰ τοῦ Θεοῦ γενέσθαι τὴν ἀγαθὴν ἡμῖν προαίρεσιν ἐπευχόμεθα; Ὅτι ἀσθενὴς ἡ ἀνθρωπίνη φύσις πρὸς τὸ ἀγαθόν ἐςιν, ἅπαξ διὰ κακίας ἐκνευρισθεῖσα. Οὐ γὰρ μετὰ τῆς αὐτῆς εὐκολίας πρός τε τὸ κακὸν ὁ ἄνθρωπος ἔρχεται καὶ ἀπὸ τούτου πάλιν ἐπὶ τὸ ἀγαθὸν ἐπανέρχεται, ὥςπερ καὶ ἐπὶ τῶν σωμάτων ἔςι κατανοῆσαι τὸν τοιοῦτον λόγον, ὅτι οὐχ ὁμοίως, οὐδὲ μετὰ τῆς ἴσης ῥᾳςώνης τό τε ὑγιαῖνον ἐν νόσῳ γίνεται
D καὶ τὸ νενοσηκὸς ὑγιάζεται. Ὁ γὰρ ἐν ὑγείᾳ τέως διάγων καὶ δι' ἑνὸς πολλάκις τραύματος εἰς τὸν περὶ τῶν ἐσχάτων κίνδυνον ἦλθεν, καὶ μία περίοδος ἢ καταβολὴ πυρετοῦ πάντα τὸν τοῦ σώματος τόνον διέλυσεν, καὶ βραχεῖα δηλητηρίου γεῦσις ἢ παντελῶς διέφθειρεν ἢ παρ' ὀλίγον τοῦτο ἐποίησεν, [8] καὶ δήγματι ἑρπετοῦ, ἢ κέντρῳ τινὶ τῶν ἰοβόλων, ἢ ὀλισθήματι, ἢ καταπτώματι, ἢ πλείονι τῆς δυνάμεως ἀδηφαγίᾳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ εὐθέως ἐπηκολούθησεν ἢ νόσος ἢ θάνατος· ἡ δὲ τοῦ ἀῤῥωςήματος ἀπαλλαγὴ πολλαῖς ἐπινοίαις γίνεται καὶ δυςκολίαις [9] καὶ
p. 743. A τέχναις ἰατρικαῖς, ἐὰν ἄρα καὶ γένηται. Διὰ τοῦτο πρὸς μὲν τὸ κακὸν ἡμῖν τῆς ὁρμῆς γινομένης οὐ χρεία τοῦ συνεργοῦντος, αὐτομάτως ἐν τῷ θελήματι ἡμῶν τῆς κακίας ἑαυτὴν τελειούσης· εἰ δὲ πρὸς τὸ κρεῖττον γένοιτο ἡ ῥοπὴ, τοῦ Θεοῦ χρεία τοῦ τὴν ἐπιθυμίαν εἰς ἔργον ἄγοντος. Διὰ τοῦτό φαμεν ὅτι, Ἐπειδὴ θέλημά σοῦ ἐςιν ἡ σωφροσύνη, ἐγὼ δὲ σάρκινός εἰμι, πεπράμενος ὑπὸ τὴν ἁμαρτίαν, τῇ σῇ δυνάμει κατορθωθείη μοι τὸ ἀγαθὸν τοῦτο θέλημα· οὕτως ἡ δικαιοσύνη, ἡ εὐσέβεια, ἡ τῶν παθῶν ἀλλοτρίωσις. Ἡ γὰρ τοῦ θελήματος φωνὴ πάσας γενι-
B κῶς ἐμπεριλαμβάνει τὰς ἀρετὰς, καὶ τὰ καθ' ἕκαςον τῶν ἐν τῷ ἀγαθῷ νοουμένων ἐν τῷ θελήματι τοῦ Θεοῦ θεωρεῖται. Ἀλλὰ τί βούλεται ἡ προςθήκη τοῦ λόγου, Ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς; Τάχα μοι δοκεῖ τῶν βαθυτέρων τι δογμάτων ὑποσημαίνειν ὁ λόγος, καί τινα ποιεῖσθαι διδασκαλίαν θεοπρεποῦς διανοίας ἐν τῇ θεωρίᾳ τῆς κτίσεως.

---

8) Kr. ἤ. — 9) Kr. ἤ.

wir aber daß uns von Gott der gute Wille werde? Darum, weil die menschliche Natur zu schwach zum Guten ist, nachdem sie einmal durch das Böse entnervt worden ist. Der Mensch schreitet nicht mit derselben Leichtigkeit zum Bösen und kehrt von diesem wieder zum Guten zurück, wie man auch bei den Körpern diesen Fall beobachten kann, daß nicht auf gleiche Weise, noch mit derselben Leichtigkeit das Gesunde krank, und das Erkrankte gesund wird. Denn der bisher Rüstige kommt oft durch eine Wunde in die äußerste Gefahr, und eine einzige Wiederkehr oder ein einziger Anfall des Fiebers vernichtet alle Spannkraft des Körpers, und das Kosten von nur wenigem Gift richtet ihn entweder völlig zu Grunde, oder doch beinahe, und auf den Biß einer Schlange, oder den Stachel eines anderen giftigen Thiers, oder auf einen Fehltritt, auf einen Fall, oder übermäßigen Genuß von Speise, oder auf ein anderes Derartiges folgt entweder Krankheit oder Tod; die Befreiung von dem Leiden hingegen wird nur durch viele Mittel und vielen Aufwand ärztlicher Kunst und nach vielen Schwierigkeiten bewerkstelligt, wenn sie anders bewerkstelligt wird. Deßhalb braucht man, wenn in uns ein Hang zum Bösen entstanden ist keines Helfers, weil das Böse in unserem Willen sich von selbst vollendet; neigen wir uns dagegen dem Besseren zu, da bedürfen wir Gottes, welcher das Verlangen ins Werk setzt. Darum sagen wir, Da Dein Wille die Enthaltsamkeit ist, ich aber fleischlich gesinnt bin und unter die Sünde verkauft, so möge durch Deine Kraft in mir dieser gute Wille zur That werden! so die Gerechtigkeit, die Frömmigkeit, die Befreiung von den Leidenschaften. Denn das Wort Wille umfaßt in sich alle Tugenden, und in dem Willen Gottes liegt der Reihe nach Alles was man unter Gut versteht. Aber was will der Zusatz der Worte, Wie im Himmel, also auch auf Erden? Beinahe scheint es mir als ob dieses Wort eine tiefere Weisheit andeute und uns ein gotterhabenes Verständniß in der Betrachtung der Schö-

Ὃ δὲ λέγω τοιοῦτόν ἐστιν. Μεμέρισται πᾶσα ἡ λογικὴ κτίσις εἴς τε τὴν ἀσώματον καὶ τὴν ἐνσώματον φύσιν. Ἔστι δὲ ἀγγελικὴ μὲν ἡ ἀσώματος, τὸ δὲ ἕτερον εἶδος ἡμεῖς
C οἱ ἄνθρωποι. Ἡ μὲν οὖν νοητὴ, ἅτε δὴ τοῦ βαροῦντος κεχωρισμένη σώματος, τούτου λέγω τοῦ ἀντιτύπου τε καὶ εἰς γῆν βρίθοντος, τὴν ἄνω λῆξιν ἐπιπορεύεται, τοῖς κούφοις τε καὶ αἰθεριώδεσι τόποις ἐνδιατρίβουσα ἐν ἐλαφρᾷ τε καὶ εὐκινήτῳ τῇ φύσει· ἡ δὲ ἑτέρα διὰ τὴν τοῦ σώματος ἡμῶν πρὸς τὸ γεῶδες συγγένειαν οἷόν τινα ἰλύος ὑποστάθμην κατ᾽ ἀνάγκην τὸν περίγειον τοῦτον εἴληχε βίον, οὐκ οἶδα μὲν ὅ τι τοῦ θείου βουλήματος διὰ τούτων οἰκονομοῦντος, εἴτε πᾶσαν πρὸς ἑαυτὴν οἰκειοῦντος τὴν κτίσιν, ὡς ἂν μήτε τῶν οὐρανίων ὑψωμάτων ἡ κάτω λῆξις ἀμοι-
D ρήσειε, μήτε ὁ οὐρανὸς καθ᾽ ὅλου τῶν κατὰ τὴν γῆν ἀμοιρήσειεν, ὡς ἂν γένοιτό τις διὰ τοῦ ἀνθρωπίνου πλάσματος [10] ἑκατέρων τῶν στοιχείων μετουσία τῶν ἐν θατέρῳ νοουμένων, τοῦ τε νοεροῦ τῆς ψυχῆς, ὅπερ δοκεῖ συγγενές τε καὶ ὁμόφυλον τῶν κατ᾽ οὐρανὸν εἶναι δυνάμεων, τοῖς γηΐνοις σώμασιν ἐνοικοῦντος, τῆς τε γεηρᾶς ταύτης σαρκὸς ἐν τῇ ἀποκαταστάσει τῶν πάντων εἰς τὸν οὐράνιον
1 Thess. 4, 17. χῶρον τῇ ψυχῇ συμμετοικιζομένης (ἁρπαγησόμεθα γὰρ, καθώς φησιν ὁ ἀπόστολος, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ
p. 744. κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα),
A εἴτε οὖν τοῦτο, εἴτε τι ἕτερον παρὰ τοῦτο τῆς τοῦ θεοῦ σοφίας οἰκονομούσης, ἐν τῇ διπλῇ ταύτῃ ζωῇ μερισθεῖσα πᾶσα ἡ λογικὴ διῄρηται φύσις, ἡ μὲν ἀσώματος τὴν οὐράνιον λαχοῦσα μακαριότητα, ἡ δὲ διὰ σαρκὸς εἰς τὴν γῆν ἐπιστρεφομένη διὰ τὴν πρὸς αὐτὴν οἰκειότητα. Ἡ μέντοι τοῦ καλοῦ τε καὶ ἀγαθοῦ ἐπιθυμία ὁμοτίμως ἑκατέρᾳ συνουσιώθη τῇ φύσει, καὶ τὸ αὐτοκρατές τε καὶ αὐτεξούσιον καὶ πάσης ἀνάγκης ἐλεύθερον ἴσον ἐπ᾽ ἀμφοῖν
B ὁ τοῦ παντὸς ἐπιστάτης ἐποίησεν, ὡς αὐτονόμῳ τινὶ προαιρέσει οἰκονομεῖσθαι πᾶν ὅσον λόγῳ τε καὶ διανοίᾳ τετίμηται. Ἀλλ᾽ ἡ μὲν ἄνω ζωὴ καθαρεύει πάντη κακίας,

---

10) Kr. ἑκατέρῳ.

pfung lehre. Was ich meine ist Folgendes. Die gesammte vernünftige Schöpfung ist in die körperlose und körperliche Natur getheilt. Engelisch ist die körperlose, und die andere Gattung machen wir Menschen aus. Die intellectuale nun, weil sie eben von dem belastenden Körper getrennt ist, ich meine von diesem festen und zur Erde niederziehenden; steigt in die obere Region auf, und verweilt bei ihrer flüchtigen und beweglichen Natur in leichten und ätherischen Orten, während der anderen wegen der Verwandtschaft unsers Körpers mit der Erde nothwendiger Weise dieses irdische Leben, welches einem Bodensatz von Schmuz gleicht, zu Theil geworden ist, wobei ich nicht weiß was der göttliche Wille hierdurch beabsichtigte, ob er die gesammte Schöpfung sich verwandt machen wollte, daß weder die untere Region an den himmlischen Höhen, noch der Himmel an dem Irdischen ohne allen Antheil wäre, damit durch das menschliche Gebild beide Elemente das eine die Eigenschaften des anderen mitgewännen, sofern ja die Geistigkeit der Seele, welche verwandt und gleichen Geschlechts mit den Mächten des Himmels zu sein scheint, den irdischen Leibern innewohnt, andernseits dieses irdische Fleisch bei der Wiederherstellung aller Dinge mit der Seele zugleich in den Himmelsraum übersiedelt wird (denn, wie der Apostel sagt, wir werden hingerückt werden in den Wolken, dem Herrn entgegen in der Luft, und werden also bei dem Herrn sein allezeit), ob sage ich die Weisheit Gottes also dieses, oder ob sie etwas Anderes bezweckte, kurz die gesammte vernünftige Kreatur ist in dieses zwiefache Leben getheilt, und der körperlosen die himmlische Glückseligkeit beschieden worden, die fleischliche hingegen wegen ihrer Verwandtschaft mit der Erde dieser zugewendet. In der That ist das Verlangen nach dem Schönen und Guten gleichmäßig mit dem Wesen der einen wie der anderen verbunden worden, und der Lenker des Alls hat beiden in gleichem Verhältniß die Unabhängigkeit, die Selbstständigkeit und Freiheit von allem Zwang verliehen, so daß Alles was durch die Begabung mit Vernunft und Verstand geehrt worden ist durch eine gewisse eigene freie Willensthätigkeit regiert wird. Allein das Leben in den Höhen des Himmels ist gänzlich rein vom Bösen, und keinerlei Widersprüche finden

καὶ οὐδὲν ἐκείνοις τῶν ἐκ τοῦ ἐναντίου νοουμένων συμπολιτεύεται· πᾶσα δὲ ἐμπαθὴς κίνησίς τε καὶ διάθεσις τὴν κάτω ζωὴν περιπολεῖ, ἐν οἷς ἐςι τὸ ἀνθρώπινον. Διὰ τοῦτο τὴν ἐν οὐρανοῖς τῶν ἁγίων δυνάμεων πολιτείαν ἀμιγῆ κακίας καὶ παντὸς τοῦ ἐξ ἁμαρτιῶν μολυσμοῦ καθαρεύουσαν ὁ θεόπνευςος ἐπίςαται λόγος· πᾶν δὲ ὅσον
C ἐκτὸς τοῦ ἀγαθοῦ δι' αὐτῆς τῆς ἀναχωρήσεως αὐτοῦ παρυπέςη κακὸν, περὶ τὴν κοίλην ταύτην ζωὴν οἷόν τις τρυγία τε καὶ ἰλὺς συνεῤῥύη, ᾗ μολύνεται τὸ ἀνθρώπινον, πρὸς τὸ κατιδεῖν τὸ θεῖον τῆς ἀληθείας φῶς διὰ τοῦ τοιούτου σκότους ἐμποδιζόμενον. Εἰ τοίνυν ἀπαθὴς μὲν ἡ ὑπερκειμένη ζωὴ καὶ ἀκήρατος, παντοίοις δὲ πάθεσι καὶ ταλαιπωρίαις καταβεβάπτιςαι ἡ ἀθλιότης τῆς ὧδε ζωῆς, δῆλον ἂν εἴη ὅτι ἡ μὲν ἄνω πολιτεία, ἅτε παντὸς κακοῦ καθαρεύουσα, ἐν τῷ ἀγαθῷ θελήματι τοῦ θεοῦ κατορθοῦται (ἔνθα γὰρ κακὸν οὐκ ἔςιν, ἀνάγκη πᾶσα ἀγα-
D θὸν εἶναι), ἡ δὲ καθ' ἡμᾶς ζωὴ τῆς τῶν ἀγαθῶν μετουσίας ἐκπεπτωκυῖα συνεκπέπτωκεν καὶ τοῦ θείου βουλήματος. Διὰ τοῦτο ἐν τῇ προςευχῇ διδασκόμεθα οὕτως ἡμῶν τοῦ κακοῦ τὴν ζωὴν ἐκκαθαρθῆναι, ὡς καθ' ὁμοιότητα τῆς οὐρανίας διαγωγῆς καὶ ἐν ἡμῖν ἀνεμποδίςως τὸ θέλημα τοῦ θεοῦ πολιτεύσασθαι, ὡς ἄν τις λέγοι ὅτι, Καθάπερ ἐν θρόνοις καὶ ἀρχαῖς καὶ ἐξουσίαις καὶ κυριότησι καὶ πάσῃ τῇ ὑπερκοσμίῳ δυνάμει γίνεταί σου τὸ θέλημα,
Coloss. 1, 16. Eph. 1, 21. 3, 10. p. 745. A
μηδαμοῦ κακίας [11] παρεμποδιζούσης τοῦ ἀγαθοῦ τὴν ἐνέργειαν, οὕτω καὶ ἐν ἡμῖν τὸ ἀγαθὸν τελειωθείη, ἵνα πάσης κακίας ἐκποδὼν γενομένης διὰ πάντων ᾖ τὸ θέλημά σου ταῖς ψυχαῖς ἡμῶν κατευοδούμενον. Ἀλλ' ὡς ἀνθυπενεγκόντος τινὸς, Καὶ πῶς ἐςι δυνατὸν τὴν ἐν ταῖς ἀσωμάτοις δυνάμεσι καθαρότητα τοῖς διὰ σαρκὸς τὴν ζωὴν εἰληχόσι κατορθωθῆναι, ἐν μυρίαις φροντίσι διὰ τὰς σωματικὰς χρείας τῆς ψυχῆς ἐμβαθυνούσης; διὰ τοῦτό μοι
B δοκεῖ, καθάπερ λύων τὴν τοιαύτην ἀμηχανίαν, τῷ ἐξῆς λόγῳ τὸ δοκοῦν δυςχερὲς πρὸς τὴν προκειμένην σπουδὴν

11) Kr. παραποδιζούσης.

sich dort, wohingegen alle Art von leidenschaftlicher Erregung und Stimmung, worin das Menschengeschlecht befangen ist, das Leben auf der Erde begleitet und umgiebt. Aus diesem Grunde kennt die heilige Schrift den Wandel der heiligen Mächte im Himmel als einen von allem Bösen freien und von jeglichem Sündenschmuz reinen; Alles hingegen was durch seine Trennung vom Guten dieses aufgegeben hat und böse geworden ist, das ist gleichwie eine Hefe und Grundsuppe in die Thalschlucht dieses Lebens zusammengeströmt, und hiedurch wird das Menschengeschlecht besudelt, und durch dieses Dunkel gehindert das göttliche Licht der Wahrheit zu schauen. Ist nun das überirdische Leben frei von Leidenschaften und fleckenlos, und der Jammer dieses irdischen Lebens in allerlei Leiden und Drangsal versenkt, so dürfte es wohl klar sein daß der Wandel in der Höhe, weil er eben von allem Bösen rein ist, seine Stütze in dem guten Willen Gottes hat (denn wo das Böse nicht ist, da muß ganz nothwendiger Weise das Gute sein), und daß unser Leben, weil es den Genuß der Güter verloren hat, damit auch zugleich des göttlichen Willens verlustig gegangen ist. Deßhalb wird uns in dem Gebete gelehrt unser Leben dergestalt vom Bösen zu reinigen, daß wir ähnlich wie in dem himmlischen Leben den Willen Gottes auch in uns ohne Hinderniß üben und nach ihm handeln, wie wenn man sagte, Wie in den Thronen und Regierungen und Gewalten und Herrschaften und in jeglicher überirdischen Macht Dein Wille geschieht, und nichts Böses der Wirksamkeit des Guten hemmend entgegentritt, so möge auch in uns das Gute zur Vollendung kommen, damit nach Hinwegräumung alles Bösen Dein Wille in unseren Seelen in allen Stücken seinen glücklichen Fortgang habe. Allein, gleich als ob Jemand dagegen erwidert hätte, Wie ist es möglich daß die in den körperlosen Mächten sich findende Reinheit in denen zu gedeihlicher Vollendung sich entwickele welchen das Leben im Fleische zu Theil geworden ist, da sich in Folge der körperlichen Bedürfnisse die Seele in zahllose Sorgen vertieft?, scheint mir darum der Herr, gleich als ob er dieses Bedenken lösen wollte, durch die folgenden Worte die scheinbare Schwierigkeit hinsichtlich

ὑπεκλῦσαι. Δόγμα γὰρ οἶμαι διὰ τούτων τῶν λόγων ἡμῖν ὑποτίθεσθαι ἐν τῷ τὸν ἐφήμερον ἄρτον αἰτεῖν προςτάξαι, ὅτι τῷ ἀνενδεεῖ κατὰ τὴν φύσιν τὸ ὀλιγαρκές τε καὶ μέτριον κατὰ τὸν τῆς ἀπαθείας λόγον συνεξισοῦται· οὐ γὰρ αἰτεῖ τὸν θεὸν ἐν ταῖς προςευχαῖς ὁ ἄγγελος τὴν χορηγίαν τοῦ ἄρτου, ὅτι ἀπροςδεῆ κέκτηται τῶν τοιούτων τὴν φύσιν, αἰτεῖν δὲ προςετάχθη ὁ ἄνθρωπος, διότι τὸ κενούμενον ἐπιδεὲς τοῦ ἀναπληροῦντος πάντως ἐςίν.
C Ῥοώδης δὲ καὶ παροδικὴ τῆς ἀνθρωπίνης ζωῆς ἐςιν ἡ σύςασις, ἀντὶ τοῦ ἐκποιηθέντος τὸ ἀνανεάζον ἐπιζητοῦσα. Ὁ οὖν πρὸς τὴν τῆς φύσεως ὑπηρεσίαν βλέπων, καὶ μηδὲν ἔξω τοῦ ἀναγκαίου διὰ τῶν ματαίων φροντίδων ἐπισυρόμενος, οὐ πολὺ τῆς ἀγγελικῆς πολιτείας ἐλαττωθήσεται, τὸ ἀνενδεὲς ἐκείνων καθ' ἑαυτὸν τῇ ὀλιγαρκίᾳ μιμούμενος. Διὰ τοῦτο ζητεῖν προςετάχθημεν τὸ πρὸς τὴν συντήρησιν ἐξαρκοῦν τῆς σωματικῆς οὐσίας, Τὸν ἄρτον δὸς,
D τῷ θεῷ λέγοντες, οὐ τρυφὴν, οὐδὲ πλοῦτον, οὐκ εὐανθεῖς ἁλουργίδας, οὐ τὸν ἐκ χρυσίου κόσμον, οὐ τὰς τῶν λίθων αὐγὰς, οὐ τὰ ἐξ ἀργύρου σκεύη, οὐ γῆς περιουσίαν, οὐ ςρατοπέδων ἀρχὴν, οὐ πόλεων τε καὶ ἐθνῶν ἡγεμονίαν, οὐχ ἵππων τε καὶ βοῶν ἀγέλας καὶ τῶν ἄλλων βοσκημάτων πλήθη πολλὰ, οὐκ ἀνδραπόδων περιουσίαν, οὐ τὴν ἐν ἀγοραῖς περιφάνειαν, οὐ ςήλας, οὐκ εἰκόνας, οὐ τὰ ἐκ σηρῶν ὑφάσματα, οὐ τὰ ἐκ μουσικῆς ἀκροάματα, οὐδέ τι τοιοῦτον οὐδὲν, δι' ὧν ἀφέλκεται ἡ ψυχὴ τῆς θείας
p. 746. τε καὶ προτιμοτέρας φροντίδος, ἀλλὰ τὸν ἄρτον. Ὁρᾷς
A τὸ πλάτος τῆς φιλοσοφίας; ὅσα δόγματα τῇ βραχείᾳ ταύτῃ φωνῇ περιείληπται; Μονονουχὶ φανερῶς ἐμβοᾷ διὰ τοῦ λόγου τοῖς ἐπαΐουσιν ὅτι, Παύσασθε οἱ ἄνθρωποι περὶ τὰ μάταια ταῖς ἐπιθυμίαις διαχεόμενοι, παύσασθε τὰς τῶν πόνων ἀφορμὰς καθ' ὑμῶν πλεονάζοντες. Μικρόν ἐςί σοι τὸ τῆς φύσεως ὄφλημα· τροφὴν χρεωςεῖς τῷ σαρκίῳ σου, πρᾶγμα μέτριόν τε καὶ εὐπόριςον, εἰ πρὸς τὴν χρείαν βλέπεις. Διὰ τί πολυπλασιάζεις κατὰ
B σεαυτοῦ τοὺς φόρους; ὑπὲρ τίνος τοσούτοις ὀφλήμασι

des uns vor Augen gehaltenen Strebens zu heben. Ich glaube nämlich daß er durch die Worte in welchen er uns um das tägliche Brot zu bitten heißt die Lehre ausspricht, daß Genügsamkeit und Mäßigkeit nach Verhältniß der Leidenschaftslosigkeit der natürlichen Bedürfnißlosigkeit der Engel sich nähere; denn der Engel bittet in seinen Gebeten nicht um die Spende des Brotes, weil er eine Natur besitzt welche solcher Dinge nicht Noth hat, der Mensch aber erhielt das Gebot darum zu bitten, weil das was geleert wird nothwendig dessen bedarf welcher es wiederum füllt. Flüchtig wie die Welle und vergänglich ist der Bestand des menschlichen Lebens, und verlangt nach Erneuerung dessen was verbraucht ist. Wer also nur den Unterhalt der Natur im Auge behält, und sich nicht über das Nothwendige hinaus von leeren Sorgen fortreißen läßt, der wird nicht viel hinter dem Wandel der Engel zurückbleiben, weil er in seiner Genügsamkeit der Bedürfnißlosigkeit jener nahezukommen bemüht ist. Deßhalb haben wir das Gebot, um das nachzusuchen was zur Erhaltung der körperlichen Existenz genügt, und sprechen zu Gott, Das Brot gieb uns!, nicht Wohlleben, noch Reichthum, nicht herrlichstrahlende Purpurgewänder, nicht güldenen Schmuck, nicht den leuchtenden Glanz von Edelsteinen, nicht Geräthe von Silber, nicht Reichthum an Land, nicht den Oberbefehl über Heere, nicht Herrschaft über Städte und Völker, nicht Heerden von Pferden und Rindern und viele Haufen anderen Viehs, nicht Ueberfluß an Sclaven, nicht Berühmtheit auf den Märkten und Gerichtshöfen, nicht Ehrensäulen, nicht Standbilder, nicht seidene Webstoffe, nicht musikalische Ohrenschmäuße, oder sonst Etwas von dieser Art, wodurch die Seele von der Sorge um das Göttliche und Vorzüglichere abgezogen wird, sondern das Brot. Siehst du die Tiefe der Gottesweisheit, und wie viel Lehren in diesem kleinen Wort zusammengefaßt sind? Beinahe offen ruft er denen die ihn hören mit seiner Rede zu, Hört auf, ihr Menschen, euch in Begierden um eitle Dinge zu ergehen! Hört auf die Quellen eurer Mühen und Plagen zu mehren! Wenig ist es was ihr eurer Natur schuldet! Nahrung schuldest du deinem Fleisch, eine geringe und leicht zu beschaffende Sache, wenn du eben die Nothdurft nur im Auge hast. Warum vermehrst du deine Lasten? weßhalb hast du dich geduldig so vielen Verpflichtungen unter-

σεαυτὸν φέρων ὑπέζευξας, ἄργυρον μεταλλεύων, καὶ χρυσίον ὀρύσσων, καὶ τὴν διαφαίνουσαν ὕλην ἀναζητῶν, ὡς ἂν σοι διὰ τῶν τοιούτων ὁ διηνεκὴς οὗτος φορολόγος, ἡ γαςὴρ, τρυφψὴ, ἧς τὸ χρέος ἄρτος ἐςὶν, ὁ ἀναπληρῶν τὸ ἐνδέον τῷ σώματι; Σὺ δὲ εἰς Ἰνδοὺς ἐμπορεύῃ, καὶ βαρβαρικῇ παρακινδυνεύεις θαλάσσῃ, καὶ ἐνιαυσίοις ναυτιλίαις σεαυτὸν δίδως, ἵνα τοῖς ἐκεῖθεν ἀγωγίμοις τὴν τροφὴν ἡδύνῃς, οὐ σκοπῶν ὅτι μέχρι τῆς ὑπερῴας ἡ τῶν
C ἡδυσμάτων αἴσθησις τὸν ὅρον ἔχει· ὡςαύτως δὲ τὸ εὐφανὲς, τὸ εὔπνουν, τὸ εὔςομον ὠκύμορόν τινα καὶ ἀκαριαίαν παρέχεται τῇ αἰσθήσει τὴν χάριν· ἀπὸ δὲ τῆς ὑπερῴας ἀδιάκριτος τῶν ἐμβαλλομένων ἡ διαφορὰ, ὁμοτίμως τὰ πάντα τῆς φύσεως πρὸς δυςωδίαν ἀλλοιούσης. Ὁρᾷς τὸ πέρας τῆς ὀψοποιΐας; ὁρᾷς τὸ ἀποτέλεσμα τῆς ὀψαρτυτικῆς μαγγανείας; Τὸν ἄρτον αἴτει διὰ τὴν τῆς ζωῆς χρείαν, τούτου σε ὀφειλέτην ἐποίησεν ἡ φύσις τῷ σώματι. Τὰ δ' ὅσα παρεύρηται ταῖς τῶν τρυφώντων ἐπι-
D νοίαις, ταῦτα τῆς τῶν ζιζανίων ἐςὶ παρασπορᾶς. Ὁ σπόρος τοῦ οἰκοδεσπότου ὁ σῖτός ἐςιν, ἐκ δὲ τοῦ σίτου ὁ ἄρτος γίνεται. Ἡ δὲ τρυφὴ τὸ ζιζάνιον, ὃ παρεσπάρη
Luc. 8, 14. Matth. 13, 22. Marc. 4, 7. 19. παρὰ τοῦ ἐχθροῦ τῷ σίτῳ. Ἀλλ' ἀφέντες οἱ ἄνθρωποι διὰ τῶν ἀναγκαίων λειτουργεῖν τῇ φύσει ὄντως συμπνίγονται, καθὼς φησί που ὁ λόγος, ταῖς περὶ τὰ μάταια σπουδαῖς, καὶ ἀτελεςφόρητοι μένουσι, πρὸς ταῦτα τῆς ψυχῆς ἑαυτὴν εἰς τὸ διηνεκὲς ἀσχολούσης. Τάχα μοι δοκεῖ τοιοῦτόν τι καὶ ὁ Μωϋσῆς δι' αἰνιγμάτων φιλοσοφεῖν, τῆς κατὰ τὴν γεῦσιν ἡδονῆς σύμβουλον τὸν ὄφιν παραςήσας τῇ Εὔᾳ. Φασὶ γὰρ τὸ θηρίον τοῦτο, τὸν ὄφιν, εἰ
p. 747. A τὴν κεφαλὴν ὑπαγάγοι τῇ ἁρμονίᾳ, εἰς ἣν παραδύεται, μὴ ἂν ἐκ τοῦ οὐραίου ῥᾳδίως παρὰ τῶν ἀντισπώντων ἀνελκυσθῆναι, τῆς [12] τραχείας φυσικῶς φολίδος εἰς τὸ ἔμπαλιν πρὸς τὴν τῶν ἐφελκομένων βίαν ἀντιβαινούσης· καὶ οὗ κατὰ τὸ ἔμπροσθεν ἀκώλυτός ἐςιν ἡ διάδυσις, τῷ λείῳ τῆς φολίδος ὀλισθαινούσης, τούτου ἀμήχανος ἡ ἐκ

12) Rr. ῥαχίας φυσικῶς, τῆς φολίδος, εἰς τό.

worfen, gräbst das Silber aus, scharrst das Gold aus der Tiefe, und suchst nach dem glänzenden Stoff, damit dadurch der ewig seinen Tribut einfordernde Bauch schwelge, der doch nur des Brotes bedarf, welches die Nothdurft des Leibes stillt? Du aber reisest zu den Indern, übergiebst dich den Gefahren eines fremden Meeres, vertraust dich alljährlichen Seefahrten an, damit du durch die von dort eingeführten Waaren deine Nahrung leckerer machen könnest, und beachtest nicht daß aller Leckereien Kitzel im Gaumen seine Grenze hat; ebenso gewährt ein schönes Ansehen, ein schöner Geruch, ein schönes Antlitz den Sinnen nur einen kurzen und schnell vergänglichen Genuß; vom Gaumen abwärts aber ist kein Unterschied mehr dessen was hineingefüllt wird, da die Natur in gleicher Weise Alles in üblen Geruch verwandelt. Erkennst du das Ziel der Küchenkunst, die letzte Grenze der kochkünstlerischen Zauberei? Um das Brot bitte wegen der Nothdurft des Körpers; das läßt dich die Natur dem Körper schulden. Alles hingegen was die Phantasie der Schwelgenden hinzu erfunden hat, ist Saat des Unkrauts welche daneben gestreut ist. Das was der Hausvater säet ist das Korn, und aus dem Korn wird das Brot. Die Schwelgerei aber ist das Unkraut, welches von dem Feind unter das Korn gesäet worden war. Aber die Menschen unterlassen es der Natur mit dem was sie heischt zu dienen, und werden so in Wahrheit, wie irgendwo die Schrift sagt, erstickt in ihren Mühen um eitle Dinge, und bleiben ohne Frucht, weil ihre Seele sich damit ohne Unterlaß beschäftigt. Beinahe scheint es mir als ob so Etwas auch Moses durch Gleichnisse lehren wolle, wenn er als Verführer zur Gaumenlust der Eva die Schlange giebt. Denn man sagt daß dieses Thier, die Schlange, wenn es den Kopf in die Spalte gebracht hat in welche sie schlüpfen will, nicht leicht am Schwanze herausgezogen werden könne, weil der rauhe Schuppenpanzer sich gegen die Gewalt der Ziehenden sträubt; und wenn ihrem Einschlüpfen nach vorne keinerlei Hinderniß sich entgegenstellt, wegen der schlüpfrigen Glätte der Schuppen, so ist es auf der anderen Seite wegen dieser sich sträubenden Schup-

τῶν κατόπιν ἀνάλυσις ταῖς τῶν λεπίδων προςβολαῖς ἀν-
τισπωμένη, δεικνύντος, οἶμαι, τοῦ λόγου ὅτι τὴν ἡδονὴν
B εἰςιοῦσαν καὶ παραδυομένην τῇ τῆς ψυχῆς ῥαχίᾳ φυλάτ-
τεσθαι χρὴ, καὶ ἀποφράττειν, ὡς ἔνι μάλιςα, τὰς ἁρμο-
νίας τοῦ βίου. Οὕτω γὰρ ἂν καθαρὰ φυλαχθείη τῆς τῶν
θηρίων ἐπιμιξίας ἡ ἀνθρωπίνη ζωή. Εἰ δέ τινα πάρο-
δον καθ᾽ ἡμῶν λάβοι, διαλυθείσης ἐν ἡμῖν τῆς ἐναρμο-
νίου ζωῆς, ἐμφωλεύσει διὰ τούτων ὁ τῆς ἡδονῆς ὄφις,
τοῖς τῆς διανοίας χωρήμασι δυςέκβλητος διὰ τῶν φολί-
δων γινόμενος. Φολίδας δὲ ἀκούων τὰς πολυτρόπους τῶν
ἡδονῶν ἀφορμὰς διὰ τοῦ αἰνίγματος νόησον· ἓν γὰρ θη-
ρίον τῷ γενικῷ λόγῳ τὸ καθ᾽ ἡδονήν ἐςι πάθος, αἱ δὲ
C ποικίλαι καὶ πολύτροποι τῶν ἡδονῶν ἰδέαι, αἱ διὰ τῶν
αἰσθήσεων ἐμμιχθεῖσαι τῇ ἀνθρωπίνῃ ζωῇ, αὗταί εἰσιν
αἱ περὶ τὸν ὄφιν φολίδες τῇ ποικιλίᾳ τῶν παθημάτων
κατάςικτοι. Εἰ οὖν φεύγεις τὴν τοῦ θηρίου συνοίκησιν,
φύλαξαι τὴν κεφαλὴν, τοῦτ᾽ ἔςι τὴν πρώτην τοῦ κακοῦ
προςβολήν· εἰς τοῦτο γὰρ φέρει τῆς ἐντολῆς τοῦ κυρίου
τὸ αἴνιγμα, Αὐτός σου τηρήσει [13]κεφαλὴν, καὶ σὺ τηρή-
σεις αὐτοῦ [14]πτέρναν. Μὴ δῷς πάροδον τῷ ἑρπυςῇ πρὸς
τὸ ἐνδότερον εἰςέρποντι, καὶ ἀπὸ τῆς πρώτης ἀρχῆς ὅλον
ἑαυτοῦ τὸν ὁλκὸν συνειςφέροντι. Μεῖνον ἐπὶ τῆς χρείας.
D Ὅρος ἔςω σοι τῆς τοῦ ζῇν φροντίδος ἡ διὰ τῶν ἐπιτυχόν-
των τοῦ ἐνδέοντος πλήρωσις. Εἰ δὲ καί σοι ὁ τῆς Εὔας
σύμβουλος διαλέγοιτο περὶ τοῦ κατὰ τὴν ὄψιν καλοῦ καὶ
τὴν γεῦσιν ἡδέος, καὶ ζητοίης ἐπὶ τῷ ἄρτῳ τὸν ὄψον τὸ
τοιόνδε καὶ τὸ διὰ τῶν τοιῶνδε ἡδυσμάτων ὀψοποιούμε-
νον, εἶτα διὰ τούτων ἔξω τῶν ἀναγκαίων ὅρων τὴν ἐπι-
θυμίαν ἄγοις, τότε ὄψει τὸν ἑρπυςήν κατὰ τὸ λέληθος πρὸς
πλεονεξίαν ἀκολούθως μεθέρποντα. Ἀπὸ γὰρ τῆς ἀναγκαίας
p. 748. τροφῆς ἐπὶ τὴν ὀψοφαγίαν ἕρψας, πρὸς τὸ ἐν ὀφθαλμοῖς ἡδὺ
A μεταβήσεται, σκεύη λαμπρὰ ζητῶν, καὶ ὑπηρέτας ἁβρούς,
καὶ κλίνας ἀργυρᾶς, ςρωμνὰς μαλακὰς, καλύμματα διαφανῆ

13) Kr. πτέρναν. — 14) Kr. κεφαλήν.

äußerst schwierig sie rückwärts zu ziehen, wodurch, glaube ich,
Schrift andeuten will daß man sich vor der Lust hüten solle,
e in den Felsenriß der Seele hineinschlüpft, und daß man so
als möglich die Spalten seines Wandels verbauen und ver-
en solle. Denn so wird das menschliche Leben rein von der Ge-
schaft des giftigen Gethiers erhalten. Gewinnen sie hingegen
Eingang in uns, weil die Fügung unseres Lebens leck gewor-
ist, dann wird die Schlange der Lust in Folge dessen daselbst
ager aufbauen, und wird aus den Räumen unserer Gedanken
n ihrer sich sträubenden Schuppen schwer zu entfernen sein.
du aber von Schuppen sprechen, so verstehe in dem Gleichnisse
nter die Gelegenheiten zur Lust; denn die Leidenschaft der
ist ihrem allgemeinen Begriffe nach ein Thier, allein die ver-
enen und mannichfaltigen Arten der Lüste, welche sich durch
Sinneswerkzeuge in das menschliche Leben Eingang zu verschaf-
wissen, das sind die durch die buntschillernden Farben der Sin-
nüsse gezierten Schuppen. Fliehst du also die Genossenschaft
em giftigen Gethier, so nimm dich vor dem Kopf in Acht, das
dem ersten Angriff des Bösen; denn auf diesen geht das Gleich-
n dem Gebote des Herrn, Er wird sich vor deinem Kopf
n, und du wirst dich hüten vor seiner Ferse. Gieb
Gewürm keinen Zutritt, wenn es in dein Inneres kriechen und vom
Anfang an die ganze Länge seines Schwanzes hineinziehen will.
e bei dem was die Nothdurft erheischt. Die Grenze deiner
e für das Leben sei die Befriedigung deines Bedürfnisses mit-
dessen was sich dir eben darbietet. Wenn jedoch auch mit dir
Verführer Evas eine Unterhaltung über das was seinem An-
nach schön und seinem Geschmacke nach lieblich ist anknüpft,
du zu dem Brote außerdem noch eine derartige und durch solche
eien gewürzte Zukost wünschen solltest, und du dein Verlangen
n die Grenzen des Nöthigen überschreiten lassen würdest, so wirst
nn sehen wie das Gewürm unvermerkt zu immer größerem und
rem Verlangen hinankriecht. Denn von der nothdürftigen Nah-
kriecht es zur Schlemmerei, und wird dann zu dem übergehen
angenehm in die Augen fällt, indem es nach glänzenden Ge-
haften verlangt, und dazu nach zierlichen Dienern, nach silber-

εὐχῆς, εἰ μὴ ἐξ ἀλλοτρίων ἡ εὐπορία, εἰ μὴ ἐκ δακρύων ἡ πρόςοδος, εἰ οὐδεὶς ἐπὶ τῷ σῷ κόρῳ ἐπείνασεν, εἰ οὐδεὶς ἐπὶ τῇ πλησμονῇ σου ἐςέναξεν. Θεοῦ ἄρτος μάλιςα ὁ τοιοῦτός ἐςιν, δικαιοσύνης ὁ καρπὸς, εἰρήνης ὁ [17]ςάχυς,
p. 749. ἄμικτος καὶ ἀμόλυντος τῶν τοῦ ζιζανίου σπερμάτων. Εἰ
A δὲ γεωργῶν τὰ ἀλλότρια, καὶ ἐν ὀφθαλμοῖς ἔχων τὴν ἀδικίαν, καὶ γραμματείοις κρατύνας τὴν ἄδικον κτῆσιν ἔπειτα τῷ θεῷ λέγοις, Δὸς τὸν ἄρτον, — ἄλλος ὁ ἀκούων τῆς φωνῆς σου ταύτης ἐςὶν, οὐχ ὁ θεός· τὸν γὰρ ἐξ ἀδικίας καρπὸν ἡ ἀντικειμένη καρποφορεῖ φύσις. Ὁ σπουδάζων τὴν δικαιοσύνην θεόθεν τὸν ἄρτον δέχεται· ὁ δὲ τὴν ἀδικίαν γεωργῶν παρὰ τοῦ εὐεργέτου τῆς ἀδικίας σιτίζεται. Πρὸς οὖν τὴν συνείδησιν τὴν ἑαυτοῦ βλέπων οὕτω πρόςαγε τὴν [18]περὶ τοῦ ἄρτου αἴτησιν τῷ θεῷ,
2 Cor. 6,15. B εἰδὼς ὅτι οὐκ ἔςι κοινωνία Χριςῷ πρὸς [19]Βελίαρ. Κἂν δωροφορῇς ἐξ ἀδικίας, ἄλλαγμα κυνὸς καὶ μίσθωμα πόρνης τὸ δῶρόν ἐςιν· κἂν λαμπρύνῃς τῇ φιλοτιμίᾳ τὰς ἐπιδόσεις, ἀκούσῃ τοῦ προφήτου βδελυσσομένου τὴν ἀπὸ τῶν
Esai. 1, 11. 13. τοιούτων συνειςφοράν· Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ ςέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι· θυμία-
Ibid. 66,3. μα, φησὶ, βδέλυγμά μοί ἐςιν. Ἑτέρωθι τὸν θύοντα μόσχον ἀντὶ τοῦ ἀναιροῦντος κύνα λελόγιςαι. Ἐὰν οὖν παρὰ κυρίου τὸν ἄρτον ἔχῃς, τοῦτ᾽ ἔςιν ἐκ δικαίων πόνων, ἔξεςί σοι καὶ ἀπάρχεσθαι αὐτῷ ἀπὸ τῶν καρπῶν τῆς
C δικαιοσύνης. Καλὴ δὲ καὶ ἡ προςθήκη τοῦ σήμερον· τὸν ἄρτον γὰρ, φησὶν, τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Ἄλλη φιλοσοφία οὗτος ὁ λόγος ἐςὶν, ὡς ἂν μάθοις δι᾽ ὧν λέγοις ὅτι ἐφήμερός ἐςιν ἡ ἀνθρωπίνη ζωή. Τὸ παρὸν
Prov. 27,1. ἴδιον ἑκάςῳ μόνον, ἡ δὲ τοῦ μέλλοντος ἐλπὶς ἐν ἀδήλῳ μένει· οὐκ οἴδαμεν γὰρ τί τέξεται ἡ ἐπιοῦσα. Τί προςταλαιπωροῦμεν ὑπὲρ τῶν ἀδήλων, τί κακοπαθοῦμεν ταῖς
Matth. 6, 34. ὑπὲρ τῶν μελλόντων φροντίσιν; Ἀρκετὸν, φησίν; τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, κακίαν τὴν κακοπάθειαν λέγων. Τί

17) Kr. ἄςαχυς. — 18) περὶ fehlt in den Ausgaben. — 19) Kr. Βελίαν.

von fremdem Gute stammt, wenn deine Einkünfte nicht aus
ten fließen, wenn bei deiner Sättigung Niemand hungert,
ob deines Ueberflusses Niemand seufzt. Gottes Brot ist gerade
lches, es ist die Frucht der Gerechtigkeit, die Aehre des Frie-
unvermischt und rein von dem Samen des Unkrauts. Wenn
er aus fremdem Gut Erwerb ziehst, und die Ungerechtigkeit
n Augen hast, und durch Schriftstücke den ungerechten Besitz
estigen suchst, und dann zu Gott sagst, Gieb das Brot, — so
in Anderer der auf diese deine Stimme hört, nicht Gott; denn
rucht der Ungerechtigkeit läßt das ihm feindliche Wesen wach-
Wer sich der Gerechtigkeit befleißigt, der empfängt sein Brot
Gott, wessen Boden des Erwerbs aber die Ungerechtigkeit ist,
ird von dem Pfleger der Ungerechtigkeit gespeist. Blicke also
in Gewissen und bringe so deine Bitte um Brot vor Gott,
enk dessen daß Christus keine Gemeinschaft hat mit Belial.
ringst du eine Gabe dar aus Ungerechtigkeit, so ist diese Gabe
Tauschmittel hündischer Schamlosigkeit und ein Hurenlohn;
wenn du aus Ehrsucht prunkst mit deinen Geschenken, so wirst
e Stimme des Propheten vernehmen, welcher solchen Beitrag
cht: Was soll mir die Menge eurer Opfer? spricht
err: ich bin satt der Brandopfer von Widdern, und
Fett der Lämmer und das Blut der Stiere und
e will ich nicht; das Rauchwerk ist mir ein Greuel,
t er. An einer anderen Stelle rechnet er den welcher ein Kalb
ptet wie den welcher einen Hund tödtet. Hast du also dein Brot
em Herrn, das heißt aus gerechten Arbeiten, so ist es dir auch
tet ihm von den Früchten der Gerechtigkeit Erstlinge darzu-
en. — Schön ist aber auch der Zusatz des heute; denn,
uns, heißt es, unser tägliches Brot heute. Dies
ist noch die weitere Lehre, daß du durch das was du sprichst
daß das Leben des Menschen das eines Tages ist. Die Ge-
art ist allein eines Jeden Eigenthum, die Hoffnung auf die
nft aber ist im Dunklen; denn wir wissen nicht was der fol-
Tag gebähren wird. Was kümmern wir uns über das was
icht wissen? was machen wir uns Schmerzen durch Sorgen
die Zukunft? Es ist genug, sagt er, daß ein jeglicher

μεριμνῶμεν περὶ τῆς αὔριον; Διὰ τοῦτο δι' ὧν τὸ σή-
μερον κελεύει, ἀπαγορεύει σοι τὴν περὶ τοῦ αὔριον φρον-
D τίδα, μονονουχὶ ταῦτά σοι διὰ τοῦ ῥήματος λέγων ὅτι,
Ὁ τὴν ἡμέραν σοι διδοὺς καὶ τὰ εἰς τὴν ἡμέραν σοι δί-
δωσιν. Τίς ἀνατέλλει τὸν ἥλιον; τίς ἐξαφανίζει τῆς νυκ-
τὸς τὸ σκότος; τίς σοι δείκνυσι τοῦ φωτὸς τὴν ἀκτῖνα;
τίς περιάγει τὸν οὐρανὸν, ὥϛε ὑπὲρ γῆς τὸν φωϛῆρα γε-
νέσθαι; Ὁ ταῦτά σοι καὶ τὰ τηλικαῦτα διδοὺς τῆς σῆς
ἆρα χρῄζει συνεργίας πρὸς τὸ πληρῶσαι τῇ σαρκί σου τὸ
ἐνδέον τῆς χρείας; Ποίαν εἰςφέρεται σπουδὴν ἡ τῶν ἀλό-
p. 750. γων φύσις πρὸς τὴν ἰδίαν ζωήν; ποῖαι τῶν κοράκων
A ἄρουραι; ποῖαι τῶν ἀετῶν εἰσιν αἱ ἀποθῆκαι; Οὐ μία
πᾶσίν ἐϛιν ἡ τοῦ ζῆν χορηγία τὸ θεῖον βούλημα, ᾧ πε-
ρικρατεῖται τὰ πάντα; Εἶτα βοῦς μὲν, ἢ ὄνος, ἢ ἄλλο
τι τῶν ἀλόγων αὐτοδίδακτον τὴν ἐκ φύσεως ἔχει φιλοσο-
φίαν, καὶ τὸ παρὸν εὖ διατίθεται, τῶν δὲ εἰς τὸ ἑξῆς
αὐτῷ φροντὶς οὐδεμία· ἡμεῖς δὲ συμβούλων δεόμεθα πρὸς
τὸ συνιέναι τὸ ἐπίκηρον τοῦτο καὶ ἐφήμερον τῆς κατὰ
σάρκα ζωῆς. Οὐ παιδευόμεθα τοῖς ἀλλοτρίοις συμπτώ-
μασιν; οὐ πρὸς τὸν ἴδιον σωφρονιζόμεθα βίον; Τί ἀπώ-
B νατο τῆς πολλῆς παρασκευῆς ἐκεῖνος ὁ πλούσιος ὁ ταῖς
ἀνυποϛάτοις ἐλπίσιν ἐμματαιάζων, καθαιρῶν, οἰκοδομῶν,
συνάγων, τρυφῶν, μακρὰς ἐτῶν περιόδους ἐν [20] τῇ μαται-
ότητι τῶν ἐλπίδων ταῖς ἀποθήκαις συναποκλείων; οὐχ
μία νὺξ πᾶσαν ἐκείνην τὴν ὀνειροπολουμένην ἐλπίδα διή-
λεγξεν, ὡς μάταιόν τι ἐνύπνιον ἐπὶ ματαίῳ συμπεπλασ-
μένον; Ἡ κατὰ τὸ σῶμα ζωὴ τοῦ ἐνεϛῶτός ἐϛι μόνου,
ἡ δὲ δι' ἐλπίδος ἀποκειμένη τῆς ψυχῆς ἐϛιν ἰδία. Ἀλλ'
ἡ τῶν ἀνθρώπων ἄνοια διαμαρτάνει περὶ τὴν ἑκατέρου
C χρῆσιν, τὴν μὲν σωματικὴν ζωὴν ταῖς ἐλπίσι παρατείνου-
σα, τὴν δὲ τῆς ψυχῆς πρὸς τὴν τῶν παρόντων ἀπόλαυ-
σιν ἐφελκομένη. Διὰ τοῦτο κατ' ἀνάγκην τῆς οὔσης ἀεὶ
καὶ ὑφεϛώσης ἐλπίδος ἡ ψυχὴ περὶ τὸ φαινόμενον ἀσχο-
λουμένη ἀλλοτριοῦται, τοῖς δὲ ἀϛάτοις διὰ τῶν ἐλπίδων

20) τῇ fehlt in den Ausgaben.

ʒ sein eigenes Böse habe, und mit dem Bösen bezeichnet
as Plagen und Mühen. Was sorgen wir uns um den morgen-
Tag? Darum, mit welchen Worten er dir die Sorge um das
ıte gebietet, mit denselben verbietet er dir die Kümmerniß um
Morgen; beinahe wie wenn er dir durch den Ausspruch das
te: Wer dir den Tag giebt, giebt dir auch das was du für den
ʒ brauchst. Wer läßt die Sonne aufgehen? wer läßt verschwin-
ı die Finsterniß der Nacht? wer zeigt dir den Strahl des Lichts?
r läßt den Himmel kreisen, so daß das leuchtende Gestirn über
Erde erscheint? Wer dir Dieses und so Großes giebt, braucht
etwa deiner Hilfe um deinem Fleische das zu gewähren was seine
thdurft heischt? Welche Mühe nimmt sich die Natur der unver-
ıftigen Thiere für ihr Leben? welches sind die Kornfelder der
en, welches die Scheuren der Adler? Ist nicht für Alle der eine
nsspender, der Wille Gottes? In der That hat Ochse, oder
oder welch anderes unvernünftiges Thier sonst, seine eigene
von der eigenen Natur gelehrte Weisheit, und verfügt wohl
zufrieden über die Gegenwart, und macht sich über das was
r kommt keinen Kummer. Wir aber brauchen Beirath, um das
ällige und Vergängliche des fleischlichen Lebens einzusehen.
den wir nicht durch das was Anderen begegnet belehrt? kom-
wir nicht am eigenen Leben zur Besonnenheit? Was hat jenem
hen seine viele Pracht und Zurüstung genützt, welcher sich nich-
ı Hoffnungen als ein Thor hingab, einriß, aufbaute, sammelte,
elgte, lange Jahresläufe in der Eitelkeit der Hoffnungen in sei-
Scheuren einschloß? Hat nicht eine einzige Nacht durch alle
geträumte Hoffnung einen Strich gemacht, und gezeigt daß sie
eitles Bild war, über eine eitle Sache vom Traum zusammen-
oben? Das Leben im Leib ist bloß der Gegenwart, das aber
hes in unserer Hoffnung ruht, ist der Seele Eigenthum. Aber
Thorheit der Menschen fehlt im Gebrauche beider, verlängert das
erliche Leben durch die Hoffnungen, und zieht das der Seele auf
Genuß der Gegenwart zusammen. So kommt es nothwendiger
se daß die Seele der wirklichen und festbegründeten Hoffnung
sie mit dem Scheine sich beschäftigt entfremdet wird, und weil

ἐπερειδομένη οὔτε τούτου περικρατὴς γίνεται καὶ ἐκεῖνο
οὐκ ἔχει. Διδαχθῶμεν τοίνυν διὰ τῆς παρούσης συμβου-
λῆς, τί μὲν σήμερον αἰτεῖν χρὴ, τί δὲ εἰς ὕςερον. Ὁ ἄρ-
τος τῆς σημερινῆς χρείας ἐςίν, ἡ βασιλεία τῆς ἐλπιζομέ-
νης μακαριότητος. Ἄρτον δὲ εἰπὼν πᾶσαν τὴν σωματικὴν
D περιλαμβάνει χρείαν. Ἐὰν ταῦτα αἰτῶμεν, δῆλον ἔςαι τῇ
διανοίᾳ τοῦ προσευχομένου ὅτι περὶ τὸ ἐφήμερόν ἐςιν ἡ
ἀσχολία· ἐὰν δέ τι τῶν τῆς ψυχῆς ἀγαθῶν, ὅτι πρὸς τὸ
διηνεκές τε καὶ ἀτελεύτητον ἡ αἴτησις βλέπει, πρὸς ὃ
μάλιςα κελεύει τοὺς εὐχομένους ὁρᾷν, ὡς τῷ μείζονι καὶ
τῆς πρώτης συγκατορθουμένης χρείας. Αἰτεῖτε, φησὶ,
Matth. 6, 33. τὴν βασιλείαν καὶ τὴν δικαιοσύνην, καὶ ταῦτα πάντα προσ-
τεθήσεται ὑμῖν, ἐν Χριςῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ
δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ε'.

p. 751. *Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφ-*
A *ίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς*
πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

B Ἦλθεν προϊὼν ὁ λόγος ἐπ' αὐτὸ τῆς ἀρετῆς τὸ ἀκρό-
τατον. Ὑπογράφει γὰρ διὰ τῶν τῆς προσευχῆς ῥημάτων
οἷον εἶναι βούλεται τὸν τῷ θεῷ προσερχόμενον, τὸν οὐκ-
έτι σχεδὸν ἐν τοῖς τῆς ἀνθρωπίνης φύσεως ὅροις δει-
κνύμενον, ἀλλ' αὐτῷ τῷ θεῷ διὰ τῆς ἀρετῆς ὁμοιούμενον,
ὥςε δοκεῖν ἄλλον ἐκεῖνον εἶναι ἐν τῷ ταῦτα ποιεῖν ἃ
τοῦ θεοῦ μόνου ἐςὶ ποιεῖν. Ἡ γὰρ τῶν ὀφλημάτων ἄφε-
Luc. 5, 21. σις ἴδιόν ἐςι τοῦ θεοῦ καὶ ἐξαίρετον· εἴρηται γὰρ ὅτι,
Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός. Εἰ
τοίνυν τις ἐν τῷ ἰδίῳ βίῳ μιμήσαιτο τῆς θείας φύσεως
C τὰ γνωρίσματα, [1]ἐκεῖνος γίνεται τρόπον τινὰ οὗ τὴν μί-
μησιν [2]δι' ἀκριβοῦς ὁμοιότητος ἐπεδείξατο. Τί οὖν δι-
δάσκει ὁ λόγος; Πρῶτον ἑαυτοῖς συγγνῶναι τῇ τῶν βε-
βιωμένων παῤῥησίᾳ τὴν πρὸς τὸν θεὸν ὁμοιότητα, καὶ

1) Kr. ἐκεῖνο. — 2) Kr. ἐναργῶς ἐπεδείξατο.

in ihren Hoffnungen sich auf Unbeständiges verläßt, so erlangt weder das Eine, noch hat sie das Andere. Lassen wir uns also rch gegenwärtigen Zuspruch belehren, was wir heute, was wir t später bitten müssen. Das Brot gehört der heutigen Noth-rft an, das Reich aber der Seligkeit auf welche wir hoffen. Wer rot sagt, der faßt damit die ganze leibliche Nothdurft zusammen. itten wir darum, so wird es dem Sinne des Betenden deutlich n daß dieser auf das Vergängliche gerichtet ist, daß dagegen, bitten ir um ein Gut der Seele, die Bitte auf das Ewige und Unend-he geht, worauf der Herr den Betenden befiehlt vornehmlich den lick zu richten, weil mit der größeren auch die erstgenannte Noth-urft zugleich ihre Erfüllung finden werde. Bittet, sagt er, um as Reich Gottes und die Gerechtigkeit, und dieses lles wird Euch hinzugefügt werden, in Christo Jesu un-rem Herrn, welchem die Herrlichkeit gehört und die Macht in Ewig-it. Amen.

Fünfte Rede.

ergieb uns unsere Schuld, wie wir vergeben unseren Schul-gern, und führe uns nicht in Versuchung, sondern erlöse uns von dem Bösen.

Das Wort des Herrn ist bei der höchsten Spitze sichtlicher Voll-mmenheit angelangt. Er beschreibt nämlich durch die Worte des ebetes wie er will daß der beschaffen sein soll welcher vor Gott tt, der kaum mehr innerhalb der Grenzen der menschlichen Natur h zeigt, sondern durch seine Tugend Gott selbst ähnlich wird, so ß er in dem Thun dessen was Gottes allein ist ein Anderer zu n scheint. Denn die Vergebung der Schuld ist ein vorzugsweises genthum Gottes; wie ja gesagt ist, Niemand kann Sünden rgeben, denn allein Gott. Wenn nun Jemand in seinem en den kennzeichnenden Eigenschaften der göttlichen Natur nach-ert, so wird er gewissermaßen zu dem welchem nachgeahmt zu ben er durch eine genaue Aehnlichkeit den Beweis lieferte. Was rt nun sein Wort? Erstlich lehrt es daß man durch das Recht wel-s uns unser Leben dazu giebt sich der Aehnlichkeit mit Gott bewußt

τότε θαῤῥεῖν πατέρα ἑαυτῶν τὸν θεὸν λέγειν, καὶ ἀμνηςίαν ὑπὲρ τῶν ποτε πλημμεληθέντων αἰτεῖν, ὡς οὐκ ἐν τῷ αἰτοῦντι ὄντος τοῦ τυχεῖν ὧν ἐφίεται, ἀλλ' ἐν τῷ διὰ τῶν ἔργων ἑαυτῷ χαριζομένῳ τῆς αἰτήσεως τὴν παῤῥησίαν. Ταῦτα γὰρ ἄντικρυς ἡμῖν διαλέγεται τῇ παρούσῃ φωνῇ, ὅτι ὁ τῷ εὐεργέτῃ προσιὼν εὐεργέτης ἔςω, ὁ τῷ ἀγαθῷ ἀγαθὸς, ὁ τῷ δικαίῳ δίκαιος, ἀνεξίκακός τε τῷ ἀνεξικακῷ, καὶ τῷ φιλανθρώπῳ φιλάνθρωπος, καὶ τὰ
D ἄλλα πάντα ὡςαύτως τῷ χρηςῷ τε καὶ ἐπιεικεῖ καὶ μεταδοτικῷ τῶν ἀγαθῶν, καὶ παντὶ τὸν ἔλεον νέμοντι, καὶ εἴ τι περὶ τὸ θεῖον ὁρᾶται, πρὸς ἕκαςον διὰ τῆς προαιρέσεως ὁμοιούμενος, οὕτως ἑαυτῷ τὴν τῆς προσευχῆς παῤῥησίαν [3]περιποιείτω. Ὡς οὖν οὐκ ἔςιν οὔτε πονηρὸν ἀγαθῷ προσοικειωθῆναι, οὔτε τὸν ἐν ἀκαθάρτοις [4]μολύσμασι ῥυπαινόμενον πρὸς τὸν καθαρὸν καὶ ἀκήρατον κοινωνίαν ἔχειν, οὕτως χωρίζει τῆς φιλανθρωπίας τοῦ θεοῦ
p. 752. [5]τὸν προσιόντα ἡ ἀπήνεια. Ὁ τοίνυν ἐν πικρίᾳ κατέχων
A ὑπὲρ τῶν ὀφλημάτων τὸν ὑποχείριον διὰ τοῦ ἰδίου τρόπου τῆς θείας φιλανθρωπίας ἑαυτὸν ἀπεσχοίνισεν. Τίς γὰρ κοινωνία φιλανθρωπίᾳ τε καὶ ὠμότητι, καὶ ἀγαπητικῇ διαθέσει πρὸς ἀγριότητα, καὶ τὰ λοιπὰ ὅσα ἐκ τοῦ ἐναντίου τῇ πρὸς τὸ κακὸν ἀντιθέσει νοεῖται, ὧν ἄμικτος ἡ ἐναντιότης, ἐφ' ὧν ἐ τῷ ἑνὶ κατειλημμένος τοῦ ἐναντίου πάντως ἀφώρισαι; ὡς γὰρ ὁ ἐν τῷ θανάτῳ γενόμε-
B νος ἐν ζωῇ οὐκ ἔςιν, καὶ ὁ τῆς ζωῆς μετέχων τοῦ θανάτου κεχώρισαι, οὕτως ἀνάγκη πᾶσα τὸν τῇ φιλανθρωπίᾳ τοῦ θεοῦ προσιόντα πάσης ἀπηνείας ἐκτὸς γενέσθαι. Ὁ δὲ ἐκτὸς πάντων τῶν ἐν κακίᾳ νοουμένων γενόμενος θεὸς τρόπον τινὰ διὰ τῆς τοιαύτης ἕξεως γίνεται, ἐκεῖνο κατορθώσας ἑαυτῷ ὃ περὶ τὴν θείαν φύσιν ὁ λόγος βλέπει. Ὁρᾷς εἰς ὅσον μέγεθος ὑψοῖ τοὺς ἀκούοντας διὰ τῶν τῆς προσευχῆς ῥημάτων ὁ κύριος, μεταβαλὼν τρόπον τινὰ τὴν ἀνθρωπίνην φύσιν πρὸς τὸ θειότερον, καὶ θεοὺς γί-
C νεσθαι τοὺς τῷ θεῷ προσιόντας νομοθετῶν; Τί δουλο-

3) Kr. περιποιείσθω. — 4) Kr. λογισμοῖς καλινδούμενον. — 5) Kr. ἡ τοῦ προσιόντος ἀπήνεια ἑαυτήν. Ὁ τοίνυν.

sie in ihren Hoffnungen sich auf Unbeständiges verläßt, so erlangt sie weder das Eine, noch hat sie das Andere. Lassen wir uns also durch gegenwärtigen Zuspruch belehren, was wir heute, was wir für später bitten müssen. Das Brot gehört der heutigen Nothdurft an, das Reich aber der Seligkeit auf welche wir hoffen. Wer Brot sagt, der faßt damit die ganze leibliche Nothdurft zusammen. Bitten wir darum, so wird es dem Sinne des Betenden deutlich sein daß dieser auf das Vergängliche gerichtet ist, daß dagegen, bitten wir um ein Gut der Seele, die Bitte auf das Ewige und Unendliche geht, worauf der Herr den Betenden befiehlt vornehmlich den Blick zu richten, weil mit der größeren auch die erstgenannte Nothdurft zugleich ihre Erfüllung finden werde. Bittet, sagt er, um das Reich Gottes und die Gerechtigkeit, und dieses Alles wird Euch hinzugefügt werden, in Christo Jesu unserem Herrn, welchem die Herrlichkeit gehört und die Macht in Ewigkeit. Amen.

Fünfte Rede.

Vergieb uns unsere Schuld, wie wir vergeben unseren Schuldigern, und führe uns nicht in Versuchung, sondern erlöse uns von dem Bösen.

Das Wort des Herrn ist bei der höchsten Spitze sichtlicher Vollkommenheit angelangt. Er beschreibt nämlich durch die Worte des Gebetes wie er will daß der beschaffen sein soll welcher vor Gott tritt, der kaum mehr innerhalb der Grenzen der menschlichen Natur sich zeigt, sondern durch seine Tugend Gott selbst ähnlich wird, so daß er in dem Thun dessen was Gottes allein ist ein Anderer zu sein scheint. Denn die Vergebung der Schuld ist ein vorzugsweises Eigenthum Gottes; wie ja gesagt ist, Niemand kann Sünden vergeben, denn allein Gott. Wenn nun Jemand in seinem Leben den kennzeichnenden Eigenschaften der göttlichen Natur nacheifert, so wird er gewissermaßen zu dem welchem nachgeahmt zu haben er durch eine genaue Aehnlichkeit den Beweis lieferte. Was lehrt nun sein Wort? Erstlich lehrt es daß man durch das Recht welches uns unser Leben dazu giebt sich der Aehnlichkeit mit Gott bewußt

πρεπῶς, φησὶν, ἐν φόβῳ κατεπτηχὼς, καὶ τῷ συνειδότι τῷ ἑαυτοῦ μαςιζόμενος προςέρχῃ Θεῷ; τί ἀποκλείεις σεαυτῷ τὴν παῤῥησίαν, τὴν τῇ ἐλευθερίᾳ τῆς ψυχῆς ἐνυπάρχουσαν, τὴν ἐξ ἀρχῆς συνουσιωμένην τῇ φύσει; τί κολακεύεις ἐν ῥήμασι τὸν ἀθώπευτον; τί προσάγεις τοὺς θεραπευτικούς τε καὶ θωπευτικοὺς λόγους τῷ πρὸς τὰ ἔργα βλέποντι; Ἔξεςί σοι πᾶν ὅ τί πέρ ἐςιν ἐκ θεοῦ χρηςὸν κατ' ἐξουσίαν ἔχειν ἐλευθεριάζοντι τῷ φρονήματι. Αὐτὸς γενοῦ σεαυτῷ δικαςής· δὸς σεαυτῷ τὴν σώζουσαν D ψῆφον. Ἀφεθῆναί σοι ζητεῖς παρὰ τοῦ θεοῦ τὰ ὀφλήματα· σὺ ἄφες, καὶ ὁ θεὸς ἐψήφισεν. Ἡ γὰρ ὑπὲρ τοῦ ὁμοφύλου κρίσις, ἧς σὺ κύριος, [6] σὴ γίνεται ψῆφος, οἵα δ' ἂν ᾖ· ἃ γὰρ ἐπὶ σεαυτοῦ γνῷς, ταῦτά σοι διὰ τῆς θείας κρίσεως ἐπεκυρώθη. Ἀλλὰ πῶς ἄν τις πρὸς ἀξίαν τὸ μεγαλοφυὲς τῆς θείας φωνῆς ἐκκαλύψειεν; Ὑπερβαίνει τὴν ἐκ τῶν λόγων ἑρμηνείαν τὸ νόημα. Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς [7] ἀφίεμεν τοῖς ὀφειλήταις ἡμῶν. Ἃ γὰρ ἐπέρχεταί μοι περὶ τούτου νοῆ, τολμηρὸν μὲν ἔςι καὶ τῷ νῷ λαβεῖν, τολμηρὸν δὲ καὶ λόγῳ διακαλύψαι τὸ νόημα. Τί γάρ ἐςι τὸ λεγόμενον;
p. 753. Ὥςπερ ὁ θεὸς πρόκειται τοῖς τὸ ἀγαθὸν κατορθοῦσιν
A εἰς μίμησιν (καθὼς εἶπεν ὁ ἀπόςολος, Μιμηταί μου γί-
1 Corinth. 11, 1. νεσθε, καθὼς κἀγὼ Χριςοῦ), οὕτως τὸ ἔμπαλιν τὴν σὴν διάθεσιν ὑπόδειγμα τῷ θεῷ πρὸς τὸ ἀγαθὸν γενέσθαι βούλεται, καὶ ἀντιμεθίςαται τρόπον τινὰ ἡ τάξις, ὥςτε τολμῆσαι, καθάπερ ἐν ἡμῖν τὸ ἀγαθὸν ἐπιτελεῖται τῇ πρὸς τὸ θεῖον μιμήσει, οὕτως ἐλπίσαι μιμεῖσθαι τὸν θεὸν τὰ ἡμέτερα, ὅταν τι τῶν ἀγαθῶν κατορθώσωμεν, ἵνα εἴπῃς καὶ σὺ τῷ θεῷ ὅτι, Ὃ ἐγὼ πεποίηκα, [8] καὶ σὺ
B ποίησον· μίμησαι τὸν δοῦλόν σου ὁ κύριος, τὸν πτωχὸν καὶ πένητα ὁ τοῦ παντὸς βασιλεύων· ἀφῆκα τὰ ὀφειλήματα, μηδὲ σὺ ἀπαιτήσῃς· ᾐδέσθην τὸν ἱκέτην, μηδὲ σὺ ἀπώσῃ τὸν ἱκετεύοντα· φαιδρὸν ἀπέπεμψα τὸν ἐμὸν ὀφειλέτην, τοιοῦτος καὶ ὁ σὸς γενέσθω· μὴ ποιήσῃς σὸν τὸν

6) Kr. ἴση. — 7) Kr. ἀφήκαμεν τοῖς ὀφείλουσιν. — 8) καὶ σὺ fehlt in den Ausgaben.

spricht er, wie ein Sclave in Furcht gebückt und durch das Gewissen gegeißelt vor Gott? was verschließest du in dir die Offenheit, welche doch der Freiheit der Seele innewohnt, und von Anfang an in dem Wesen deiner Natur liegt? was schmeichelst du in Worten dem welcher sich durch Schmeichelei nicht täuschen läßt; was führst du ihm, der auf die Werke sieht, Reden voll Ergebenheit und Schmeichelei? Du hast die Macht alles Gute von Gott nach Belieben zu besitzen durch die freie Wahl deiner Klugheit. Werde du selbst dein eigener Richter; gieb dir selbst die Stimme welche dich freispricht. Du wünschest daß dir von Gott deine Schuld erlassen werde, erlasse du sie, und Gott hat seine Stimme abgegeben. Das Urtheil über deinen Nächsten welches in deiner Hand liegt wird auch sein Urtheilsspruch sein, welcher Art er auch sein mag; denn was du über dich selbst erkennst, das ist dir durch das Urtheil Gottes bestätigt. Aber wie könnte Jemand würdig die erhabene Größe des göttlichen Ausspruchs enthüllen? Der Gedanke überragt die Erklärung der Worte. Vergieb uns unsere Schuld, wie auch wir vergeben unseren Schuldigern! Denn was mir über diese Worte in den Sinn kommt, dies zu denken ist kühn, und kühn den Gedanken in Worten zu enthüllen. Was ist's was damit gesagt wird? Wie Gott denen welche das Gute thun als Muster zur Nachahmung vor Augen steht (wie der Apostel sagt, Seid meine Nachahmer, wie ich Christi!), so will er umgekehrt daß dein Wesen Gott ein Vorbild zum Guten werde, und es kehrt sich somit gewissermaßen die Ordnung um, so daß wir, gleichwie in uns durch die Nachahmung Gottes das Gute vollbracht wird, eben so auch zu hoffen wagen dürfen daß Gott, wenn wir etwas Gutes gethan haben, uns nachahmt, damit auch du zu Gott sprechen kannst, Was ich gethan, thue es! ahme, o Herr, Deinem Knecht nach, dem Bettler und Armen, Du welcher über das All regierst: ich habe die Schuld erlassen, fordere Du sie nicht ein! ich habe dem Flehenden verziehen, stoße auch Du den Flehenden nicht von Dir! als einen Fröhlichen habe ich meinen Schuldner entlassen, möge auch Deiner ein solcher werden! mache Deinen Schuldner nicht zu einem Trauri-

χρεώστην τοῦ ἐμοῦ σκυθρωπότερον· ἴσως οἱ δύο τοῖς ἀπαιτοῦσιν εὐχαριστείτωσαν· ἴση παρ' ἀμφοτέρων κυρωθήτω τοῖς συναλλάκταις ἡ ἄφεσις τῷ ἐμῷ καὶ τῷ σῷ. Ὁ ἐμὸς ὀφειλέτης ὁ δεῖνα, ὁ σὸς δὲ ἐγώ· ἣν ἔσχον ἐπὶ τούτου γνώμην ἐγὼ, αὕτη καὶ παρὰ σοὶ κρατησάτω· ἔλυσα, λῦσον·
C ἀφῆκα, ἄφες· πολὺν ἐπεδειξάμην ἐγὼ τῷ ὁμοφύλῳ τὸν ἔλεον, μίμησαι τὴν τοῦ δούλου σου φιλανθρωπίαν ὁ κύριος. Ἀλλὰ βαρύτερά μου τὰ εἰς σὲ πλημμελήματα τῶν εἰς ἐμὲ παρὰ τούτου γεγενημένων. Φημὶ κἀγὼ, καὶ τοῦτο λόγισαι ὅσον ὑπερέχεις ἐν παντὶ ἀγαθῷ· δίκαιος γὰρ εἶ τῇ ὑπερβολῇ τῆς σῆς δυνάμεως ἀναλογοῦντα ἡμῖν τοῖς ἡμαρτηκόσι τὸν ἔλεον δωρεῖσθαι. Ὀλίγην τὴν φιλανθρωπίαν ἐπεδειξάμην ἐγὼ, οὐ γὰρ ἐχώρει τὸ πλέον ἡ φύσις, σὺ δὲ ὅσον ἐθέλεις, οὐ κωλύει τὴν μεγαλοδωρεὰν ἡ δύναμις.

D Ἀλλὰ φιλοπονώτερον τὴν προκειμένην τῆς προσευχῆς ῥῆσιν κατανοήσωμεν, εἴ πως γένοιτό τις καὶ ἡμῖν διὰ τῆς τοῦ νοήματος θεωρίας πρὸς τὸν ὑψηλὸν βίον χειραγωγία. Ἐξετάσωμεν τοίνυν ποῖα μὲν ἔστιν [9] ὀφλήματα οἷς ὑπόχρεως ἡ ἀνθρωπίνη φύσις, ποῖα δὲ πάλιν ἐκεῖνα ὧν ἡμεῖς ἐσμεν τῆς ἀφέσεως κύριοι· ἐκ γὰρ τοῦ ταῦτα γνῶναι γένοιτ' ἂν ἡμῖν τῆς ὑπερβολῆς τῶν θείων ἀγαθῶν μετρία τις κατανόησις. Οὐκοῦν ἐντεῦθεν ποιησώμεθα τῶν ἀνθρωπίνων πρὸς τὸν θεὸν πλημμελημάτων τὴν ἀπαρίθμησιν.
p. 754. A Πρώτην ὤφλησεν τῷ θεῷ τιμωρίαν ὁ ἄνθρωπος ὅτι ἀπέστησεν ἑαυτὸν τοῦ ποιήσαντος, καὶ πρὸς τὸν ἐναντίον ἀπηυτομόλησεν, δραπέτης τοῦ κατὰ φύσιν δεσπότου καὶ ἀποστάτης γενόμενος· δεύτερον ὅτι τὴν πονηρὰν τῆς ἁμαρτίας δουλείαν ἀντὶ τῆς αὐτεξουσίου ἐλευθερίας ἠλλάξατο, καὶ προετίμησεν τοῦ συνεῖναι θεῷ τὸ τυραννεῖσθαι παρὰ τῆς καταφθειρούσης δυνάμεως. Ἀλλὰ καὶ τὸ μὴ πρὸς τὸ κάλλος τοῦ πεποιηκότος βλέπειν, πρὸς δὲ τὸ αἶσχος τῆς ἁμαρτίας ἐπιστρέψαι τὸ πρόσωπον, τίνος ἂν δεύτερον τῶν κακῶν κριθείη; Ἥ τε τῶν θείων ἀγαθῶν

---

9) ὀφλήματα fehlt in den Ausgaben.

geren als der meine ist! mögen beide in gleicher Weise ihren Dank bringen denen welche an sie Forderungen haben! möge die gleiche Vergebung von uns beiden meinem und Deinem Gegenmann zu Theil werden! Mein Schuldner ist Jener, der Deinige bin ich; welche Gesinnung ich gegen ihn hatte, dieselbe möge auch bei Dir in Kraft treten; ich habe erlöst, erlöse Du! ich habe vergeben, vergieb Du! ich habe dem Nächsten reiches Mitleid bewiesen, ahme Du, o Herr, die Menschenliebe Deines Knechtes nach! Aber meine Vergehen gegen Dich sind schwerer als die welche dieser gegen mich begangen hat! auch ich sage, bringe auch das in Anschlag, wie viel Du in allem Guten über uns erhaben bist! Denn es ist billig daß Du uns Sündern ein der Ueberschwenglichkeit Deiner Macht entsprechendes Mitleid schenkst! Ich habe eine geringe Güte bewiesen, denn die Natur vermochte nicht mehr, Deine Macht aber legt Dir keinerlei Hemmniß auf so reich zu spenden als Du willst! —

Aber betrachten wir die vorliegende Stelle des Gebets eingehender, ob auch uns vielleicht durch die Betrachtung des Sinns eine Anleitung zu dem höheren Leben zu Theil werde. Untersuchen wir demnach erstlich was dasjenige ist was die menschliche Natur verschuldet, und zweitens welche Schuldvergehen diejenigen sind deren Vergebung in unserer Hand steht; denn aus der klaren Einsicht hierüber dürfte uns einige Erkenntniß der Ueberschwenglichkeit der göttlichen Güter zu Theil werden. Zählen wir also hier die menschlichen Vergehen gegen Gott auf. Erstlich schuldet der Mensch die Strafe dafür daß er von seinem Schöpfer abgefallen und zu dem Feind übergelaufen ist, ein flüchtig gewordener und untreuer Knecht seines natürlichen Herrn, zweitens daß er den bösen Dienst der Sünde gegen die unumschränkte Freiheit eingetauscht, und es vorgezogen hat anstatt im engen Verein mit Gott lieber unter dem harten Regiment der zerstörenden Macht zu leben. Allein auch daß seine Blicke nicht auf die Schönheit dessen der ihn gemacht gerichtet sind, sondern er der Häßlichkeit der Sünde sein Antlitz zugekehrt hat, kann man dies wohl für ein geringfügigeres Böse als irgend ein anderes ansehen? Und daß er die göttlichen Güter verachtet

B ὑπεροψία, καὶ ἡ τῶν τοῦ πονηροῦ δελεασμάτων προτίμησις εἰς ποῖον μέρος τιμωρίας ταχθείη; ὅ τε τῆς εἰκόνος ἀφανισμὸς καὶ ἡ λύμη τοῦ θείου χαρακτῆρος, τοῦ παρὰ τὴν πρώτην κτίσιν ἐν ἡμῖν μορφωθέντος, καὶ ἡ τῆς δραχμῆς ἀπώλεια, καὶ ἡ τῆς τραπέζης τοῦ πατρὸς ἀναχώρησις, καὶ ἡ πρὸς τὸν δυςώδη τῶν χοίρων βίον οἰκείωσις, καὶ ἡ τοῦ τιμίου πλούτου διαφθορὰ, καὶ ὅσα τοιαῦτα διά τε τῆς γραφῆς καὶ τῶν λογισμῶν ἰδεῖν ἔςι πλημμελήματα, τίς ἂν ἐξαριθμήσαιτο λόγος; Ἐπειδὴ τοίνυν ἐν τοιούτοις καὶ τοσούτοις ὑπόδικόν ἐςιν πρὸς τιμωρίας
C ἔκτισιν τὸ ἀνθρώπινον τῷ θεῷ, διὰ τοῦτό μοι δοκεῖ παιδεύειν ἡμᾶς τῇ διδασκαλίᾳ τῆς προσευχῆς ὁ λόγος, μηδαμῶς ἐν τῇ πρὸς θεὸν ἐντεύξει ὡς ἐπὶ καθαρῷ τῷ συνειδότι παῤῥησιάζεσθαι, κἂν ὅτι μάλιςα τῶν ἀνθρωπίνων πλημμελημάτων κεχωρισμένος τις ᾖ. Ἴσως γάρ τις κατὰ τὸν νεανίαν ἐκεῖνον τὸν πολυκτήμονα ταῖς ἐντολαῖς τὴν
Matth. 19, 20. ζωὴν ἑαυτοῦ παιδαγωγήσας ἔχει τὸ τοιοῦτον ἐπὶ τοῦ ἰδίου καυχήσασθαι βίου καὶ εἰπεῖν τῷ θεῷ ὅτι, Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου, καὶ ὑπειληφέναι αὐτῷ διὰ
D τὸ μηδὲν εἰς τὰς ἐντολὰς πλημμελῆσαι μὴ λίαν ἁρμόζειν τὴν ὑπὲρ τῶν ὀφλημάτων παραίτησιν, ὡς μόνοις τοῖς ἐξημαρτηκόσιν ἁρμόζουσαν, καί φησιν τῷ μολυνθέντι διὰ πορνείας τὴν τοιαύτην πρέπειν φωνὴν, ἢ τῷ διὰ πλεονεξίας εἰδωλολατρήσαντι ἀναγκαίαν τὴν αἴτησιν τῆς συγγνώμης εἶναι, καὶ παντὶ ὅλως τῷ διά τινος πλημμελείας τὸ συνειδὸς τῆς ψυχῆς καταςίξαντι καλὸν καὶ ἁρμόδιον
Matth. 11, 11. εἶναι τὸ καταφυγεῖν πρὸς ἔλεον· εἰ δὲ Ἡλίας ἐκεῖνος ὁ
Luc. 7, 28. πολὺς εἴη, ἢ ὁ ἐν πνεύματι καὶ δυνάμει Ἡλίου, ὁ μέγας
p. 755. ἐν γεννητοῖς γυναικῶν, ἢ Πέτρος, ἢ Παῦλος, ἢ Ἰωάννης,
A ἤ τις ἄλλος τῶν πρὸς τὸ κρεῖττον μεμαρτυρημένων ὑπὸ τῆς θείας γραφῆς, εἰς τί χρήσαιτο τῇ τοιαύτῃ φωνῇ, τῇ παραιτουμένῃ αὐτὸν ἀπὸ τῶν ὀφλημάτων, ᾧ γε οὐδὲν ἐξ ἁμαρτίας ὄφλημα; Ὡς ἂν μή τις πρὸς τὰ τοιαῦτα βλέπων ἀπανθαδιάζοιτο κατὰ τὸν Φαρισαῖον ἐκεῖνον, τὸν οὐδ᾽ ὅ τι ἦν κατὰ τὴν φύσιν ἐπιγινώσκοντα (εἰ γὰρ ἐγνώκει ὅτι ἄνθρωπος ἦν, πάντως ἂν τὸ μὴ καθαρεύειν ἀπὸ

Kap. 5. Eines solchen Sinnes und solch erhabenen Verlangens Beistand also, wie die Schrift meint, und Helferin, behaupten wir, ist die Entsagung des ehelichen Lebens, und gleichwie gewisse Vortheile und Handgriffe zur Herstellung alles dessen was wir betreiben für die übrigen Lebensbeschäftigungen erfunden worden sind, so scheint mir auch in dem ehelosen Stande ein Vortheil und Vermögen zu einem mehr göttlichen Leben zu liegen, indem er die im Fleische Lebenden der körperlosen Natur ähnlich zu machen unternimmt. Denn alles Streben und Sorgen dieses Lebenswandels geht dahin daß die Erhabenheit der Seele durch keinen Aufstand der sinnlichen Lüste gedemüthigt und erniedrigt werde, noch unser Sinn, anstatt in der Höhe zu wandeln und nach dem zu schauen was droben ist, auf die Leidenschaften des Fleisches und Blutes verfalle. Wie kann er noch zu dem ihm verwandten und geistigen Licht mit freiem Auge aufschauen, wenn er hier unten an die Lust des Fleisches sich wie mit Nägeln und Klammern festgeschlossen hat, und sein Verlangen auf Gegenstände menschlicher Leidenschaften richtet? Denn wenn er in Folge eines unglückseligen und thörichten Vorurtheils sich dem Materialen zugeneigt hat, so wird, gleichwie die Augen der Schweine, weil sie von der Natur nach unten zu gekehrt sind, die Wunder des Himmels nicht kennen, die von dem Körper mit herabgezogener Seele nicht mehr zum Himmel und der Pracht dort oben aufschauen können, weil sie zur Niedrigkeit und thierischen Gemeinheit der Natur sich hinabbeugt. Damit nun unsere Seele so frei und ungebunden als möglich zu der göttlichen und seligen Lust aufblicke, darf sie nichts Irdischem sich zukehren, noch an den nach der nachsichtsvollen Gewohnheit des gemeinen Lebens allgemein verbreiteten Vergnügungen Theil nehmen, sondern muß die Kraft ihrer Liebe von dem Körperlichen auf die geistige und immateriale

την νοητήν τε καὶ ἄϋλον τοῦ καλοῦ θεωρίαν. Πρὸς τὴν τοιαύτην [4] τοίνυν τῆς ψυχῆς διάθεσιν ἡ παρθενία τοῦ σώματος ἡμῖν ἐπενοήθη, ὡς ἂν μάλιϛα λήθην καὶ ἀμνηϛίαν ἐμποιήσειε τῇ ψυχῇ τῶν ἐμπαθῶν τῆς φύσεως κινημάτων, μηδεμίαν ἀνάγκην ἐπάγουσα πρὸς τὰ ταπεινὰ τῆς σαρκὸς ὀφλήματα καταγίνεσθαι. Ἐλευθερωθεῖσα γὰρ
B ἅπαξ τῶν τοιούτων χρεῶν οὐκέτι κινδυνεύει μὴ τῷ κατ᾽ ὀλίγον προςεθισμῷ περὶ τὰ δοκοῦντα νόμῳ τινὶ φύσεως συγκεχωρῆσθαι ἐν ἀποϛροφῇ καὶ ἀγνοίᾳ τῆς θείας τε καὶ ἀκηράτου γένηται ἡδονῆς, ἣν μόνη ἡ καρδίας καθαρότης, τοῦ ἐν ἡμῖν ἡγεμονικοῦ, θηρεύειν πέφυκεν.

C Κεφ. ϛ'. Διὰ τοῦτό μοι δοκεῖ καὶ ὁ μέγας ἐν προφήταις Ἡλίας, καὶ ὁ ἐν πνεύματι καὶ δυνάμει Ἡλίου μετ᾽ ἐκεῖνον ἐπιδημήσας τῷ βίῳ, οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν, εἴπερ τι καὶ ἕτερον ἡ κατ᾽ αὐτοὺς ἱϛορία παραδηλοῖ δι᾽ αἰνίγματος, τοῦτο μάλιϛα τῷ ἰδίῳ δογματίζειν βίῳ, τὸ χωρισθῆναι τῆς τοῦ ἀνθρωπίνου βίου ἀκολουθίας τὸν τῇ θεωρίᾳ τῶν ἀοράτων σχολάζοντα, ὡς ἂν μὴ ταῖς τοιαύταις ἀπάταις ταῖς διὰ τῶν αἰσθήσεων γινομέναις προςεθισθεὶς σύγχυσίν τινα καὶ πλάνην πάθοι περὶ τὴν τοῦ ὄντως ἀγαθοῦ κρίσιν. Ἀμφότεροι γὰρ εὐ-
D θὺς ἐκ νέων ἀπεξενώθησαν τῆς ἀνθρωπίνης ζωῆς, καὶ οἷον ἔξω τῆς φύσεως ἑαυτοὺς ἔϛησαν τῇ περὶ τὴν βρῶσιν καὶ πόσιν ὑπεροψίᾳ τῆς συνήθους καὶ νενομισμένης τροφῆς καὶ τῇ κατὰ τὴν ἔρημον διαγωγῇ, ὡς καὶ τὴν ἀκοὴν ἀπεριήχητον καὶ ἀπλάνητον αὐτοῖς φυλαχθῆναι τὴν ὄψιν, καὶ τὴν γεῦσιν ἁπλῆν τε καὶ ἀπραγμάτευτον διαμεῖναι, ἐκ τοῦ προςτυχόντος ἑκατέροις πληρουμένης τῆς χρείας. Ἐντεῦθεν εἰς πολλὴν εὐδίαν καὶ γαλήνην ἀπὸ τῶν ἔξω-
p. 131. θεν θορύβων κατέϛησαν, καὶ διὰ τοῦτο εἰς τοσοῦτον μέ-
A γεθος τῶν θείων χαρισμάτων ἐπήρθησαν ὅσον περὶ ἑκατέρου τούτων μνημονεύει ὁ λόγος. Ἡλίας μὲν γὰρ καθάπερ ταμίας τις τῶν τοῦ θεοῦ δωρεῶν καταϛὰς, τὰς ἐκ

4). τοίνυν fehlt in den Ausg.

Betrachtung des Guten übertragen. Wir haben nun gefunden daß für diese Verfassung der Seele die Jungfräulichkeit des Körpers ganz besonders geeignet sei, um Vergessenheit und Tilgung der leidenschaftlichen Erregungen der Natur in ihr zu bewirken, weil sie keinerlei Nöthigung herbeiführt sich in die niedrigen Schulden des Fleisches zu verstricken. Denn ein für allemal von diesen Verbindlichkeiten befreit, wird sie nicht ferner Gefahr laufen daß sie durch die allmähliche Gewöhnung an Dinge welche durch ein Gesetz der Natur erlaubt zu sein scheinen sich von der göttlichen und lauteren Lust vergessend abwende, welche allein die Reinheit des Herzens, das ist der denkenden Hauptkraft in uns, erjagen kann.

Kap. 6. Deßhalb scheint mir auch Elias, der gewaltige unter den Propheten, und der welcher im Geiste und in der Kraft des Elias nach ihm ins Leben trat, größer als welcher keiner der von Weibern Geborenen ist, wenn sonst ihre Geschichte noch etwas Anderes im Gewande des Gleichnisses andeutet, hauptsächlich diese Lehre durch ihr Leben auszusprechen, daß der mit Beschauung der unsichtbaren Dinge Beschäftigte sich von dem Zusammenhang mit dem Leben der Menschen ablöst damit er sich nicht an solchen Sinnentrug gewöhne und ihm Verwirrung und Irregehen in seinem Urtheil über das wahrhaft Gute zustoße. Beide Männer haben gleich von Jugend auf durch die Verachtung der gewohnten und üblichen Ernährung durch Speise und Trank und durch ihren Aufenthalt in der Wüste sich außer Gemeinschaft mit dem menschlichen Leben und gleichsam außerhalb der Natur gestellt, so daß sie ihr Gehör fern dem Getöse und ihr Gesicht fern der Verirrung bewahrten, und ihnen ihr Geschmack einfach und anspruchslos erhalten blieb, da ihre Nothdurft sich aus dem was sich ihnen immer gerade zum Essen darbot befriedigte. In Folge dessen haben sie sich von dem Geräusch der Außenwelt in eine große Stille und Heiterkeit zu versetzen gewußt, und sich dadurch beide zu jener Höhe der göttlichen Gnaden erhoben von welcher die Schrift erzählt. Denn Elias war gleichsam als ein Verwalter der Geschenke Gottes bestellt, und Herr nach unumschränkter

τοῦ οὐρανοῦ χρείας κατ᾽ ἐξουσίαν καὶ ἀποκλείειν τοῖς
ἁμαρτάνουσι, καὶ ἀνιέναι τοῖς μετανοοῦσι κύριος ἦν· τὸν
δέ [5] γε Ἰωάννην τοιοῦτον μέν τοι θαυματοποιῆσαι οὐδέν
φησιν ἡ θεία ἱςορία, περισσότερον δὲ ἢ κατὰ πάντα προ-
φήτην τὸ ἐν αὐτῷ χάρισμα παρὰ τοῦ τὰ κρυπτὰ βλέπον-
B τος μεμαρτύρηται· τάχα ὅτι καθαράν τε καὶ ἀμιγῆ πά-
σης ὑλικῆς προςπαθείας τὴν ἑαυτῶν ἐπιθυμίαν ἀπ᾽ ἀρ-
χῆς εἰς τέλος τῷ κυρίῳ ἀνέθηκαν, οὔτε εἰς τέκνων ςορ-
γὴν, οὔτε εἰς γυναικὸς φροντίδα, οὔτε εἰς ἄλλο τι τῶν
ἀνθρωπίνων ἀσχολήσαντες, οἵ γε μηδὲ τῆς καθ᾽ ἡμέραν
ἀναγκαίας τροφῆς πρέπειν ἑαυτοῖς ὑπολαβόντες τὴν μέριμ-
ναν, τῆς τε τῶν ἐνδυμάτων σεμνότητος κρείττους ἐπι-
δειχθέντες ἐκ τῶν ἐπιτυχόντων ἑαυτοῖς τὰς χρείας ἀπε-
σχεδίαζον, ὁ μὲν δέρμασιν αἰγείοις, ὁ δὲ καμήλου θριξὶ
C σκεπαζόμενος, οὐκ ἂν εἰς ἐκεῖνο τὸ μέγεθος, ὡς οἶμαι,
φθάσαντες, εἰ ταῖς τοῦ σώματος ἡδυπαθείαις ὑπὸ τοῦ
γάμου κατεμαλάχθησαν. Ταῦτα δὲ οὐχ ἁπλῶς, ἀλλὰ,
καθὼς φησιν ὁ ἀπόςολος, εἰς νουθεσίαν ἡμῶν ἀναγέγρα-
πται, ἵνα πρὸς τὸν ἐκείνων βίον καὶ τὸν ἑαυτῶν κατευ-
θύνωμεν. Τί οὖν ἐκ τούτων μανθάνομεν; τὸ καθ᾽ ὁμοι-
ότητα τῶν ἁγίων ἀνδρῶν μηδενὶ τῶν βιωτικῶν πραγμά-
των προσασχολεῖν τὴν διάνοιαν τὸν ἐπιθυμοῦντα τῷ θεῷ
συναφθῆναι· οὐδὲ γάρ ἐςι δυνατὸν τὸν εἰς πολλὰ τῇ δια-
D νοίᾳ διαχεόμενον πρὸς θεοῦ κατανόησιν καὶ ἐπιθυμίαν
εὐθυπορῆσαι.

Κεφ. ζ'. Δοκεῖ δέ μοι δι᾽ ὑποδείγματος ἐναργέςε-
ρον ἂν παραςῆσαι τὸ περὶ τούτων δόγμα. Ὑποθώμεθα
γάρ τι ὕδωρ ἐκ πηγῆς προχεόμενον εἰς διαφόρους ἀποῤ-
ῥοὰς κατὰ τὸ συμβὰν διασχίζεσθαι. Οὐκοῦν ἕως ἂν οὔ-
p. 135. τω φέρηται, εἰς οὐδὲν τῶν πρὸς τὴν γεωργίαν χρησίμων
A ἐπιτήδειον ἔςαι, τῆς εἰς πολλὰ διαχύσεως ὀλίγον τὸ ἐν
ἑκάςῳ, καὶ ἀδρανὲς, καὶ δυςκίνητον ὑπὸ ἀτονίας ποιούσης·
εἰ δέ τις πάσας αὐτοῦ τὰς ἀτάκτους ἀποῤῥοὰς συναγά-

---

5) γε fehlt in den Ausg.

Machtvollkommenheit die Nothdurft des Himmels für die Sünder zu verschließen und für die Reuigen zu entfesseln; vom Johannes aber erzählt die göttliche Geschichte zwar ein solches Wunder nicht, von dem aber welcher das Verborgene durchschaut ist ihm das Zeugniß ausgestellt daß in ihm eine größere Fülle von Gnade war als daß er mit irgend einem anderen Propheten hierin verglichen werden könnte. Das kam wohl daher weil sie von Anfang an bis zu Ende ihre Begierde rein und ungetrübt von aller materialen Anfechtung dem Herrn geweiht, und sich weder der Liebe zu Kindern, noch der Sorge um ein Weib, noch sonst welchen anderen menschlichen Dingen jemals hingegeben hatten, sie, welche nicht einmal die Sorge um die tägliche Nahrung für sich für ziemlich hielten, welche zeigten daß sie über dem äußeren Prunk der Kleidung standen, und, nicht wählerisch, aus dem was ihnen gerade zur Hand kam ihre Bedürfnisse erfüllten, indem der eine sich mit Ziegenfellen, der andere mit Kameelhaaren bedeckte, und welche, wie ich glaube, nimmermehr zu jener Größe gelangt wären, wenn sie sich von der Ehe hätten unter dem Einfluß des Wohllebens verweichlichen lassen. Dies ist aber nicht absichtslos, sondern uns zur Ermahnung dort niedergeschrieben, auf daß wir nach dem Leben Jener auch das unsrige einrichten. Was lernen wir also daraus? wir lernen daß wir in Aehnlichkeit mit den heiligen Männern unsern Geist, welcher mit Gott zusammen zu sein begehrt, nicht auf die Dinge des Lebens richten sollen; denn es ist ein Ding der Unmöglichkeit daß der welcher mit seinem Geiste sich auf Vielerlei zerstreut ungehindert zur Erkenntniß Gottes und zur Sehnsucht nach ihm gelangen kann.

Kap. 7. Ich glaube diese Lehre durch ein Beispiel vielleicht deutlicher machen zu können. Stellen wir uns ein sich aus einem Felsen ergießendes Wasser vor welches sich, wie es wohl geschieht, dann in verschiedene Abflüsse zertheilt. So lange es nun so dahinfließt, wird es mit keinem Vortheil sich für den Ackerbau verwenden lassen, weil die vielfache Zertheilung nur eine geringe und schwache und wegen seiner Kraftlosigkeit nur langsam dahin schleichende Menge Wassers in jeder einzelnen Abzweigung auftreten läßt; wenn aber Jemand alle die regellosen Abflüsse vereinigt und

γοι, καὶ εἰς ἓν ῥεῖθρον τὸ πολλαχῇ τέως ἐσκεδασμένον
ἀθροίσειεν, εἰς πολλὰ ἂν τῶν βιωφελῶν καὶ χρησίμων
ἀθρόῳ καὶ συντεταγμένῳ τῷ ὕδατι χρήσαιτο. Οὕτω μοι
δοκεῖ καὶ ὁ νοῦς ὁ ἀνθρώπινος, εἰ μὲν πανταχοῦ δια-
χέοιτο, πρὸς τὸ ἀρέσκον ἀεὶ τοῖς αἰσθητηρίοις ῥέων καὶ
B σκεδαννύμενος, μηδεμίαν ἀξιόλογον δύναμιν ἴσχειν πρὸς
τὴν ἐπὶ τὸ ὄντως ἀγαθὸν πορείαν· εἰ δὲ πανταχόθεν ἀνα-
κληθεὶς, καὶ περὶ ἑαυτὸν ἀθροισθεὶς, συνηγμένος καὶ
ἀδιάχυτος πρὸς τὴν οἰκείαν ἑαυτῷ καὶ κατὰ φύσιν ἐνέρ-
γειαν κίνοιτο, οὐδὲν τὸ κωλύον αὐτὸν ἔϛαι πρὸς τὰ ἄνω
φέρεσθαι, καὶ τῆς ἀληθείας τῶν ὄντων ἐφάπτεσθαι. Κα-
θάπερ γὰρ τὸ περιεϛεγασμένον διὰ σωλῆνος ὕδωρ ὄρθιον
πολλάκις ὑπὸ τῆς ἀναθλιβούσης βίας ἐπὶ τὰ ἄνω φέρεται,
οὐκ ἔχων ὅπη διαχυθῇ, καὶ ταῦτα καταφεροῦς αὐτῷ τῆς
κατὰ φύσιν οὔσης κινήσεως, οὕτω καὶ ὁ νοῦς ὁ ἀνθρώ-
C πινος, οἱόν τινος σωλῆνος ϛεγανοῦ τῆς ἐγκρατείας αὐτὸν
ἀπανταχόθεν περισφιγγούσης, ἀναληφθήσεταί πως ὑπὸ
τῆς τοῦ κινεῖσθαι φύσεως πρὸς τὴν τῶν ὑψηλοτέρων ἐπι-
θυμίαν, οὐκ ἔχων ὅπου παραῤῥυῇ· οὔτε γὰρ ϛῆναί ποτε
[1] δύναται τὸ ἀεικίνητον ὑπὸ τοῦ πεποιηκότος εἰληφὸς τὴν
φύσιν, καὶ εἰς τὰ μάταια χρῆσθαι τῇ κινήσει κωλυόμενον
ἀμήχανον μὴ πρὸς τὴν ἀλήθειαν πάντως εὐθυπορῆσαι,
τῷ πανταχόθεν ἀπὸ τῶν ἀτόπων ἀπείργεσθαι. Καὶ γὰρ
ἐν ταῖς πολυοδίαις οὕτω μάλιϛα τοὺς ὁδοιπόρους ὁρῶ-
D μεν τῆς εὐθείας οὐχ ἁμαρτάνοντας, ὅταν τὴν ἐν ταῖς ἄλ-
λαις ὁδοῖς πλάνην προμαθόντες ἐκκλίνωσιν. [2] Ὥϛπερ οὖν
ὁ τῶν πεπλανημένων τρίβων ἐν τῷ ὁδεύειν ἀναχωρήσας
ἐπὶ τῆς εὐθείας μᾶλλον ἑαυτὸν φυλάξει, οὕτως ἡμῶν ἡ
διάνοια τῇ ἀποϛροφῇ τῶν ματαίων τὴν ἐν τοῖς οὖσιν
ἀλήθειαν ἐπιγνώσεται. Ἔοικεν οὖν ταῦτα παιδεύειν ἡμᾶς
[3] ἡ μνήμη τῶν μεγάλων προφητῶν ἐκείνων, τὸ μηδενὶ τῶν

---

1) M. δυνατόν ἐϛι τὴν ἀεικίνητον ὑπὸ τ. π. εἰληφότα. — 2) M. ὡς ὁ τῶν. — 3) M. τῇ μνήμῃ.

das was bisher hiehin und dahin zerstreut war in einen Strom verbindet, so wird er das auf solche Weise vereinigte und in einem gemeinsamen Bette geregelte Wasser vielfach nützlich und vortheilhaft verwenden können. So scheint mir auch der menschliche Geist, wenn er sich nach allen Seiten zersplittert, nach dem was den Sinnen jedesmal eben gefällt seinen Lauf zurichtet, und sich hiehin und dahin verbreitet, im Besitz keiner ausreichenden Kraft zur Wanderung nach dem wahrhaften Gut zu sein; wenn er dagegen, von allen Seiten gesammelt und auf sich selbst zurückgeführt, mit vereinter und unzersplitterter Kraft sich zu der ihm eigenen und naturgemäßen Thätigkeit in Bewegung setzt, dann wird Nichts ihn hindern sich nach Oben zu erheben und die Wahrheit der Dinge zu erfassen. Denn gleichwie ein in einer Röhre von allen Seiten eingeschlossenes Wasser oftmals durch die Gewalt des Druckes in die Höhe steigt, weil ihm keine Gelegenheit zum Ausströmen geboten ist, und zwar trotzdem daß seine naturgemäße Bewegung nach Unten geht, so wird auch der menschliche Geist, indem ihn die Enthaltsamkeit gleich einer dichten Röhre von allen Seiten einschließt, von der Natur der Bewegung gewissermaßen zur Begierde nach dem Erhabeneren emporgedrückt, weil er keine Gelegenheit hat sich in einen Nebenweg zu ergießen; denn was von dem Schöpfer eine ewig bewegliche Natur empfangen hat, das kann nicht stillstehen, und es muß, wenn es gehindert wird seine Bewegung zu nichtigen Dingen zu mißbrauchen, durchaus geraden Wegs der Wahrheit entgegen gehen, darum eben daß es nach allen Seiten hin von dem Thörichten und Bösen abgehalten wird. So sehen wir auch bei einer Mehrheit von Wegen die Wanderer hauptsächlich so den richtigen nicht verfehlen, wenn sie durch die Erfahrung auf anderen Wegen sich belehren lassen und nachher den Irrthum zu vermeiden suchen. Wie also der von Irrpfaden zurückkehrende Wanderer sich nun mehr auf dem geraden Wege halten wird, so wird unser Geist, wenn er sich von dem Eitlen und Nichtigen abgewendet haben wird, die Wahrheit in den Dingen erkennen. Es scheint also daß die Erinnerung an jene gewaltigen Propheten uns diese Lehre bietet, daß wir

ἐν τῷ κόσμῳ σπουδαζομένων ἐμπλέκεσθαι. Ἓν δὲ τῶν σπουδαζομένων ὁ γάμος ἐςὶν, μᾶλλον δὲ ἀρχὴ καὶ ῥίζα τῆς τῶν ματαίων σπουδῆς.

p. 136. Κεφ. η΄. Μηδεὶς δὲ διὰ τούτων ἡμᾶς ἀθετεῖν οἰέ-
A σθω τὴν οἰκονομίαν τοῦ γάμου· οὐ γὰρ ἀγνοοῦμεν ὅτι καὶ οὗτος τῆς τοῦ θεοῦ εὐλογίας οὐκ ἠλλοτρίωται. Ἀλλ᾽ ἐπειδὴ τούτου μὲν αὐτάρκης συνήγορος καὶ ἡ κοινὴ τῶν
B ἀνθρώπων φύσις ἐςὶν, αὐτόματον τὴν πρὸς τὰ τοιαῦτα ῥοπὴν ἐντιθεῖσα πᾶσι τοῖς διὰ γάμου προϊοῦσιν εἰς γέννησιν, ἀντιβαίνει δέ πως ἡ παρθενία τῇ φύσει, περιττὸν ἂν εἴη περὶ γάμου προτροπὴν καὶ παραίνεσιν φιλοπόνως συγγράφειν, τὴν δυςανταγώνιςον αὐτοῦ προβαλλομένους συνήγορον τὴν ἡδονήν· πλὴν εἰ μὴ τάχα διὰ τοὺς τὰ δόγματα τῆς ἐκκλησίας παραχαράσσοντας τῶν τοιούτων χρεία
1 Timoth. 4, 2. λόγων ἂν εἴη, οὓς κεκαυτηριασμένους τὴν ἰδίαν συνείδησιν
C ὁ ἀπόςολος ὀνομάζει, καὶ καλῶς ὀνομάζει, ὅτι καταλιπόντες τὴν ὁδηγίαν τοῦ ἁγίου πνεύματος διὰ τῆς τῶν δαιμόνων διδασκαλίας οὐλάς τινας καὶ ἐκκαύματα ταῖς καρδίαις αὐτῶν ἐγχαράσσουσι, τὰ θεοῦ κτίσματα βδελυσσόμενοι ὡς μιάσματα, καὶ εἰς κακὸν φέροντα, καὶ κακῶν
1 Cor. 5, 12. αἴτια, καὶ τὰ τοιαῦτα προσαγορεύοντες. Ἀλλὰ τί μοι τοὺς ἔξω κρίνειν; φησὶν ὁ ἀπόςολος. Ἔξω γάρ εἰσιν ὡς ἀληθῶς ἐκεῖνοι τῆς τοῦ λόγου τῶν μυςηρίων αὐλῆς, οὐκ ἐν τῇ σκέπῃ τοῦ θεοῦ, ἀλλ᾽ ἐν τῇ μάνδρᾳ τοῦ πονη-
D ροῦ αὐλιζόμενοι, οἱ ἐζωγρημένοι εἰς τὸ ἐκείνου θέλημα,
2 Tim. 2, 26. κατὰ τὴν τοῦ ἀποςόλου φωνὴν, καὶ διὰ τοῦτο μὴ συνιέντες ὅτι πάσης ἀρετῆς ἐν μεσότητι θεωρουμένης ἡ ἐπὶ τὰ παρακείμενα παρατροπὴ κακία ἐςίν· ὑφέσεως γὰρ καὶ ἐπιτάσεως πανταχοῦ τις τὸ μέσον ἐπιλαβὼν τὴν ἀρετὴν ἐκ τῆς κακίας διέκρινε. Σαφέςερος δ᾽ ἂν ἡμῖν ὁ λόγος γένοιτο ἐπ᾽ αὐτῶν τῶν πραγμάτων δεικνύμενος. Δειλία καὶ θράσος, δύο κακίαι κατὰ τὸ ἐναντίον νοούμεναι, ἡ μὲν κατὰ ἔλλειψιν, ἡ δὲ κατὰ πλεονασμὸν πεποιθήσεως, μέ-

uns in Nichts verstricken lassen wonach das Verlangen und Streben der Welt zu stehen pflegt. Eins dieser Dinge ist aber die Ehe, richtiger gesagt Anfang und Wurzel des Strebens nach eitlen Dingen.

Kap. 8. Niemand soll aber wähnen daß wir damit die Einrichtung der Ehe abschaffen wollten; denn wir wissen recht wohl daß auch diese des göttlichen Segens nicht verlustig ist. Da sie indessen in der gemeinsamen menschlichen Natur schon eine hinlänglich starke Fürsprecherin für sich besitzt, welche ja in Alle welche durch die eheliche Verbindung ins Leben treten von selbst die Neigung dazu legt, während die der Ehe zu entsagen gewissermaßen der Natur zuwiderläuft, so dürfte es überflüssig sein eine mühsam ausgearbeitete Aufmunterung und Ermahnung zur Ehe niederzuschreiben und gegen die schwer zu bekämpfende Vertheidigerin derselben, die Lust, eine Anklage zu erheben; obschon es solcher Reden vielleicht um derer Willen welche die Lehren der Kirche fälschen bedürfen möchte, von welchen der Apostel sagt daß sie ein Brandmal in ihrem Gewissen haben, und sie mit Recht so bezeichnet, weil sie sich vom heiligen Geiste leiten zu lassen aufgegeben haben und sich nun durch die Lehre und Unterricht der Dämonen Narben und Brandmale in ihre Herzen graben, die Kreaturen Gottes verfluchend als ob sie unsaubrer Unrath wären, und zum Bösen führten, und das Böse verschuldeten, und was sie sonst dem Aehnliches vorbringen. Aber, sagt der Apostel, was soll ich die richten welche draußen sind? Denn in Wahrheit stehen Jene außerhalb des Hofs der Geheimnisse des Worts, nicht im Schutze Gottes, sondern in der Hürde des Bösen gelagert, welche, nach dem Ausspruch des Apostels, gefangen sind in Jenes Willen, und deßhalb nicht einsehen daß, da alle Tugend in der Mitte liegt, das Böse in dem Abweichen nach den Seiten besteht; denn wer überall die Mitte von Abspannung und Anspannung zu treffen weiß, der versteht Gutes vom Bösen zu unterscheiden. Das was ich sage dürfte uns aber noch deutlicher werden, wenn es an den Dingen selbst nachgewiesen wird. Feigheit und Tollkühnheit sind zwei böse einander entgegengesetzte Eigenschaften, die erste rücksichtlich des Mangels, die andere rücksichtlich ihres Uebermaßes

σην περιέχουσιν [1] ἑαυτῶν τὴν ἀνδρείαν. Πάλιν ὁ εὐσεβὴς οὔτε ἄθεος οὔτε δεισιδαίμων ἐςίν· ἴσον γὰρ ἐπ᾽ ἀμφοῖν p. 137. τὸ ἀσέβημα, καὶ τὸ μηδένα θεὸν, καὶ τὸ πολλοὺς εἶναι A οἴεσθαι. Βούλει καὶ δι᾽ ἑτέρων ἐπιγνῶναι τὸ δόγμα; Ὁ φυγὼν τὸ φειδωλὸς εἶναι καὶ ἄσωτος ἐν τῇ τῶν ἐναντίων παθῶν ἀναχωρήσει τὴν ἐλευθερίαν τῷ ἤθει κατώρθωσε· τοιοῦτον γάρ τι ἡ ἐλευθερία ἐςὶν, τὸ μήτε πρὸς τὰς ἀμέτρους καὶ ἀνωφελεῖς δαπάνας εἰκῇ διαχεῖσθαι, μήτε πρὸς τὰ ἀναγκαῖα μικρολόγως ἔχειν. Οὕτω καὶ ἐπὶ τῶν λοιπῶν πάντων, ἵνα μὴ τοῖς καθ᾽ ἕκαςον ἐπεξίωμεν, τὴν μεσότητα τῶν ἐναντίων ἀρετὴν ὁ λόγος ἐγνώρι- B σεν. Οὐκοῦν καὶ ἡ σωφροσύνη μεσότης ἐςὶν, καὶ φανερὰς ἔχει τὰς ἐφ᾽ ἑκάτερα πρὸς κακίαν παρατροπάς. Ὁ μὲν γὰρ ἐλλείπων κατὰ τὸν τῆς ψυχῆς τόνον, καὶ εὐκαταγώνιςος τῷ τῆς ἡδονῆς πάθει γινόμενος, καὶ [2] διὰ τοῦτο μηδὲ προσεγγίσας τῇ ὁδῷ τοῦ κατ᾽ ἀρετὴν βίου καὶ σώφρονος, εἰς πάθη τῆς ἀτιμίας κατώλισθεν· ὁ δὲ παρελθὼν τῆς σωφροσύνης τὸ βάσιμον, καὶ ὑπερπεσὼν τοῦ μέσου τῆς ἀρετῆς, οἷον κρημνῷ τινι τῇ διδασκαλίᾳ τῶν δαιμόνων ἐγκατηνέχθη, καυτηριάζων, καθὼς φησιν ὁ ἀπόςο- C λος, τὴν ἰδίαν συνείδησιν. Ἐν ᾧ γὰρ βδελυκτὸν εἶναι τὸν γάμον ὁρίζεται, ἑαυτὸν [3] ςίζει τοῖς τοῦ γάμου ὀνειδισμοῖς· εἰ γὰρ τὸ δένδρον κακὸν, καθὼς φησί που τὸ εὐαγγέλιον, Matth. 7, 18. καὶ ὁ καρπὸς πάντως τοῦ δένδρου ἄξιος. Εἰ δὴ τοῦ φυτοῦ τοῦ κατὰ τὸν γάμον βλάςημα καὶ καρπός ἐςιν ὁ ἄνθρωπος, τὰ τοῦ γάμου ὀνείδη πάντως τοῦ προφέροντος γίνεται. Ἀλλ᾽ ἐκεῖνοι μὲν ςιγματίαι τὴν συνείδησιν καὶ καταμεμωλωπισμένοι τῇ ἀτοπίᾳ τοῦ δόγματος διὰ τῶν τοιούτων ἐλέγχονται· ἡμεῖς δὲ ταῦτα καὶ περὶ τοῦ γάμου D γινώσκομεν, ὡς δεῖ προηγουμένην μὲν εἶναι τὴν περὶ τὰ θεία σπουδήν τε καὶ ἐπιμέλειαν, τῆς δὲ τοῦ γάμου λει-

1) M. αὐτῶν. — 2) Dies διὰ τοῦτο steht bei M. vor εὐκαταγώνιςος. — 3) M. ςίξει.

an Selbstvertrauen, und umschließen in der Mitte zwischen sich den Muth. Ferner, der Fromme ist weder einer der an keinen Gott, noch ein solcher der abergläubisch an viele Götter glaubt, denn in beiden liegt die gleiche Unfrömmigkeit und besteht eben so darin zu wähnen daß es keinen als darin zu wähnen daß es viele Götter gebe. Hast du Lust noch an anderen Begriffen die Richtigkeit dessen was ich behauptete kennen zu lernen? Wer ein Knicker und ein Verschwender zu sein vermeidet, der hat in seinem Character, durch Fernhaltung von den von einander gegentheilig verschiedenen Leidenschaften, es zu der eines freien und gebildeten Menschen würdigen Handlungsweise gebracht; denn das einem freien und gebildeten Manne geziemende Auftreten besteht darin, weder ohne Grund sich in ungemessenen und unnützen Aufwand zu ergießen, noch knauserig in Bezug auf nothwendige Dinge zu sein. So entdeckt der Verstand auch bei allem Uebrigen, um nicht Alles der Reihe nach durchzunehmen, das Gute in der Mitte der Gegensätze. Also ist auch die Mäßigkeit eine Mitte, und ihr zu beiden Seiten liegen die Abwege zum Bösen. Denn wem es an Kraft der Seele fehlt, wer somit leicht von der Leidenschaft der Lust überwältigt wird, und aus diesem Grunde dem Wege zu einem tugendhaften und maßvollen Leben fern bleibt, der ist in Leidenschaften schimpflicher Art verfallen; wer hingegen das Gebiet der Mäßigkeit überschreitet, und über die Mitte der Tugend hinausgeht, der ist, angelehrt von den bösen Geistern, gleichsam an einen steilen Abgrund geführt worden, und brandmarkt, wie der Apostel sagt, sein eigen Gewissen. Insofern er nämlich die Ehe für verdammungswürdig erklärt, trifft er sich selbst durch die Schmähungen gegen dieselbe; denn wenn der Baum, wie irgend wo das Evangelium sagt, schlecht ist, so ist jedenfalls auch die Frucht seiner würdig. Ist nun aber eben der Mensch Sproß und Frucht des Baumes der Ehe, so fallen die Schmähreden gegen die Ehe ohne Zweifel auf den welcher sie ausspricht zurück. So werden also jene im Gewissen Gebrandmarkte und durch die Thorheit ihres Glaubens über und über mit Schwielen und Narben Bedeckten hiedurch widerlegt. Unsere Ansicht über die Ehe ist aber diese, daß das Erste und Hauptsächlichste der Eifer und die Sorge um

τουργίας μὴ ὑπερορᾷν τὸν σωφρόνως τε καὶ μεμετρημένως κεχρῆσθαι δυνάμενον. Οἷος ἦν ὁ πατριάρχης Ἰσαάκ, ὃς οὐκ ἐν ἀκμῇ τῆς ἡλικίας, ἵνα μὴ πάθους ἔργον ὁ γάμος γένηται, ἀλλ' ἤδη τῆς νεότητος ὑπαναλωθείσης αὐτῷ, δέχεται τὴν τῆς Ῥεβέκας συνοίκησιν, [4] διὰ τὴν ἐπὶ τῷ σπέρματι τοῦ θεοῦ εὐλογίαν, καὶ μέχρι μιᾶς ὠδῖνος ὑπηρετήσας τῷ γάμῳ, πάλιν τῶν ἀοράτων ὅλος ἦν, μύσας τὰ σωματικὰ αἰσθητήρια. Τοῦτο γὰρ ἡ ἱςορία δοκεῖ σημαίνειν, τὴν βαρύτητα τῶν ὀφθαλμῶν τοῦ πατριάρχου
p. 138. διηγουμένη. Ἀλλὰ ταῦτα μὲν ἐχέτω ὅπως ἂν ἔχειν δοκῇ
A τοῖς τὰ τοιαῦτα καθορᾷν ἐπιςήμοσιν· ἡμεῖς δὲ πρὸς τὰ συνεχῆ τοῦ λόγου προΐωμεν. Τί οὖν ἦν τὸ λεγόμενον; ὅτι ἂν ἐξῇ μήτε τῆς θειοτέρας ἐπιθυμίας ἀφίςασθαι, μήτε ἀποφεύγειν τὸν γάμον, οὐδεὶς ἐςι λόγος ὁ ἀθετῶν τὴν οἰκονομίαν τῆς φύσεως, καὶ ὡς βδελυκτὸν διαβάλλων τὸ τίμιον. Καθάπερ γὰρ ἐπὶ τοῦ προῤῥηθέντος ἡμῖν τοῦ κατὰ τὸ ὕδωρ καὶ τὴν πηγὴν ὑποδείγματος, ὅταν ἐπί τι χωρίον διοχετεύων ὁ γεωργὸς τὸ ὕδωρ [5] ἐφέλκηται, γένη-
B ται δέ τις καὶ διὰ μέσου χρεία βραχείας ἀποῤῥοῆς, τοσοῦτον μόνον δώσει παραῤῥυῆναι ὅσον τῇ ἐπιζητούσῃ χρείᾳ σύμμετρον γενόμενον πάλιν εὐκόλως συναναμιχθῆναι τῷ ὅλῳ, εἰ δὲ ἀπείρως καὶ [6] ἀταμιεύτως ἀνοίξει τῷ ὕδατι τὴν ἀπόῤῥοιαν, κινδυνεύσει τῆς εὐθείας ἀφέμενον ὅλον ἐκχαραδρωθῆναι κατὰ τὸ πλάγιον, τὸν αὐτὸν τρόπον ἐπειδὴ χρεία τῷ βίῳ, καὶ τῆς ἐξ ἀλλήλων διαδοχῆς, εἰ μέν τις οὕτω χρήσαιτο τῷ γινομένῳ ὡς προηγουμένων τῶν πνευματικῶν φειδωλῇ καὶ ὑπεςαλ-
C μένῃ κεχρῆσθαι τῇ περὶ τὰ τοιαῦτα ἐπιθυμίᾳ, διὰ τὴν τοῦ καιροῦ συςολήν, οὗτος ὁ σώφρων ἂν εἴη γεωργός, [7] ὁ
1 Cor. 3,9. ἐν σοφίᾳ γεωργῶν ἑαυτόν, κατὰ τὸ παράγγελμα τοῦ ἀπο-

---

4) M. τῆς διὰ τήν. — 5) M. ἐφέλκεται. — 6) M. εὐταμιεύτως. — 7) Die Worte ὁ ἐν σοφίᾳ γ. ἑαυτὸν fehlen in den Ausg.

das Göttliche sein müsse, und daß der welcher verständig und maßvoll in der Ehe zu leben vermag ihren Dienst nicht verachten soll. Ein solcher war der Erzvater Isaak; welcher, damit die Ehe kein Werk der Leidenschaft würde, nicht mehr in der Blüthe des Lebensalters, sondern zu einer Zeit wo seine Jugend bereits zu Ende gegangen war, sich die Rebekka zur Gattin nimmt, wegen des Segens Gottes welcher auf dem Samen ruhte, und der Ehe dient bis daß eine Geburt erfolgt, und dann seine körperlichen Sinne schloß und wiederum ganz und gar den unsichtbaren Dingen angehörte. Denn das scheint die Erzählung anzudeuten, wenn sie von der Schwere der Augen des Patriarchen erzählt. Doch dies mag sich so verhalten wie es denen dünkt welche dergleichen Dinge zu durchschauen verstehen; wir wollen zu dem Weiteren übergehen was der Zusammenhang des untersuchten Gegenstandes mit sich bringt. Was behaupteten wir also? Wir behaupteten daß, wenn es möglich wäre, ohne sich der Ehe zu entziehen, dem göttlicheren Streben nicht untreu zu werden, auch kein Grund vorhanden sei die Einrichtung der Natur außer Kraft zu setzen und das was Achtung verdient als etwas Verdammenswürdiges anzuklagen. Denn wie in dem vorher von uns gebrauchten Beispiele vom Wasser und der Quelle, wenn der Landmann durch einen Kanal das Wasser nach einer Gegend hin ableitet, und auf der Mitte der Strecke ein kleiner Abfluß nöthig ist, er nur so viel in den Nebenkanal ablaufen lassen wird als der Forderung des Bedürfnisses angemessen ist und sich dann wiederum leicht mit dem Hauptkanal verbinden kann, wenn er dagegen dem Wasser in schrankenloser und verschwenderischer Weise den Abfluß öffnet, dieses Gefahr läuft den Hauptweg zu verlassen und sich ganz nach der Seite hin überschwemmend zu ergießen, auf eben dieselbe Weise würde, da das Leben auch der Fortpflanzung der Einen durch die Anderen bedarf, falls Jemand sich so zur Ehe stellt daß, während die geistlichen Dinge den Vorrang behaupten, er, wegen der Kürze der Zeit, nur sparsamer und in beschränktem Maße sich ihrem Genuß hingiebt, dieser der besonnene und weise Landmann sein welcher nach dem Gebote des Apostels in Klugheit sich selbst bebaut, nicht immer in kleinlicher Weise mit Erfül-

ςόλου, οὐκ ἀεὶ περὶ τὰς ἀποδόσεις τῶν ψυχρῶν ἐκείνων ὀφλημάτων μικρολογούμενος, ἀλλὰ τὴν ἐκ συμφώνου καθαρότητα τῇ σχολῇ τῶν προσευχῶν ἀφορίζων, ὁ δεδοικὼς μὴ διὰ τῆς τοιαύτης προσπαθείας ὅλος γένηται σὰρξ καὶ αἷμα, ἐν οἷς οὐ καταμένει τοῦ Θεοῦ τὸ πνεῦμα. Ὁ δὲ ἀσθενῶς διακείμενος, ὡς μὴ δύνασθαι πρὸς τὴν τῆς φύ-
D σεως φορὰν ἀνδρικῶς ςῆναι, κρείττων ἂν εἴη πόῤῥω τῶν τοιούτων ἑαυτὸν μᾶλλον ἀνέχων ἢ εἰς ἀγῶνα κατιὼν μείζονα τῆς δυνάμεως. Κίνδυνος γὰρ οὐ μικρὸς παρακρουσθέντα τὸν τοιοῦτον ἐν τῇ πείρᾳ τῆς ἡδονῆς μηδὲν ἕτερον ἀγαθὸν οἰηθῆναι ἢ τὸ διὰ σαρκὸς μετὰ προσπαθείας τινὸς λαμβανόμενον, καὶ ἀποςρέψαντα παντελῶς τὸν ἑαυτοῦ νοῦν ἀπὸ τῆς τῶν ἀσωμάτων ἀγαθῶν ἐπιθυμίας ὅλον σάρκικον γενέσθαι, τὸ ἐν τούτοις ἡδὺ διὰ παντὸς τρόπου θηρεύοντα, ὡς φιλήδονον εἶναι μᾶλλον αὐτὸν ἢ φιλόθεον. Ἐπειδὴ τοίνυν διὰ τὸ τῆς φύ-
p. 139. σεως ἀσθενὲς οὐ παντός ἐςι τῆς εἰς τὰ τοιαῦτα συμμε-
A Psalm. 69, 2. τρίας ἐπιτυγχάνειν, ἐπικίνδυνον δὲ τὸ ἔξω τοῦ μέτρου παρενεχθέντα εἰς ἰλὺν βυθοῦ, κατὰ τὸν ψαλμῳδὸν, ἐμπαγῆναι, λυσιτελὲς ἂν εἴη, καθὼς ὑφηγεῖται ὁ λόγος, ἀπείρατον τῶν τοιούτων διαβιῶναι, ὡς ἂν μὴ τῇ προφάσει τῶν συγκεχωρημένων εἴσοδον λάβοι κατὰ τῆς ψυχῆς τὰ πάθη.

B Κεφ. θ΄. [1] Ἀμήχανον γάρ ἐςιν ἐπὶ παντὸς ἡ συνήθεια, πολλὴν ἔχουσα δύναμιν πρὸς ἑαυτὴν ἑλκύσαι καὶ ἐπισπάσασθαι τὴν ψυχὴν, καί τινα καλοῦ παρασχεῖν φαντασίαν ἐν ᾧ ἄν τις σχέσιν καὶ προσπάθειαν διὰ τοῦ προσεθισμοῦ τινα κτήσηται, καὶ οὐδὲν οὕτω τῇ φύσει φευκτόν ἐςιν ὡς ἐν συνηθείᾳ γενόμενον μὴ καὶ σπουδῆς
C ἄξιον καὶ αἱρετὸν νομισθῆναι. Ἀπόδειξις τοῦ λόγου ὁ ἀνθρώπινος βίος, ἐν ᾧ τοσούτων ὄντων ἐθνῶν οὐ τὰ αὐτὰ πᾶσι σπουδάζεται, ἄλλα δὲ παρ᾽ ἑτέροις ἐςὶ καλά τε καὶ τίμια, τῆς παρ᾽ ἑκάςου συνηθείας τὴν περί τι σπουδήν τε

1) M. Ἄμαχον.

lung jener armseligen Verpflichtungen beschäftigt, sondern das reine und einträchtige eheliche Verhältniß, in welchem er sich hält, durch eifrige Beschäftigung mit Gebet beschränkend, in der Furcht daß er durch seinen Hang und seine Liebe völlig zu Fleisch und Blut werde, in welchen der Geist Gottes nicht dauernd wohnt. Wer dagegen schwach ist, so daß er dem Drang der Natur mannhaft zu widerstehen nicht vermag, für den wäre es besser daß er sich künftighin dieser Dinge ganz enthielte als sich in einen Kampf einzulassen welcher über seine Kraft geht. Denn es ist nicht geringe Gefahr vorhanden daß ein Solcher, durch den Genuß des Vergnügens beirrt, in den Wahn verfällt als ob es kein anderes Gut weiter gäbe als das was uns durch die Liebe aus dem Fleische zu Theil wird, seinen Geist gänzlich von der Begierde nach den körperlosen Gütern abzieht, ganz und gar fleischlich wird, und der Süßigkeit dieser Dinge auf alle Weise nachjagt, so daß er eher ein Freund der Lust als Gottes ist. Da also in Folge der Schwachheit der Natur es nicht Sache eines Jeden ist das richtige Maß in diesen Dingen aufzufinden, es aber gefährlich ist vom Maße abzuirren und, nach den Worten des Psalmensängers, im Schlamm des Abgrundes zu versinken, so dürfte es vortheilhafter sein, wie unser Rath lautet, unberührt von solchen Erfahrungen und Verhältnissen sein Leben hinzubringen, damit unter dem Vorwand von Erlaubtem die Leidenschaften keinen Eingang in der Seele gewinnen.

Kap. 9. Ein schwer bezwinglich Ding ist überall die Sitte, weil sie große Macht hat die Seele an sich zu ziehen und zu fesseln, ihr ein Trugbild des Guten vorzuhalten wo immer nur Jemand durch Gewöhnung einen leidenschaftlichen Hang und Zuneigung für Etwas gewonnen hat, und es giebt nichts noch so sehr von der Natur zu Meidendes was nicht, zur Sitte geworden, dadurch die Geltung erlangte als sei es des Strebens würdig und wünschenswerth. Beweis für diese Behauptung ist das menschliche Leben, in welchem, bei der großen Menge von Völkern, keineswegs bei allen die gleichen Neigungen stattfinden. Bei diesen gilt das Eine als gut und schätzbar, bei jenen das Andere, und die bei einem jeden geltende Sitte bewirkt die Neigung und das

καὶ ἐπιθυμίαν ποιούσης. Καὶ οὐ μόνον κατὰ τὰ ἔθνη τὴν τοιαύτην παραλλαγὴν ἔςιν ἰδεῖν, τῶν αὐτῶν ἐπιτηδευμάτων παρά τισι μὲν θαυμαζομένων, διαβαλλομένων δὲ παρ' ἑτέροις, ἀλλὰ καὶ ἐπὶ τοῦ αὐτοῦ ἔθνους καὶ τῆς αὐτῆς πόλεως καὶ γένους, ἐν οἷς πολλὴν ἔςι διαφορὰν ἰδεῖν, ἐκ τῆς συνηθείας ἑκάςοις ἐγγινομένην. Οὕτως ἐκ
D μιᾶς ὠδῖνος ἀδελφοὶ προελθόντες εἰς γένεσιν τοῖς ἐπιτηδεύμασι τῷ βίῳ πλεῖςον ἀπ' ἀλλήλων ἐσχίσθησαν. Καὶ οὔπω τοῦτο θαυμαςόν, ἐπεὶ καὶ ὁ καθ' ἕκαςον ἄνθρωπος οὐ τὴν αὐτὴν ὡς ἐπὶ τὸ πολὺ περὶ τοῦ αὐτοῦ πράγματος κρίσιν ἔχει, ἀλλ' ὡς ἂν περὶ ἕκαςον ἀπὸ τῆς συνηθείας διατεθῇ. Καὶ ἵνα μὴ τὰ πόῤῥω τοῦ πράγματος λέγωμεν, πολλοὺς [2]ἡμεῖς ἐγνωρίσαμεν ἐραςὰς μάλιςα τῆς σωφροσύνης εὐθὺς παρὰ τὴν πρώτην ἡλικίαν φανέντας, ἀρχὴν δὲ ῥυπαροῦ βίου ποιησαμένους τὴν δοκοῦσαν ἔννομόν τε καὶ συγκεχωρημένην [3]τὴν τῶν ἡδονῶν μετουσίαν.
p. 140. A Ἐπεὶ γὰρ ἅπαξ τὴν τοιαύτην παρεδέξαντο πεῖραν, κατὰ τὸ ῥηθὲν ἡμῖν ἐπὶ τοῦ ῥεῖθρου ὑπόδειγμα, ὅλον πρὸς ταῦτα τὸ ἐπιθυμητικὸν μεταςρέψαντες, καὶ τὴν ὁρμὴν ἀπὸ τῶν θειοτέρων πρὸς τὰ ταπεινὰ καὶ ὑλώδη μετοχετεύσαντες, πολλὴν ἐν ἑαυτοῖς τὴν εὐρυχωρίαν τοῖς πάθεσιν ἤνοιξαν, ὡς παντελῶς τῆς ἐπὶ τὸ ἄνω φορᾶς λῆξαι καὶ ἀποξηρανθῆναι τὴν ἐπιθυμίαν, ὅλην πρὸς τὰ πάθη μεταῤῥυεῖσαν. Διὰ τοῦτο λυσιτελὲς εἶναι νομίζομεν τοῖς ἀσθενεςέροις εἰς τὴν παρθενίαν ὡς εἰς ἀσφαλές τι φρούριον καταφεύγειν, καὶ μὴ πρὸς τὴν ἀκολουθίαν κατιόντας
B τοῦ βίου [4]προκαλεῖσθαι καθ' ἑαυτῶν πειρασμοὺς, καὶ τοῖς ἀντιςρατευομένοις τῷ νόμῳ τοῦ νοὸς ἡμῶν διὰ τῶν τῆς σαρκὸς παθημάτων συμπλέκεσθαι καὶ κινδυνεύειν, [5]φροντίζοντας οὐ περὶ γῆς ὅρων, ἢ χρημάτων ἀποβολῆς, ἢ ἄλλου τινὸς τῶν κατὰ τὴν ζωὴν ταύτην σπουδαζομένων, ἀλλὰ περὶ τῆς προηγουμένης ἐλπίδος. Οὐκ ἔςι γὰρ τὸν

---

2) M. ἡμῖν. — 3) τὴν fehlt in den Ausg. — 4) M. προςκαλεῖσθαι. — 5) φροντίζοντας fehlt in den Ausg.

Verlangen nach Dem oder Jenem. Und nicht bloß unter den Völkern ist eine derartige Verschiedenheit wahrzunehmen, daß bei den einen dieselben Bestrebungen bewundert, bei den anderen getadelt werden, sondern auch in demselben Volk und derselben Stadt und in derselben Familie; in ihnen kann man eine große Verschiedenheit, welche sich für die Einzelnen aus ihrer Gewohnheit herschreibt, beobachten. So trennen sich Brüder welche durch eine Geburt in die Welt getreten sind durch ihre Lebensweise und Richtung für das Leben sehr weit von einander ab. Und das ist noch nicht zu verwundern; denn auch der einzelne Mensch hat meistentheils nicht dasselbe Urtheil mit dem Anderen über eine Sache, sondern urtheilt so wie er nun eben von der Gewohnheit für jedes Einzelne gestimmt worden ist. Und damit wir nicht von Dingen sprechen welche dem Gegenstande fern liegen: wir haben viele Freunde gerade der Enthaltsamkeit kennen gelernt welche sich als solche gleich von frühem Alter an gezeigt hatten, aber dann ein beflecktes Leben mit dem der Meinung nach gesetzlichen und erlaubten Genuß von Vergnügungen begannen. Nachdem sie nämlich erst einmal diesen kennen gelernt hatten, wandten sie sich, wie in dem von uns gebrauchten Beispiele vom Bach, mit ihrer ganzen Begierde auf solche Dinge, und indem sie ihr Streben von dem Göttlicheren auf Niederes und Materiales ableiteten, öffneten sie den Leidenschaften in sich ein weites Feld, dergestalt daß sie von dem Aufschwung nach Oben völlig abstanden, und ihre Begierde dahin, welche ganz und gar ihre Richtung den Leidenschaften zuwendete, vertrocknete. Aus diesem Grunde glauben wir daß es von Vortheil ist wenn die Schwächeren ihre Zuflucht in den Stand der Ehelosigkeit nehmen gleichwie in eine sichere Festung, wenn sie von da in den Zusammenhang mit dem Leben nicht herabsteigen und, die Versuchungen gegen sich herausfordernd, sich in solche Verhältnisse und Dinge einlassen welche gegen das Gesetz unseres Verstandes mit Hilfe der fleischlichen Affecte einen Kampf führen, und sich dadurch in Gefahr bringen wenn sie sich sorgen, nicht um die Grenzen eines Landguts, oder um einen Geldverlust, oder um irgend etwas Anderes worauf das Streben und die Begierde des Menschen in diesem Leben gerichtet ist, sondern vielmehr um die Hoffnung welche

εἰς τὸν κόσμον τοῦτον ἀποστρέφοντα τὴν διάνοιαν καὶ τὴν ἐνθάδε μέριμναν ἀναλαβόντα καὶ εἰς ἀνθρωπίνην ἀρέσκειαν ἀσχολοῦντα ἑαυτοῦ τὴν καρδίαν πληρωτὴν γενέσθαι τῆς πρώτης καὶ μεγάλης ἐντολῆς τοῦ κυρίου, ἥ φησιν ἐξ
C ὅλης καρδίας καὶ δυνάμεως τὸν θεὸν ἀγαπᾷν. Πῶς γὰρ ἀγαπήσει τις ἐξ ὅλης καρδίας καὶ δυνάμεως τὸν θεὸν, ὅταν καταμερίσῃ τὴν καρδίαν ἑαυτοῦ πρὸς θεὸν καὶ κόσμον, καὶ κλέπτων τρόπον τινὰ τὴν ἐκείνῳ μόνῳ χρεωστουμένην ἀγάπην, ἀνθρωπίνοις αὐτὴν πάθεσι προσαναλίσκῃ; ὁ γὰρ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ὁ δὲ
1 Cor. 7, 33. γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου. Εἰ δὲ ἐπίπονος ἡ πρὸς τὰς ἡδονὰς μάχη δοκεῖ, θαῤῥείτω πᾶς· οὐδὲ γὰρ πρὸς
D τοῦτο μικρὰ ἡ συνήθεια καὶ τοῖς δυσκολωτάτοις εἶναι δοκοῦσιν ἡδονήν τινα διὰ τῆς ἐπιμονῆς ἐνεργάσασθαι, καὶ ἡδονὴν τὴν καλλίστην καὶ καθαρωτάτην, ἧς ἄξιόν ἐστι τόν γε νοῦν ἔχοντα περιέχεσθαι μᾶλλον ἢ τῇ περὶ τὰ ταπεινὰ μικροπρεπείᾳ τῶν μεγάλων κατ' ἀλήθειαν καὶ πάντα νοῦν ὑπερεχόντων ἀλλοτριοῦσθαι.

Κεφ. ι'. Ὅση γάρ ἐστιν ἡ ζημία ἐν ἀποπτώσει γενέ-
p. 141. σθαι τῆς τοῦ ὄντως καλοῦ κτήσεως, τίς ἂν παραστήσει
A λόγος; ποίᾳ δ' ἄν τις χρήσαιτο διανοίας ὑπερβολῇ; πῶς ἂν ἐνδείξαιτο καὶ εἰς ὑπογραφὴν ἀγάγοι τὸ καὶ λόγῳ ἄῤῥητον καὶ νοήματι ἀκατάληπτον; Εἰ μὲν γάρ τις ἐπὶ τοσοῦτον τὸ τῆς καρδίας ὄμμα κεκάθαρται ὡς δυνηθῆναι
B [1]ποσῶς ἰδεῖν τὸ ἐν τοῖς μακαρισμοῖς ὑπὸ τοῦ κυρίου ἐπηγγελμένον, πάσης καταγνώσεται ἀνθρωπίνης φωνῆς, ὡς οὐδεμίαν ἐχούσης δύναμιν εἰς τὴν τοῦ νοηθέντος παράστασιν. Εἰ δέ τις ἔτι τοῖς ὑλικοῖς ἐγκαθήμενος πάθεσι καθάπερ ὑπὸ λήμης τινὸς τῆς ἐμπαθοῦς διαθέσεως τὸ διορατικὸν τῆς ψυχῆς ἐπιπέπλασται, μάταια καὶ οὕτω πᾶσα λόγων ἰσχύς. Ἐπὶ γὰρ τῶν ἀναισθήτως ἐχόντων ἐν τῷ ὁμοίῳ καθέστηκε τό τε ἐλαττοῦν διὰ τοῦ λόγου καὶ
C τὸ ὑπεραίρειν τὰ θαύματα, ὡς καὶ ἐπὶ τῆς ἡλιακῆς ἀκτῖνος τῷ μὴ τεθεαμένῳ τὸ φῶς ἀπὸ πρώτης γενέσεως ἀργὴ καὶ ἀνόητος γίνεται ἡ διὰ τῶν λόγων τοῦ φωτὸς

1) M. πῶς.

Allem vorangeht. Denn es ist unmöglich daß der welcher sein Denken dieser Welt zukehrt und die irdische Sorge bei sich aufnimmt, und sein Herz sich damit beschäftigen läßt wie man bei Menschen Wohlgefallen errege, das erste und große Gebot des Herrn erfüllt, in welchem er uns von ganzem Herzen und Vermögen Gott zu lieben heißt. Wie soll denn Jemand Gott von ganzem Herzen und Vermögen lieben, wenn er sein Herz zwischen Gott und die Welt theilt und, indem er jenem gewissermaßen die ihm allein schuldige Liebe stiehlt, diese in menschlichen Leidenschaften sich verzehren läßt? Denn der Unverheirathete sorgt sich um den Herrn, der Verheirathete dagegen sorgt sich um die Welt. Scheint aber der Kampf gegen die Lüste mühevoll, so fasse Jeder nur Muth; denn was dieses betrifft, so vermag die Gewöhnung durch die Ausdauer auch in die scheinbar schwierigsten Unternehmungen ein gewisses Vergnügen zu legen, und zwar das schönste und reinste Vergnügen, was zum Wenigsten von dem Verständigen eher gesucht zu werden verdient, als daß er durch kleinliches sich mit dem Niedrigen beschäftigendes Wesen von dem was wahrhaft groß ist und alle Gedanken überragt sich entfremden läßt.

Kap. 10. Wie groß aber der Verlust ist, wenn man den Besitz des wahrhaftigen Guten verliert, welche Rede vermöchte dies darzustellen? was für ein Uebermaß von Einsicht würde dazu gehören? und wie würde Jemand vor Augen führen und beschreiben können, was dem Wort und dem Gedanken nach unsagbar und unerfaßlich ist? Denn wenn Jemand ein so reines Auge des Herzens besitzt daß er einigermaßen das erkennen kann was in den Seligpreisungen von dem Herrn verkündigt ist, der wird jede Menschenstimme als unfähig bezeichnen zur Darstellung dessen was sein Geist denkt. Ist aber Jemand noch in den menschlichen Leidenschaften gefangen und ihm gleichsam in Folge eines krankhaft getrübten Auges die Sehkraft seiner Seele verschlossen, so würde auch so alle Macht der Rede umsonst sein. Bei Menschen ohne Empfindung ist es ja ganz gleich ob du die Wunder durch dein Wort verkleinerst oder erhöhest, wie auch für den welcher das Licht von seiner Geburt an nicht geschaut hat die Beschreibung des Sonnenstrahls durch Worte vergeblich und

ἑρμηνεία· οὐ γάρ ἐςι δυνατὸν τὴν τῆς ἀκτῖνος λαμπηδόνα δι' ἀκοῆς ἐναυγάσαι. Οὕτω καὶ ἐπὶ τοῦ ἀληθινοῦ καὶ νοητοῦ φωτὸς ἰδίων ὀφθαλμῶν ἑκάςῳ χρεία, ἵνα τὸ κάλλος ἐκεῖνο θεάσηται ὅπερ ὁ μὲν ἰδὼν κατά τινα θείαν δωρεάν τε καὶ [2] ἐπίνοιαν ἀνερμήνευτον ἐν τῷ ἀποῤῥήτῳ
D τῆς συνειδήσεως ἔχει τὴν ἔκπληξιν· ὁ δὲ μὴ τεθεαμένος οὐδὲ γνώσεται τὴν ζημίαν ὧν ἀπεςέρηται. Πῶς γὰρ ἄν τις αὐτῷ διαπεφευγὸς αὐτὸν ἀγαθὸν παραςήσειε; πῶς [3] ἄν τις ὑπ' ὄψιν ἀγάγοι τὸ ἄφραςον; Ἰδίας φωνὰς σημαντικὰς ἐκείνου τοῦ κάλλους οὐ μεμαθήκαμεν, ὑπόδειγμα τοῦ ζητουμένου ἐν τοῖς οὖσιν οὐκ ἔςιν οὐδὲν, ἐκ συγκρίσεώς γε μὴν αὐτὸ δηλωθῆναι ἀμήχανον. Τίς γὰρ ὀλίγῳ σπινθῆρι προςεικάζει τὸν ἥλιον; ἢ ῥανίδα βραχεῖαν πρὸς τὴν τῶν ἀβύσσων ἀπειρίαν ἀνθίςησιν; Ὃν γὰρ ἔχει λόγον πρὸς τὰς ἀβύσσους ἡ ὀλίγη ςαγὼν, ἢ πρὸς τὴν μεγάλην
p. 142. A ἀκτῖνα τοῦ ἡλίου τὸ μικρὸν σπινθηράκιον, οὕτω διάκειται καὶ πάντα τὰ παρὰ τῶν ἀνθρώπων ὡς καλὰ θαυμαζόμενα πρὸς ἐκεῖνο τὸ κάλλος ὃ περὶ τὸ πρῶτον ἀγαθὸν, καὶ τὸ ἐπέκεινα παντὸς ἀγαθοῦ θεωρεῖται. Τίς οὖν ἐπίνοια τὸ μέγεθος τῆς ζημίας τῷ παθόντι τὴν ζημίαν ταύτην ἐνδείξεται; Καλῶς μοι δοκεῖ ὁ μέγας Δαβὶδ τὴν ἀμηχανίαν ἐνδεδεῖχθαι ταύτην· ὃς ἐπειδή ποτε δυνάμει τοῦ πνεύματος ὑψωθεὶς τὴν διάνοιαν, καὶ οἷον ἐκβὰς αὐτὸς ἑαυτὸν, εἶδεν ἐκεῖνο τὸ ἀμήχανον καὶ ἀπερινόητον κάλλος ἐν τῇ μακαρίᾳ [4] ἐκείνῃ ἐκςάσει (εἶδε δὲ πάντως
B ὡς ἀνθρώπῳ γε δυνατὸν ἰδεῖν, ἔξω τῶν τῆς σαρκὸς προκαλυμμάτων γενόμενος, καὶ εἰςελθὼν διὰ μόνης διανοίας εἰς τὴν τῶν ἀσωμάτων καὶ νοητῶν θεωρίαν), ἐπειδή τι καὶ εἰπεῖν ἄξιον τοῦ ὀφθέντος ἐπεπόθησεν, ἐκείνην ἐξεβόησε
Psalm. 116, 11. τὴν φωνὴν, ἣν πάντες ᾄδουσιν, ὅτι πᾶς ἄνθρωπος ψεύςης, τοῦτο δέ ἐςιν, ὥς γε ὁ ἐμὸς λόγος, ὅτι πᾶς ἄνθρωπος φωνῇ ἐπιτρέπων τὴν τοῦ ἀφράςου φωτὸς ἑρμηνείαν ὄντως ψεύςης ἐςὶν, οὐχὶ τῷ [5] μίσει τῆς ἀληθείας, ἀλλὰ

2) M. ἐπίπνοιαν. — 3) M. δ' ἄν. — 4) ἐκείνῃ fehlt in den Ausg. — 5) M. μισεῖν αὐτὴν, ἀλλὰ τῷ ἀσθενεῖν περὶ τὴν τοῦ νοηθέντος παράςασιν.

nutzlos ist; denn es ist unmöglich daß sein Glanz in das Ohr eindringt. So hat auch hinsichtlich des wahren und geistig wahrnehmbaren Lichts Jeder eigene Augen nöthig, damit er jene Schönheit schaue welche der Art ist daß, wenn sie durch Gottes Geschenk und Rathschluß Jemand erblickt, er sein Staunen, unfähig es zu erklären, in dem Verschluß seines Bewußtseins trägt; wer sie aber nicht geschaut hat, wird auch nicht den Verlust dessen erkennen dessen er beraubt worden ist. Denn wie soll man ihm ein Gut darstellen welches ihm völlig unbekannt ist? wie soll man ihm das was nicht ausgesprochen werden kann vor Augen führen? wir wissen keine besonderen Ausdrücke welche jene Schönheit zu bezeichnen im Stande wären; ein Beispiel oder Bild von dem wovon wir sprechen ist in der ganzen Schöpfung nicht vorhanden, und durch Vergleichung es deutlich zu machen in der That eben unmöglich. Wer vergleicht die Sonne mit einem unbedeutenden Funken, oder stellt einen kleinen Tropfen der Unendlichkeit mit den Meerestiefen zusammen? Denn in welchem Verhältniß der kleine Tropfen zu den Meerestiefen, oder das kleine Fünkchen zu dem gewaltigen Strahlenglanz der Sonne steht, so verhält sich auch Alles was von den Menschen als schön bewundert wird zu jener Schönheit welche das erste und über alles Gute hinausragende Gut begleitet. Welches Mittel wird also dem welcher diesen Verlust erleidet die Größe desselben zur Anschauung bringen? Mir scheint daß der große David diese Unmöglichkeit vor Augen legt, welcher, nachdem er einstmals durch die Macht des Geistes mit seiner Seele erhoben worden, und gleichsam aus sich herausgegangen war, und jene unbeschreibliche und unbegreifliche Schönheit in jener seligen Verzückung geschaut hatte, — er schaute sie aber ohne Zweifel in der Weise wie ein Mensch sie schauen kann, indem er die Hüllen seines Fleisches verließ, und bloß mit dem Geiste in die Betrachtung des Körperlosen und Intellectualen eingieng, — und da es ihn verlangte auch etwas des Geschehenen Würdiges auszusprechen, jenes Wort sprach welches in Aller Munde ist, daß alle Menschen Lügner sind, das heißt aber, wie wenigstens meine Ansicht ist, daß jeder Mensch, welcher die Erklärung des unnennbaren Lichts der Sprache anvertrauen will, in Wahrheit ein Lügner ist,

C τῇ ἀσθενείᾳ τῆς διηγήσεως. Τὸ μὲν γὰρ αἰσθητὸν κάλ-
λος, ὅσον κάτω περὶ τὸν ἡμέτερον ἀναστρέφεται βίον, εἴτε
ἐν ἀψύχοις ὕλαις, εἴτε καὶ ἐν σώμασιν ἐμψύχοις διά τινος
εὐχροίας ἐμφανταζόμενον, αὐτάρκης ἡμῶν ἡ κατὰ τὴν αἴ-
σθησιν δύναμις καὶ θαυμάσαι καὶ ἀποδέξασθαι καὶ γνώ-
ριμον ἑτέρῳ ποιῆσαι διὰ τῆς τῶν λόγων γραφῆς, ὥσπερ
ἐν εἰκόνι τινὶ τῷ λόγῳ τοῦ τοιούτου κάλλους ἐγγραφομέ-
νου, οὐδὲ τὸ [6] ἀρχέτυπον διαφεύγει τὴν κατανόησιν. Πῶς
ἂν ὁ λόγος ὑπ' ὄψιν ἀγάγοι, οὐδεμίαν μηχανὴν ἐξευρίσκων
D ὑπογραφῆς, οὐ χροιὰν ἔχων εἰπεῖν, οὐ σχῆμα, οὐ μέγε-
θος, οὐ μορφῆς εὐμοιρίαν, οὐδέ τινα ὅλως φλυαρίαν τοι-
αύτην; τὸ γὰρ ἀειδὲς πάντῃ, καὶ ἀσχημάτιστον, καὶ πηλι-
κότητος πάσης ἀλλότριον, καὶ πάντων ἴσα περὶ σῶμα καὶ
αἴσθησιν θεωρεῖται, πόῤῥωθεν ἱδρύμενον, πῶς ἄν τις
διὰ τῶν μόνῃ τῇ αἰσθήσει καταλαμβανομένων γνωρίσειεν;
Οὐ μὴν διὰ τοῦτό γε ἀπογνωστέον ἡμῖν τῆς ἐπιθυμίας
ταύτης ὅτι ὑψηλοτέρα φαίνεται τῆς καταλήψεως, ἀλλ'
p. 143. A ὅσῳ μέγα τὸ ζητούμενον ὁ λόγος ἀπέδειξεν, τοσούτῳ μᾶλ-
λον ὑψοῦσθαι χρὴ τὴν διάνοιαν καὶ συνεπαίρεσθαι τῷ
μεγέθει τοῦ ζητουμένου, [7] ὡς μὴ παντελῶς ἔξω γενέσθαι
τῆς τοῦ ἀγαθοῦ μετουσίας· κίνδυνος γὰρ οὐ μικρὸς μὴ
τῷ λίαν ὑψηλῷ τε καὶ ἀῤῥήτῳ παντάπασι τῆς περὶ αὐ-
τοῦ ἐννοίας ἀπολισθήσωμεν, μηδενὶ γνωρίμῳ τὴν κατανόη-
σιν [8] ἑαυτῶν ἐπερείδοντες. Δεῖ τοίνυν τῆς ἀσθενείας ἕνε-
κεν ταύτης διὰ τῶν τῇ αἰσθήσει γνωρίμων χειραγωγεῖν
πρὸς τὸ ἀόρατον τὴν διάνοιαν· ἡ δὲ ἐπίνοια γένοιτο ἂν
B ἡμῖν τοιαύτη.

Κεφ. ια'. Ὥσπερ τοίνυν οἱ μὲν ἐπιπολαιώτερον [1] καὶ
δίχα διανοίας τὰ πράγματα βλέποντες, ἐπειδὰν ἴδωσιν
C ἄνθρωπον ἢ ὅπερ ἂν τύχῃ τῶν φαινομένων, πλέον οὐδὲν
τοῦ δρωμένου περιεργάζονται (ἀρκεῖ γὰρ αὐτοῖς θεασα-
μένοις τὸν ὄγκον τοῦ σώματος ὅλον νομίσαι τὸν τοῦ ἀν-

6) M. ἀρχέτυπον κάλλος διαφεύγει. — 7) ὡς fehlt in den Ausg. —
8) M. αὐτῶν.

1) καὶ fehlt in den Ausg.

nicht weil er der Wahrheit Feind ist, sondern weil er unfähig ist das was er will darzustellen; denn nur alle sinnlich wahrnehmbare Schönheit, welche sich hier unten in unserem Menschenleben aufhält, mag sie nun in leblosen Stoffen oder auch in beseelten Körpern mit blühenden Farben auftreten, vermag unsere sinnliche Kraft zu bewundern, sie aufzufassen und einem Anderen durch die Malerei unserer Worte anschaulich zu machen, indem diese Schönheit durch das Wort wie auf einem Gemälde dargestellt wird, und das Original entzieht sich der Erkenntniß nicht. Wie vermöchte die Rede wohl Etwas vor Augen zu führen, wenn sie kein Mittel der Beschreibung auffindet, und von keiner Farbe, keiner Gestalt, keiner Größe, keiner Schönheit, überhaupt von gar keinem derartigen Kram sprechen kann? Denn das durchaus Unsichtbare, Gestaltlose, jeder Größe Fremde, und von allem Körperlichen und sinnlich Wahrnehmbaren Fernliegende, wie sollte man Solches durch das kennen lernen was durch die sinnliche Empfindung allein begriffen wird? Dennoch dürfen wir an der Erfüllung unseres Verlangens nicht deßhalb verzweifeln weil sein Gegenstand erhabener scheint als daß er erreicht werden könnte, sondern um wie viel größer, wie unsere Auseinandersetzung gezeigt hat, das ist wonach wir streben, desto höher muß unser Geist sich erheben zur Größe dieses Erstrebten, und darf durchaus nie aus der Gemeinschaft mit dem Guten scheiden; denn es ist nicht geringe Gefahr vorhanden daß wir durch das Uebermaß seiner Erhabenheit und sein geheimnißvolles Wesen gänzlich von dem Bewußtsein desselben abgebracht werden, wenn wir unsere Erkenntniß auf nichts Bekanntes stützen. Wir müssen also dieser Schwachheit wegen vermittelst dessen was der sinnlichen Wahrnehmung bekannt und geläufig ist unseren Geist auf das Unsichtbare hingeleiten. Das Verfahren möchte für uns folgendes sein.

Kap. 11. Wie also die welche die Dinge oberflächlich und ohne Nachdenken betrachten, wenn sie einen Menschen sehen, oder was ihnen sonst gerade vor die Augen kommt, sich über das was sie sehen hinaus nicht weiter kümmern (sie begnügen sich nämlich wenn sie die Masse des Körpers gesehen haben zu glau-

θρώπου λόγον κατειληφέναι), ὁ δὲ διορατικὸς τὴν ψυχὴν, καὶ πεπαιδευμένος μὴ μόνοις ὀφθαλμοῖς [2] ἐπιτρέπειν τὴν τῶν ὄντων ἐπίσκεψιν, οὐ μέχρι τῶν φαινομένων ϛήσεται, οὐδὲ τὸ μὴ βλεπόμενον ἐν τοῖς μὴ οὖσι λογίζεται, ἀλλὰ καὶ ψυχῆς φύσιν περινοεῖ, καὶ τὰς τῷ σώματι ἐμφυομένας ποιότητας καὶ κοινῇ καὶ καθ᾽ ἑαυτὰς ἐπισκέπτεται (ἰδίᾳ τε γὰρ αὐτῶν ἑκάϛην χωρίζει τῷ λόγῳ, καὶ πάλιν
D τὴν κοινὴν αὐτῶν συνδρομήν τε καὶ σύμπνοιαν περὶ τὴν τοῦ ὑποκειμένου σύϛασιν θεωρεῖ), οὕτως οὖν καὶ ἐν τῇ τοῦ καλοῦ ζητήσει ὁ μὲν ἀτελὴς τὴν διάνοιαν, ἐπειδὰν ἴδῃ τι πρᾶγμα ᾧ κάλλους τινὸς περικέχυται φαντασία, αὐτὸ ἐκεῖνο καλὸν εἶναι τῇ ἑαυτοῦ φύσει οἰήσεται ὅπερ ἂν τὴν αἴσθησιν αὐτοῦ δι᾽ ἡδονῆς ἐπισπάσηται, καὶ οὐδὲν ὑπὲρ τοῦτο πλέον περιεργάζεται· ὁ δὲ κεκαθαρμένος τὸν τῆς ψυχῆς ὀφθαλμὸν, καὶ δυνατὸς τὰ τοιαῦτα βλέπειν, χαίρειν ἐάσας τὴν ὕλην τὴν ὑποβεβλημένην τῇ
p. 144. A τοῦ καλοῦ ἰδέᾳ, οἷον ὑποβάθρᾳ τινὶ τῷ ὁρωμένῳ χρήσεται πρὸς τὴν τοῦ νοητοῦ κάλλους θεωρίαν, οὗ κατὰ μετουσίαν τὰ ἄλλα καλὰ γίνεταί τε καὶ ὀνομάζεται. Δοκεῖ δέ μοι χαλεπὸν εἶναι, τῶν πλείϛων τῇ τοιαύτῃ παχύτητι τῆς διανοίας συζώντων, τὸ διατεμόντας τῷ λόγῳ καὶ χωρίσαντας τὴν ὕλην ἀπὸ τοῦ ἐπιθεωρουμένου κάλλους αὐτὴν ἐφ᾽ ἑαυτῆς τοῦ καλοῦ τὴν φύσιν κατανοῆσαι. Καὶ εἴ τις ἀκριβῶς ἐθέλοι τὴν αἰτίαν σκοπεῖν τῶν πεπλανημένων καὶ μοχθηρῶν ὑπολήψεων, οὐκ ἄν μοι δοκεῖ ἄλ-
B λην εὑρεῖν ἢ τὸ μὴ ἀκριβῶς ἡμῶν γεγυμνάσθαι τὰ τῆς ψυχῆς αἰσθητήρια πρὸς τὴν τοῦ καλοῦ καὶ μὴ τοιούτου διάκρισιν. Διὰ τοῦτο ἀποϛάντες οἱ ἄνθρωποι τῆς περὶ τὸ ὄντως ἀγαθὸν σπουδῆς οἱ μὲν εἰς ἔρωτα σαρκῶν κατωλίσθησαν, οἱ δὲ ἐπὶ τὴν ἄψυχον τῶν χρημάτων ὕλην ταῖς ἐπιθυμίαις [3] ἔῤῥεψαν, ἄλλοι ἐν τιμαῖς καὶ δόξαις καὶ δυναϛείαις τὸ καλὸν ὡρίσαντο, εἰσὶ δέ τινες οἳ περὶ τέχνας καὶ ἐπιϛήμας ἐπτοήθησαν, οἱ δὲ ἀνδραποδωδέϛεροι

---

2) M. ἐπιτρέπει. — 3) M. ἔρεψαν.

ben daß sie den Begriff von Mensch gewonnen haben), der hingegen welcher von höherem Scharfblick des Geistes ist und gelernt hat, die Untersuchung der Dinge nicht den Augen allein anzuvertrauen, nicht bei der bloßen äußeren Erscheinung stehen bleiben wird, und nicht wähnt daß das was man nicht sieht auch nicht vorhanden sei, sondern auch die Natur der Seele mit ins Auge faßt, und die dem Körper angeborenen Qualitäten sowohl zusammen als für sich im Besonderen genau beobachtet (er trennt nämlich in seinem Geiste eine jede von ihnen besonders ab, und dann betrachtet er wiederum ihre Verbindung und Uebereinstimmung zur Darstellung des Gegenstandes), so wird also auch bei der Untersuchung über das Schöne der seinem Verstand nach Unausgebildete, wenn er ein von dem Schein des Schönen umgossenes Ding erblickt, dieses eben seiner eigenen Natur nach für schön halten, weil es seine Sinne durch den Reiz des Angenehmen an sich zieht, und kümmert sich darüber hinaus um weiter Nichts: wer aber ein klares Auge der Seele besitzt, und Solches zu erkennen im Stande ist, der läßt die Materie, welche die Unterlage für die Idee des Schönen abgiebt, bei Seite, und wird sich dessen was er sieht bei Betrachtung der geistigen Schönheit, durch deren Hinzutritt das Andere der That und dem Namen nach erst zum Schönen wird, gleichwie einer Grundlage bedienen. Ich halte es aber, da die Mehrzahl in solchem Stumpfsinn lebt, für sie für schwierig im Geiste die Materie von der an ihr erscheinenden Schönheit zu trennen und abzuscheidan und die Natur des Schönen an sich zu betrachten. Will Jemand sorgfältig nach der Ursache der irrthümlichen und unsittlichen Ansichten forschen, so entdeckt er, glaube ich, keine andere als die daß die Sinneswerkzeuge unserer Seele auf Unterscheidung des sittlich Schönen und Guten, und dessen was nicht so ist nicht sorgfältig eingeübt sind. Darum werden die Menschen dem Streben nach dem wahrhaft Guten untreu, und die Einen sinken zur Fleischesliebe herab, die Anderen neigen sich in ihren Begierden der seelenlosen Materie des Geldes zu, noch Andere setzen das Schöne in Ehre, Ruhm und Herrscherthum, auch giebt es Einige welche mit leidenschaftlicher Liebe an Künsten und Wissenschaften hangen, noch Andere von gemeinerer Gesin-

τούτων λαιμὸν καὶ γαςέρα τοῦ ἀγαθοῦ ποιοῦνται κριτή-
B οὐδὲ μέχρι τῶν σωμάτων ἱςάμενον, ἀλλ' ἐπὶ πάντα διῆκον καὶ διαβαῖνον τῇ [1]διανοίᾳ ὅσα κατορθώματα ψυχῆς ἔςι καὶ νομίζεται. Ἡ γὰρ τῷ ἀληθινῷ νυμφίῳ προςκολληθεῖσα διὰ παρθενίας ψυχὴ οὐ μόνον τῶν σωματικῶν μολυσμάτων ἑαυτὴν ἀποςήσει, ἀλλ' ἐντεῦθεν μὲν ἄρξεται τῆς καθαρότητος, ἐπὶ πάντα δὲ ὁμοίως καὶ μετὰ τῆς

10) οὖν fehlt in den Ausg. — 11) ἔτι fehlt in den Ausg. — 12) M. οὕτως. — 13) M. ὅτι. — 14) M. ὅτι. — 15) M. γέγονε.

1) M. ἐπινοίᾳ.

Welche Stätte also hat noch der Tod bei solcher Leibesfrucht? In Wahrheit ist in ihnen der Tod von dem Leben verschlungen worden, und das Leben im Stande der Ehelosigkeit scheint ein Bild zu sein von der Seligkeit in dem zukünftigen Leben, da es viele Kennzeichen der von uns gehofften Güter an sich trägt. Die Wahrheit des Gesagten kann man erkennen wenn man die Behauptung eingehender prüft. Denn erstlich lebt der welcher einmal für allemal der Sünde abstirbt fernerhin Gott, und trägt dem Tod keine Frucht mehr, und wenn er so viel an ihm liegt dem Fleischesleben in sich die höchste Vollendung gegeben hat, harrt er fernerhin der seligen Hoffnung und auf die Erscheinung des großen Gottes, und stellt zwischen sich und der Ankunft Gottes keinen Zwischenraum durch dazwischenliegende Geschlechter her; dann genießt er den Vorzug der Herrlichkeiten bei der Auferstehung auch in diesem Leben. Denn da nach der Auferstehung ein engelgleiches Leben von dem Herrn den Gerechten verkündigt ist, es aber Eigenthümlichkeit der engelischen Natur ist von der Ehe frei zu sein, so hat er schon die herrlichen Güter die ihm versprochen wurden empfangen, und mischt sich unter den strahlenden Glanz der Heiligen und ahmt durch sein fleckenloses Leben die Reinheit der körperlosen Wesen nach. Wenn demnach der ehelose Stand Vermittler dieser und solcher Güter ist, welche Rede wird dann würdig diese Begnadigung bewundern können, und welches andere Gut der Seele wird so groß und so werthvoll erscheinen daß es mit dieser Vollkommenheit zusammengestellt und verglichen zu werden vermöchte?

Kap. 14. Haben wir aber die Ueberschwenglichkeit der Gnadengabe eingesehen, so müssen wir in Folge dessen erkennen daß dieses gute Werk nicht, wie man glauben möchte, ein einfaches ist, noch sich auf die Leiber allein beschränkt, sondern ein solches das seinem Begriff nach sich auf alle sittlichen Thaten der Seele erstreckt und übergeht, so viel deren es giebt und genannt werden. Denn die durch den jungfräulichen Stand der Ehelosigkeit an ihren wahren Bräutigam gekettete Seele wird sich nicht allein von den körperlichen Befleckungen fern halten, sondern von da den Anfang zu ihrer Lauterkeit machen und dann zu Allem in gleicher Weise und mit gleich sicherem Schritt, und in der Furcht

ἴσης ἀσφαλείας [2] πορεύσεται, καὶ δεδοικυῖα μήπου τῆς
καρδίας παρὰ τὸ δέον ἐπικλιθείσης πονηροῦ τινος κοινω-
νίᾳ μοιχικόν τι πάθος κατὰ τὸ μέρος ἐκεῖνο προςδέξηται.
C Οἷόν τι λέγω (πάλιν γὰρ τὸν λόγον ἐπαναλήψομαι), ἡ τῷ
κυρίῳ προςκολληθεῖσα ψυχὴ εἰς τὸ γενέσθαι πρὸς αὐτὸν
ἓν πνεῦμα, καθάπερ ὁμολογίαν τινὰ συμβιωτικὴν καταθε-
μένη τὸ μόνον ἐκεῖνον ἀγαπᾷν ἐξ ὅλης καρδίας τε καὶ
δυνάμεως, οὔτε τῇ πορνείᾳ προςκολληθήσεται, ἵνα μὴ
γένηται σῶμα ἓν πρὸς αὐτὴν, οὔτε ἄλλο τι τῶν ἀντικει-
μένων τῇ σωτηρίᾳ προςδέξεται, ὡς μιᾶς οὔσης ἐν ἅπασι
τῆς τῶν μιασμάτων κοινότητος, καὶ [3] εἰ δι᾽ ἑνός τινος
μολυνθείη, μηκέτι τὸ ἄσπιλον ἔχειν ἐν ἑαυτῇ δυναμένη.
D Ἔςι δὲ καὶ δι᾽ ὑποδειγμάτων τεκμηριῶσαι τὸν λόγον. Ὥς-
περ τὸ ἐν τῇ λίμνῃ ὕδωρ τέως μὲν λεῖόν ἐςι καὶ ἀκίνη-
τον, εἰ μηδεμία τις τῶν ἔξωθεν ταραχὴ προςπεσοῦσα τὸ
ςαθηρὸν τοῦ τόπου διακινήσειε, λίθου δέ τινος ἐμπεσόν-
τος τῇ λίμνῃ ὅλον συνεκινήθη τῷ μέρει (ὁ μὲν γὰρ ὑπὸ
τοῦ βάρους εἰς τὸν βυθὸν καταδύεται, τῶν δὲ περὶ αὐτὸν
κυμάτων κυκλοτερῶς ἐν ἄλλοις ἐγειρομένων, καὶ ἐπὶ τὰ
ἄκρα τοῦ ὕδατος ὑπὸ τῆς ἐν τῷ μέσῳ κινήσεως ἐξωθου-
μένων, πᾶσα ἐν κύκλῳ περιτραχύνεται τῆς λίμνης ἡ ἐπι-
φάνεια, συνδιατιθεμένη τῷ βάθει), οὕτω καὶ τὸ τῆς ψυ-
χῆς γαληναῖον καὶ ἥσυχον δι᾽ ἑνός τινος παρεμπεσόντος
p. 157. A εἰς αὐτὴν πάθους ὅλον συνδιεσείσθη, καὶ τῆς τοῦ μέρους
βλάβης συνῄσθετο. Φασὶ δὲ καὶ οἱ τὰ τοιαῦτα ἐξητακό-
τες μὴ ἀπεσχίσθαι τὰς ἀρετὰς ἀλλήλων, μηδὲ δυνατὸν
εἶναι μιᾶς τινος ἀρετῆς κατὰ τὸν ἀκριβῆ περιδράξασθαι
λόγον τὸν μὴ καὶ τῶν λοιπῶν ἐφαψάμενον, ἀλλ᾽ ᾧ ἂν
παραγένηται μία τῶν ἀρετῶν, ἀναγκαίως ἐπακολουθεῖν
καὶ τὰς λοιπάς. Οὐκοῦν ἐξ ἀντιςρόφου καὶ ἡ περί τι
βλάβη τῶν ἐν ἡμῖν εἰς ὅλον τὸν κατ᾽ ἀρετὴν διατείνει
1 Corinth. 12, 26. βίον, καὶ ὄντως, καθώς φησιν ὁ ἀπόςολος, τοῖς μέρεσι

2) M. πορεύεται. — 3) M. εἴδι * ἑνός, mit der Randbemerkung, Hic locus corruptus est in cod. Graec.

daß nicht, in Folge einer übermäßigen Neigung des Herzens zu einer Gemeinschaft mit dem Bösen, sie in jenem Theile eine ehebrecherische Leidenschaft aufnehme, vorwärtsschreiten. Zum Beispiel — denn ich wiederhole nochmals das Wort — die an den Herrn zu dem Zwecke, zu einem Geist mit ihm vereinigt zu werden, festgekettete Seele, welche das ihr Zusammenleben gleichsam bedingende Versprechen, ihn allein zu lieben von ganzem Herzen und mit voller Kraft, abgelegt hat, die wird sich weder an Hurerei hängen, damit sie nicht ein Leib werde mit ihr, noch wird sie irgend etwas Anderes was dem Heile widerstrebt in sich aufnehmen, da die Gemeinschaft mit dem Unreinen in allen Fällen dieselbe ist, und, wofern sie durch Etwas besudelt worden ist, außer Stande sein fernerhin in sich das Unreine zu beherbergen. Dies läßt sich auch durch Beispiele beweisen. Wie das Wasser in der See so lange glatt und unbeweglich ist als keine von Außen kommende Störung die Stelle aus ihrer ruhigen Gleichheit aufstört, wenn aber ein Stein in den See gefallen ist, das Ganze mit dem zunächst getroffenen Theile zugleich in Aufregung gesetzt wird (denn der Stein sinkt in Folge seiner Schwere in die Tiefe, und während die Wellen um ihn herum kreisförmig die eine aus der anderen sich erheben, und von der im Mittelpunkt stattgefunden habenden Bewegung auf die Außenseiten des Wassers hinausgetrieben werden, kräuselt sich rings die ganze Oberfläche des Sees, weil sie mit der Tiefe zugleich mitaffiziert wird), so wird auch der Frieden und die Ruhe der Seele durch eine einzige Leidenschaft welche in sie hineinfällt ganz und gar in Aufregung versetzt, und fühlt im Ganzen die dem Theil zugestoßene Verletzung mit. Auch sagen die welche dies eingehender geprüft haben, daß die Tugenden von einander nicht geschieden seien und daß unmöglich Jemand eine einzige Tugend vollkommen sich erwerben und sich zu eigen machen könne, ohne zugleich auch an den übrigen fest zu halten, sondern daß nothwendiger Weise dem welcher in den Besitz einer Tugend gelangt auch die übrigen zu Theil werden müssen. Also umgekehrt erstreckt sich auch jedwelcher Schaden in uns auf das gesammte Leben in der Tugend, und in Wahrheit wird, wie der Apostel sagt, das Ganze durch die Theile zugleich mit affiziert, gleichviel

ἴσης ἀσφαλείας [2]πορεύσεται, καὶ δεδοικυῖα μήπου τῆς καρδίας παρὰ τὸ δέον ἐπικλιθείσης πονηροῦ τινος κοινωνίᾳ μοιχικόν τι πάθος κατὰ τὸ μέρος ἐκεῖνο προςδέξηται.
C Οἷόν τι λέγω (πάλιν γὰρ τὸν λόγον ἐπαναλήψομαι), ἡ τῷ κυρίῳ προςκολληθεῖσα ψυχὴ εἰς τὸ γενέσθαι πρὸς αὐτὸν ἓν πνεῦμα, καθάπερ ὁμολογίαν τινὰ συμβιωτικὴν καταθεμένη τὸ μόνον ἐκεῖνον ἀγαπᾶν ἐξ ὅλης καρδίας τε καὶ δυνάμεως, οὔτε τῇ πορνείᾳ προςκολληθήσεται, ἵνα μὴ γένηται σῶμα ἓν πρὸς αὐτὴν, οὔτε ἄλλο τι τῶν ἀντικειμένων τῇ σωτηρίᾳ προςδέξεται, ὡς μιᾶς οὔσης ἐν ἅπασι τῆς τῶν μιασμάτων κοινότητος, καὶ [3]εἰ δι' ἑνός τινος μολυνθείη, μηκέτι τὸ ἄσπιλον ἔχειν ἐν ἑαυτῇ δυναμένη.
D Ἔςι δὲ καὶ δι' ὑποδειγμάτων τεκμηριῶσαι τὸν λόγον. Ὥςπερ τὸ ἐν τῇ λίμνῃ ὕδωρ τέως μὲν λεῖόν ἐςι καὶ ἀκίνητον, εἰ μηδεμία τις τῶν ἔξωθεν ταραχὴ προςπεσοῦσα τὸ ςαθηρὸν τοῦ τόπου διακινήσειε, λίθου δέ τινος ἐμπεσόντος τῇ λίμνῃ ὅλον συνεκινήθη τῷ μέρει (ὁ μὲν γὰρ ὑπὸ τοῦ βάρους εἰς τὸν βυθὸν καταδύεται, τῶν δὲ περὶ αὐτὸν κυμάτων κυκλοτερῶς ἐν ἄλλοις ἐγειρομένων, καὶ ἐπὶ τὰ ἄκρα τοῦ ὕδατος ὑπὸ τῆς ἐν τῷ μέσῳ κινήσεως ἐξωθουμένων, πᾶσα ἐν κύκλῳ περιτραχύνεται τῆς λίμνης ἡ ἐπιφάνεια, συνδιατιθεμένη τῷ βάθει), οὕτω καὶ τὸ τῆς ψυχῆς γαληναῖον καὶ ἥσυχον δι' ἑνός τινος παρεμπεσόντος
p. 157. A εἰς αὐτὴν πάθους ὅλον συνδιεσείσθη, καὶ τῆς τοῦ μέρους βλάβης συνῄσθετο. Φασὶ δὲ καὶ οἱ τὰ τοιαῦτα ἐξητακότες μὴ ἀπεσχίσθαι τὰς ἀρετὰς ἀλλήλων, μηδὲ δυνατὸν εἶναι μιᾶς τινος ἀρετῆς κατὰ τὸν ἀκριβῆ περιδράξασθαι λόγον τὸν μὴ καὶ τῶν λοιπῶν ἐφαψάμενον, ἀλλ' ᾧ ἂν παραγένηται μία τῶν ἀρετῶν, ἀναγκαίως ἐπακολουθεῖν καὶ τὰς λοιπάς. Οὐκοῦν ἐξ ἀντιςρόφου καὶ ἡ περί τι βλάβη τῶν ἐν ἡμῖν εἰς ὅλον τὸν κατ' ἀρετὴν διατείνει
1 Corinth. 12, 26. βίον, καὶ ὄντως, καθώς φησιν ὁ ἀπόςολος, τοῖς μέρεσι

---

2) M. πορεύεται. — 3) M. εἴδι * ἑνὸς, mit der Randbemerkung, Hic locus corruptus est in cod. Graec.

daß nicht, in Folge einer übermäßigen Neigung des Herzens zu einer Gemeinschaft mit dem Bösen, sie in jenem Theile eine ehebrecherische Leidenschaft aufnehme, vorwärtsschreiten. Zum Beispiel — denn ich wiederhole nochmals das Wort — die an den Herrn zu dem Zwecke, zu einem Geist mit ihm vereinigt zu werden, festgekettete Seele, welche das ihr Zusammenleben gleichsam bedingende Versprechen, ihn allein zu lieben von ganzem Herzen und mit voller Kraft, abgelegt hat, die wird sich weder an Hurerei hängen, damit sie nicht ein Leib werde mit ihr, noch wird sie irgend etwas Anderes was dem Heile widerstrebt in sich aufnehmen, da die Gemeinschaft mit dem Unreinen in allen Fällen dieselbe ist, und, wofern sie durch Etwas besudelt worden ist, außer Stande sein fernerhin in sich das Unreine zu beherbergen. Dies läßt sich auch durch Beispiele beweisen. Wie das Wasser in der See so lange glatt und unbeweglich ist als keine von Außen kommende Störung die Stelle aus ihrer ruhigen Gleichheit aufstört, wenn aber ein Stein in den See gefallen ist, das Ganze mit dem zunächst getroffenen Theile zugleich in Aufregung gesetzt wird (denn der Stein sinkt in Folge seiner Schwere in die Tiefe, und während die Wellen um ihn herum kreisförmig die eine aus der anderen sich erheben, und von der im Mittelpunkt stattgefunden habenden Bewegung auf die Außenseiten des Wassers hinausgetrieben werden, kräuselt sich rings die ganze Oberfläche des Sees, weil sie mit der Tiefe zugleich mitaffiziert wird), so wird auch der Frieden und die Ruhe der Seele durch eine einzige Leidenschaft welche in sie hineinfällt ganz und gar in Aufregung versetzt, und fühlt im Ganzen die dem Theil zugestoßene Verletzung mit. Auch sagen die welche dies eingehender geprüft haben, daß die Tugenden von einander nicht geschieden seien und daß unmöglich Jemand eine einzige Tugend vollkommen sich erwerben und sich zu eigen machen könne, ohne zugleich auch an den übrigen fest zu halten, sondern daß nothwendiger Weise dem welcher in den Besitz einer Tugend gelangt auch die übrigen zu Theil werden müssen. Also umgekehrt erstreckt sich auch jedwelcher Schaden in uns auf das gesammte Leben in der Tugend, und in Wahrheit wird, wie der Apostel sagt, das Ganze durch die Theile zugleich mit affiziert, gleichviel

τὸ ὅλον συνδιατίθεται, ἄν τε πάσχῃ μέλος ἓν συναλγοῦν-
B τος τοῦ παντὸς, [1]ἄν τε καὶ δοξάζηται τοῦ ὅλου συγχαί-
ροντος.

Κεφ. ιε΄. Ἀλλὰ μυρίαι κατὰ τὸν βίον ἡμῶν αἱ πρὸς
τὴν ἁμαρτίαν παρατροπαὶ, καὶ πολυτρόπως αἱ γραφαὶ
C τὸ πλῆθος τοῦτο διασημαίνουσι. Πολλοὶ γὰρ, [1]φησὶν, οἱ
Psalm. 119, 157. ἐκδιώκοντές με καὶ θλίβοντές με, καὶ, Πολλοὶ οἱ πολε-
Psalm. 56, 2. μοῦντές με ἀπὸ ὕψους· καὶ ἄλλα τοιαῦτα πολλά. Τάχα
τοίνυν κυρίως ἐςὶν εἰπεῖν ὅτι πολλοὶ οἱ μοιχικῶς ἐπιβου-
λεύοντες πρὸς τὸ διαφθεῖραι τὸν τίμιον τοῦτον ὡς ἀλη-
θῶς γάμον καὶ τὴν ἀμίαντον κοίτην· εἰ δὲ χρὴ [2]καὶ ὀνό-
μασι τοὺς μοίχους τούτους ἀπαριθμήσασθαι, μοιχὸς ἡ
ὀργὴ, μοιχὸς ἡ πλεονεξία, μοιχὸς ὁ φθόνος, ἡ μνησικα-
κία, ἡ ἔχθρα, ἡ βασκανία, τὸ μῖσος, πάντα ὅσα παρὰ
τοῦ ἀποςόλου κατείληκται ὡς ἀντικείμενα τῇ ὑγιαινούσῃ
1 Cor. 6, 9. διδασκαλίᾳ, μοιχῶν ἐςιν ἀπαρίθμησις. Ὑποθώμεθα τοί-
D νυν εἶναί τινα ἐν γυναιξὶν εὐπρεπῆ τε καὶ ἀξιέραςον,
καὶ διὰ τοῦτο βασιλεῖ πρὸς γάμον συναρμοσθεῖσαν, ἐπι-
βουλεύεσθαι δὲ διὰ τὴν ὥραν ὑπὸ ἀκολάςων τινῶν, οὐκ-
οῦν ἡ τοιαύτη ἕως μὲν ἂν πρὸς πάντας τοὺς ἐπὶ φθορᾷ
παρεδρεύοντας ἐχθρῶς ἔχῃ καὶ κατηγορῇ τούτων ἐπὶ
τοῦ νομίμου ἀνδρὸς, σώφρων ἐςὶ, καὶ πρὸς μόνον τὸν
νυμφίον ὁρᾷ, καὶ οὐδεμίαν ἔχουσιν χώραν κατ' αὐτῆς αἱ
τῶν ἀκολάςων ἀπάται. Εἰ δέ τινι πρόςθοιτο τῶν ἐπι-
βουλευόντων, οὐκ ἐξαιρεῖται αὐτὴν τῆς τιμωρίας ἡ ἐπὶ
p. 158. A τῶν λοιπῶν σωφροσύνη· ἀρκεῖ γὰρ εἰς κατάκρισιν καὶ τὸ
δι' ἑνὸς μιανθῆναι τὴν κοίτην. Οὕτως καὶ ἡ τῷ Θεῷ
ζῶσα ψυχὴ οὐδενὶ τῶν δι' ἀπάτης αὐτῇ προφαινομένων
καλῶν ἀρεθήσεται· εἰ δὲ παραδέξαιτο διά τινος πάθους
τὸν μιασμὸν τῇ καρδίᾳ, ἔλυσε καὶ αὐτὴ τοῦ πνευματικοῦ
Sap. 1, 3. γάμου τὰ δίκαια, καὶ ὥς φησιν ἡ γραφὴ, εἰς κακότεχνον
ψυχὴν μὴ εἰςελεύσεσθαι σοφίαν, οὕτως ἐςὶν ἀληθῶς εἰ-
πεῖν μηδὲ εἰς θυμώδη καὶ βάσκανον, ἢ ἄλλο τι ἔχουσαν

1) M. ἐάν.

1) φησὶν fehlt in den Ausg. — 2) M. καὶ τῷ ὀνόματι τοὺς τούτους.

ob ein Glied leidet und das Ganze den Schmerz mitempfindet, oder ob es verherrlicht wird, weil das Ganze sich freut.

Kap. 15. Unzählig aber sind die Abwege zur Sünde in unserem Leben, und die Schrift deutet diese Menge in mannichfacher Weise an; denn, heißt es, Viele sind die mich verfolgen und ängstigen, und, Groß ist die Zahl meiner Feinde von der Höhe, neben vielerlei anderen solcher Stellen. Vielleicht kann man also ganz eigentlich sagen, Groß ist die Zahl derer welche ehebrecherische Nachstellungen bereiten um dieses in Wahrheit ehrwürdige Ehebündniß und das unbefleckte Lager zu besudeln: soll ich aber diese Ehebrecher auch mit Namen aufzählen, so ist ein Ehebrecher der Zorn, ein Ehebrecher der Geiz, ein Ehebrecher der Neid, die Rachsucht, die Feindschaft, die Verläumdung, der Haß, kurz Alles was der Apostel als der gesunden Lehre widerstrebend aufführt das bildet das Verzeichniß der Ehebrecher. Setzen wir also den Fall, es fände sich ein schönes und liebenswürdiges Weib, und diese sei darum des Königs eheliches Gemahl, wegen ihrer Schönheit stellten ihr jedoch einige Wüstlinge nach, nun so ist sie, so lange sie sich gegen die in Absicht der Verführung Nachstellenden feindlich stellt, und sich gegen sie bei ihrem gesetzmäßigen Manne beklagt, züchtig, schaut bloß auf den Gemahl, und die trügerischen Versuchungen der Wüstlinge finden bei ihr keine Stätte. Sobald sie aber dem einen oder dem anderen der Nachsteller ihre Zuneigung schenkt, so schützt das von ihr gegen die übrigen derselben bewahrte züchtige Wesen sie nicht vor Strafe; denn um verurtheilt zu werden gnügt es daß das Bett auch nur durch einen Einzigen besudelt worden ist. So darf auch die Gott liebende Seele sich durch kein unter dem trügerischen Schein eines Gutes ihr sich darstellendes Ding fesseln lassen; würde sie aber durch irgend welche Leidenschaft die Befleckung in ihr Herz aufnehmen, dann hat auch sie den rechtlichen Verband ihrer geistigen Ehe gelöst, und wie die Schrift sagt daß die Weisheit nicht in eine boshaftige Seele komme, so muß man in der That sagen daß auch in eine zornige oder verläumdungssüchtige Seele, oder welche

τοιοῦτον ἐν ἑαυτῇ πλημμελὲς, δυνατὸν εἶναι τὸν ἀγαθὸν
B νυμφίον εἰςοικισθῆναι. Τίς γὰρ ἐπίνοια συναρμόσει τὸ
τῇ φύσει ἀλλότριόν τε καὶ ἀκοινώνητον; Ἄκουσον τοῦ
2 Cor. 6, 14. ἀποςόλου μηδεμίαν εἶναι κοινωνίαν φωτὶ πρὸς σκότος
διδάσκοντος, ἢ δικαιοσύνῃ πρὸς ἀνομίαν, ἢ συνελόντι φάναι, πάντα ὅσα ἐςὶν ὁ κύριος κατὰ τὴν διαφορὰν τῶν ἐν αὐτῷ θεωρουμένων νοούμενός τε καὶ ὀνομαζόμενος πρὸς πάντα τὰ ἐν κακίᾳ κατὰ τὸ ἐναντίον νοούμενα. Εἰ οὖν ἀμήχανος τῶν τῇ φύσει ἀμίκτων ἡ κοινωνία, ἀλλοτρία πάντως καὶ ἀνεπίδεκτος τῆς τοῦ ἀγαθοῦ συνοικήσεως ἡ
C ὑπὸ κακίας τινὸς κατειλημμένη ψυχή. Τί οὖν ἐκ τούτων μανθάνομεν; τὸ δεῖν τὴν σώφρονα καὶ λελογισμένην παρθένον παντὸς πάθους κατὰ πάντα τρόπον τῆς ψυχῆς ἁπτομένου χωρίζεσθαι, καὶ φυλάσσειν ἑαυτὴν ἁγνὴν τῷ [3] νομίμως ἁρμοσαμένῳ αὐτὴν νυμφίῳ, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων.

D Κεφ. ις΄. Μία γὰρ ἔςιν ὁδὸς εὐθεία, ςενή τε ὡς ἀληθῶς καὶ τεθλιμμένη καὶ τὰς ἐφ᾽ ἑκάτερα παρατροπὰς οὐκ ἐπιδεχομένη, καὶ τὸ ὁπωςοῦν ἔξω ταύτης γενέσθαι ἴσον ἔχει τὸν τῆς ἀποπτώσεως κίνδυνον. Εἰ δὴ ταῦτα οὕτως ἔχει, διορθωτέον ὡς οἷόν τε τῶν πολλῶν τὴν συνήθειαν, ὅσοι πρὸς μὲν τὰς αἰσχροτέρας τῶν ἡδονῶν ἰσχυρῶς ἀπομάχονται, ἄλλως δὲ τὴν ἡδονὴν ἐν τιμαῖς καὶ φιλαρχίαις θηρεύουσι, παραπλήσιον ποιοῦντες ὥςπερ
p. 159. ἂν εἴ τις οἰκέτης ἐλευθερίας ἐπιθυμῶν μὴ ὅπως τῆς δου-
A λείας ἔξω γενήσεται σπεύδοι, ἀλλ᾽ ἐναμείβοι τοὺς κεκτημένους, τὴν ἐναλλαγὴν τῶν κεκτημένων ἐλευθερίαν οἰόμενος· δοῦλοι γάρ εἰσιν ἐπίσης πάντες, κἂν μὴ ὑπὸ τῶν αὐτῶν κυριεύονται, ἕως ἂν ὅλως ἐπικρατῇ τις αὐτῶν μετὰ δυναςείας ἀρχή. Εἰσὶ δὲ πάλιν οἱ τῇ πολλῇ πρὸς τὰς ἡδονὰς μάχῃ εὐκαταγώνιςοί πως τῷ ἀντικειμένῳ πάθει γεγόνασιν, καὶ ἐν τῇ ἐπιτεταμμένῃ τῆς ζωῆς ἀκριβείᾳ λύπαις καὶ παροξυσμοῖς καὶ μνησικακίαις, καὶ τοῖς λοιποῖς

3) νομίμως fehlt in den Ausg.

sonst einen derartigen Fehler an sich hat, der gute Bräutigam unmöglich Wohnung aufschlagen kann. Denn welches Mittel vermag zu verbinden was der Natur nach einander fremdartig und unvereinbar ist? Höre auf den Apostel welcher lehrt daß das Licht keine Gemeinschaft habe mit der Finsterniß, noch die Gerechtigkeit mit der Ungerechtigkeit, oder um es kurz zusammenzufassen, Alles was der Herr ist nach dem Unterschiede seiner Eigenschaften aufgefaßt in Begriff und Benennung mit allen entgegengesetzten Attributen des Bösen. Wenn demnach die Gemeinschaft solcher Dinge welche von Natur unvereinbar sind eine Unmöglichkeit ist, so ist die von irgend einem Bösen erfaßte Seele entfrembet und unempfänglich für das eheliche Zusammenwohnen mit dem Guten. Was lernen wir nun daraus? wir lernen daß die züchtige und besonnene Jungfrau sich von jeglicher Leidenschaft welche in irgend welcher Weise die Seele erfassen will fern halten, und sich keusch und rein ihrem gesetzlich anverlobten Bräutigam bewahren muß, ohne Flecken und Falte und sonstigen Fehl.

Kap. 16. Denn einen einzigen geraden Weg giebt es, in Wahrheit eng und schmal, welcher die Abschweifung und Abirrung nach beiden Seiten hin nicht gestattet, und diesen Weg nur einigermaßen zu verlassen ist eben so gefährlich als Abfall. Wenn sich aber dieses so verhält, so liegt es uns ob nach Kräften der Gewohnheit der Mehrzahl zu steuern, welche sich wohl gegen die schändlicheren Lüste kräftig wehrt, sonst aber dem Vergnügen hoher Ehren und ersehnter einflußreicher Stellungen nachjagt, ähnlich wie wenn ein Sclave, welcher nach Freiheit verlangt nicht aus dem Stande der Knechtschaft herauszukommen wünschen, sondern nur die Besitzer tauschen, und in diesem Wechsel der Herren die Freiheit erkennen wollte. Sclaven sind in gleicher Weise alle, auch wenn sie nicht dieselben Herren haben, so lange sie nur überhaupt unter einer herrschenden Obergewalt stehen. Dann giebt es wiederum welche die in Folge des vielfachen Ankämpfens gegen die Lüste in gewisser Beziehung von den entgegengesetzten Einflüssen leicht überwältigt werden, und bei der eifrigsten Sorgfalt und Strenge des Lebens, schmerzlichen und erbitterten Stimmungen, und trüben

B πᾶσιν ὅσα πρὸς τὸ ἐναντίον τοῦ κατὰ τὴν ἡδονὴν πάθους
ἀντικαθέϛηκεν, εὐκόλως τε ἁλίσκονται καὶ δυςχερῶς διεκ-
δύνουσι. Τοῦτο δὲ γίνεται ὅταν μὴ ὁ λόγος ὁ κατ' ἀρε-
τὴν, ἀλλά τι πάθος τῆς κατὰ τὸν βίον πορείας ἡγεμο-
Psalm. 18, 9. νεύῃ. Ἡ μὲν γὰρ ἐντολὴ τοῦ κυρίου σφόδρα τηλαυγὴς,
Psalm. 73, 28. [1] ὥς φησιν ἡ γραφὴ, ὡς καὶ νηπίων ὀφθαλμοὺς φωτίσαι,
μόνῳ τῷ θεῷ προςκολλᾶσθαι ἀγαθὸν εἶναι λέγουσα. Ὁ
δὲ θεὸς οὔτε λύπη ἐϛὶν, οὔτε ἡδονὴ, οὔτε δειλία, ἢ θρά-
σος, ἢ φόβος, ἢ ὀργὴ, ἢ ἄλλο τι τοιοῦτον πάθος ὃ τῆς
C ἀπαιδεύτου κυριεύει ψυχῆς, ἀλλ', ὥς φησιν ὁ ἀπόϛολος,
Gal. 5, 12. αὐτοσοφία καὶ ἁγιασμὸς, ἀλήθειά τε καὶ χαρὰ, καὶ εἰρή-
νη, καὶ ὅσα τοιαῦτα. Πῶς οὖν ἔϛι τῷ ταῦτα ὄντι προς-
κολληθῆναι τὸν ὑπὸ τῶν ἐναντίων κρατούμενον; ἢ πῶς
οὐκ ἄλογον τὸν [2] ἔν τινι τῶν παθῶν ὅπως μὴ ὑπαχθείη
σπουδάζοντα ἀρετὴν νομίζειν τὸ ἀντικείμενον; οἷον ἡδο-
νὴν μὲν [3] φεύγοντα λύπῃ κατέχεσθαι, τὸ δὲ θρασὺ καὶ
προπετὲς διακλίνοντα δειλίᾳ ταπεινοῦν τὴν ψυχὴν, ἢ θυ-
μοῖς ἀνάλωτον μένειν ἐσπουδακότα κατεπτηχέναι τῷ φό-
βῳ. Τί γὰρ διαφέρει οὕτως ἢ ἄλλως τῆς ἀρετῆς ἐκπε-
D σεῖν, μᾶλλον δὲ αὐτοῦ τοῦ θεοῦ ἔξω γενέσθαι, ὅς ἐϛιν
ἡ παντελὴς ἀρετή; καὶ γὰρ ἐπὶ τῶν τοῦ σώματος ἀῤῥω-
ϛημάτων οὐκ ἂν διαφέρειν τὸ κακόν τις εἴποι [4] ἢ δι'
ὑπερβαλλούσης ἐνδείας ἢ ἀπὸ πλησμονῆς ἀμέτρου δια-
φθαρῆναι, εἰς τὸ αὐτὸ πέρας τῆς ἐν ἑκατέροις ἀμετρίας
ληγούσης. Οὐκοῦν καὶ ὁ τῆς κατὰ ψυχὴν ζωῆς τε καὶ
ὑγιείας ἐπιμελόμενος ἐπὶ τοῦ μέσου τῆς [5] ἀπαθείας ἑαυ-
τὸν τηρήσει, ἀμιγὴς καὶ ἀμέτοχος διαμένων τῆς ἑκατέ-
ρωθεν τῇ ἀρετῇ παρακειμένης ἐναντιότητος. Οὐκ ἐμὸς ὁ
p. 160. A λόγος, ἀλλ' αὐτῆς τῆς θείας φωνῆς· φανερῶς γὰρ τῆς
Luc. 10, 3. τοῦ κυρίου διδασκαλίας τὸ δόγμα τοῦτό ἐϛιν, ἐν οἷς δι-
Matth. 10, 16. δάσκει τοὺς μαθητὰς ὡς ἄρνας λύκοις συναναϛρεφομένους
μὴ περιϛερὰς εἶναι μόνον, ἀλλ' ἔχειν τι καὶ τοῦ ὄφεως

---

1) Die Worte ὥς φησιν ἡ γραφὴ fehlen in den gedruckten Texten. — 2) M. τῷ ἔν τινι. — 3) M. φυγόντα. — 4) ἢ fehlt in den Ausg. — 5) M. ἀληθείας.

Rückerinnerungen, und allem Uebrigen was der Leidenschaft des Vergnügens gradezu feindlich gegenübersteht, leicht sich gefangen geben und schwer davon befreit werden. Das tritt aber dann ein, wenn nicht der Forderungen der Tugend eingedenke Besonnenheit, sondern irgend ein Affect die Lebensreise leitet. Denn das Gebot des Herrn ist sehr deutlich, wie die Schrift sagt, so sehr, daß es selbst den Augen der Kinder einleuchtet, wenn es sagt daß allein an dem Herrn zu hangen gut sei. Gott aber ist nicht Schmerz, noch Vergnügen, noch Feigheit, noch Kühnheit, oder Furcht, oder Zorn, oder eine sonstige Leidenschaft dieser Art welche über die ungebildete Seele eine Herrschaft übt, sondern, wie der Apostel sagt, Weisheit selbst und Heiligung, Wahrheit und Freude und Frieden, und was dem ähnlich ist. Wie vermag also der von dem Entgegengesetzten Beherrschte sich eng an den Herrn anzuschließen? oder ist es nicht thöricht wenn man sich anstrengt nicht von einer Leidenschaft unterjocht zu werden, und das für Tugend zu halten was ihr Gegentheil ist? wie zum Beispiel das Vergnügen zu fliehen, aber sich von Schmerz erfüllen zu lassen, vorwitzige Kühnheit und Uebermuth zu vermeiden, aber seine Seele durch Feigheit zu erniedrigen, oder unbezwinglich in seinem Muthe bleiben zu wollen und vor Furcht zusammenzukriechen? Was ist's für ein Unterschied so oder so von der Tugend abzuweichen, oder vielmehr von Gott selbst sich zu entfernen, welcher die vollkommene Tugend ist? Auch bei den körperlichen Krankheiten möchte wohl Niemand behaupten daß es Etwas ausmache ob das Uebel durch übermäßige Entbehrung oder in Folge maßloser Uebersättigung schlimmer geworden ist, weil ja die eine wie die andere Ueberschreitung des Maßes zu demselben Ende führt. Sonach wird also auch der welchem das Leben und die Gesundheit der Seele am Herzen liegt sich auf der Mitte der Leidenschaftslosigkeit erhalten, und unberührt und fern von den Gegensätzen der Tugend nach beiden Seiten hin bleiben. Das ist nicht mein Wort, sondern ein Ausspruch Gottes selbst. Denn offenbar ist dieser Satz aus der Lehre des Herrn, aus der Stelle wo er seine Jünger, die wie Lämmer unter Wölfen verkehrten, lehrt daß sie nicht bloß Tauben sein, sondern auch Etwas von der Schlange in ihrem Character haben sollten, das ist aber, daß man

ἐν τῷ ἤθει, τοῦτο δέ ἐςι μήτε [6]τὸ κατὰ τὴν ἁπλότητα δοκοῦν ἐπαινετὸν τοῖς ἀνθρώποις εἰς ἄκρον ἐπιτηδεύειν, ὡς τῇ ἐσχάτῃ ἀνοίᾳ τῆς τοιαύτης ἕξεως πλησιαζούσης, μήτε τὴν ἐπαινουμένην ὑπὸ τῶν πολλῶν δεινότητα καὶ
B πανουργίαν ἀμιγῆ τῶν ἐναντίων καὶ ἄκρατον ἀρετὴν νομίζειν, ἐκ δὲ τῆς δοκούσης ἐναντιότητος μίαν τινὰ συγκεκραμμένην ἤθους κατάςασιν ἀπεργάζεσθαι, τῆς μὲν τὸ ἀνόητον, τῆς δὲ τὸ ἐν πονηρίᾳ σοφὸν περικόψαντας, ὡς ἐξ ἑκατέρων ἓν ἀποτελεσθῆναι καλὸν ἐπιτήδευμα, ἁπλότητι γνώμης καὶ ἀγχινοίᾳ συγκεκραμμένον. Γίνεσθε γάρ, φησί, φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιςεραί.

C Κεφ. ιζ΄. Οὐκοῦν ὅπερ ἐνταῦθα εἴρηται παρὰ τοῦ κυρίου κοινὸν ἔςω δόγμα τοῦ βίου παντὸς, καὶ μάλιςα ἐπὶ τῶν διὰ παρθενίας τῷ θεῷ προςιόντων, τὸ μὴ πρὸς ἕν τι κατόρθωμα βλέποντας τῶν ἐναντίων ἀφυλάκτως ἔχειν, ἀλλὰ πανταχόθεν ἑαυτοῖς τὸ ἀγαθὸν ἐξευρίσκειν,
D ὡς ἂν διὰ πάντων τὸ ἀσφαλὲς ὑπάρχῃ τῷ βίῳ. Οὐδὲ γὰρ ςρατιώτης μέρη τινὰ τοῖς ὅπλοις φραξάμενος γυμνῷ κινδυνεύει τῷ λοιπῷ σώματι. Τί γὰρ κέρδος αὐτῷ τῆς ἐπὶ μέρους ὁπλίσεως, εἰ κατὰ τῶν γυμνῶν τὴν καιρίαν δέξαιτο; Τίς δ᾽ ἂν εὔμορφον ὀνομάσειεν [1]ἐκεῖνον ᾧ τῶν εἰς εὐμορφίαν τι συντελούντων ἔκ τινος συμφορᾶς περικέκοπται; ἡ γὰρ περὶ τὸ λεῖπον αἰσχύνη καὶ τὴν τοῦ ὑγι-
Luc. 14, 28 sqq. αίνοντος χάριν διελυμήνατο. Εἰ δὲ καταγέλαςός ἐςι, καθώς φησί που τὸ εὐαγγέλιον, ὁ ἐγχειρήσας μὲν τῇ τοῦ πύργου κατασκευῇ, ἐν θεμελίοις δὲ τὴν σπουδὴν ἑαυτοῦ ςήσας, καὶ τοῦ τέλους οὐκ ἐφικόμενος, τί ἄλλο ἐκ τῆς
p. 161. παραβολῆς ταύτης μανθάνομεν ἢ τὸ πάσης ὑψηλῆς προ-
A θέσεως ἐπὶ τὸ πέρας φθάνειν ἐσπουδακέναι ταῖς ποικίλαις τῶν ἐντολῶν οἰκοδομαῖς τὸ ἔργον τοῦ θεοῦ τελειοῦντας; Οὔτε [2]γὰρ λίθος εἷς ἡ πᾶσα οἰκοδομὴ τοῦ πύρ-

6) M. τὸ μήτε τὴν ἁπλότητα δοκοῦν ἐπαινετήν. Die Emendation der Stelle ist von Livineius.

1) M. ἐκεῖνο ὅ. — 2) γὰρ fehlt in den Ausg.

nicht zum Aeußersten danach streben und das thun solle was wegen seiner Einfalt den Menschen löblich scheint, weil ein solches Wesen dem äußersten Unverstand nahekommt, noch andererseits die bei der Menge lobende Anerkennung findende Klugheit und Schlauheit für eine von dem Gegentheile ganz freie und damit unvereinbare Tugend halten, sondern aus den scheinbaren Gegensätzen eine gemischte Verfassung seines Wesens herstellen, indem man dort die Thorheit, hier die Arglist abschneidet, so daß aus beiden eine einzige sittlich gute Handlungsweise zu Stande kommt, zusammengemischt aus Einfalt und Scharfsinn; denn er sagt, Werdet klug wie die Schlangen, und ohne Falsch wie die Tauben!

Kap. 17. Was also hier von dem Herrn gesagt ist soll eine gemeinsame Lehre für das gesammte Leben sein, und namentlich für das Leben derer welche auf dem Wege des ehelosen Standes sich Gott nahen, daß man nämlich im Hinblick auf Ausführung einer sittlich guten Handlung sich nicht ohne vorsichtige Wahrnehmung der Gegensätze verhalten, sondern das Gute von allen Seiten für sich auffinden soll, damit das Leben in allen Stücken gesichert sei. Auch der Soldat wappnet nicht bloß einige Theile mit seiner Rüstung und setzt sich durch Entblößung des übrigen Körpers der Gefahr aus. Denn was brächte ihm die theilweise Rüstung für Gewinn, wenn er an den unbeschützten Theilen den tödlichen Streich empfängt? Wer wollte denjenigen schön nennen welcher um eins der Stücke welche durch ihre Vereinigung die Schönheit hervorbringen verstümmelt ist? denn Häßlichkeit des verstümmelten Gliedes verunziert auch die Anmuth des gesunden Theils. Ist aber, wie irgend wo das Evangelium sagt, der zu verlachen welcher einen Thurm zu bauen anfängt, und schon bei den Fundamenten seinem Eifer ein Ziel setzend nicht zu Ausführung seines Werkes gelangt, was lernen wir denn Anderes aus diesem Gleichniß als daß diejenigen welche das Werk Gottes durch den mannichfachen Aufbau seiner Gebote vollenden sich Mühe gegeben haben jeden erhabenen Vorsatz zur Ausführung zu bringen? Denn weder macht ein Stein den ganzen Bau des

γου ἐςὶν, οὔτε ἐντολὴ μία πρὸς τὸ ἐπιζητούμενον μέτρον ἄγει τὴν τῆς ψυχῆς τελειότητα· ἀλλὰ καὶ τὸν θεμέλιον ὑποβεβλῆσθαι δεῖ πάντως, [3]καὶ καθώς φησιν ὁ ἀπόςο-
1 Cor. 3, 12. λος, τὴν ἐκ χρυσοῦ καὶ λίθων τιμίων οἰκοδομὴν ἐπιθέσθαι. Οὕτω γὰρ τὰ ἔργα τῶν ἐντολῶν ὀνομάζεται, κατὰ
Psalm. 119, 127. τὸν εἰπόντα προφήτην ὅτι, Ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. Ὑποκείσθω τοί-
B νυν ἀντὶ θεμελίου τινὸς τῷ κατ' ἀρετὴν βίῳ ἡ περὶ τὴν παρθενίαν σπουδὴ, ἐποικοδομείσθω δὲ τῷ θεμελίῳ τούτῳ πάντα τὰ ἔργα τῆς ἀρετῆς. Εἰ γὰρ καὶ σφόδρα τοῦτο τίμιον καὶ θεοπρεπὲς εἶναι πιςεύεται, ὥςπερ οὖν καὶ ἔςι καὶ πεπίςευται, ἀλλ' εἰ μὴ καὶ ὅλος ὁ βίος τούτῳ συμβαίνοι τῷ κατορθώματι, ἐπιμολύνοιτο τῇ [4]λοιπῇ τῆς ψυχῆς ἀταξίᾳ, τοῦτό ἐςι τὸ ἐνώτιον ἐκεῖνο τὸ ἐν τῇ ῥινὶ τῆς συὸς,
Proverb. 11, 22. ἢ ὁ μαργαρίτης ὁ ἐν τοῖς ποσὶ τῶν χοίρων καταπατού-
Matth. 7, 6. μενος. Ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα.

C Κεφ. ιη'. Εἰ δέ τις παρ' οὐδὲν ποιεῖται τὸ μὴ συνηρμόσθαι τινὶ διὰ τῶν καταλλήλων τὸν βίον, τὰ ἐν τῷ οἴκῳ ἑαυτοῦ θεασάμενος παιδευθήτω περὶ τοῦ δόγματος. Δοκεῖ γάρ μοι, καθάπερ ἐπὶ τῆς ἰδίας οἰκήσεως ὁ τοῦ
D οἴκου δεσπότης οὐ [1]καταδέξεται ἀπρεπῆ καὶ ἀσχήμονα τὰ ἐν τῇ οἰκίᾳ βλέπειν, ἢ κλίνην ἀνατετραμμένην, ἢ πλήρη κόπρου τὴν τράπεζαν, ἢ τὰ μὲν τίμια τῶν σκευῶν ἐν ῥυπαροῖς τισι τόποις ἀπεῤῥιμμένα, ὅσα δὲ πρὸς τὰς ἀτιμωτέρους ὑπηρεσίας ἐςὶν ἐν ὀφθαλμοῖς προκείμενα τῶν εἰσιόντων, ἀλλὰ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν τὴν πρέπουσαν διαθεὶς, καὶ [2]ἑκάςῳ τὴν ἁρμόζουσαν ἀποδοὺς χώραν, θαῤῥῶν ἀποδέχεται τοὺς ἐπιξενουμένους, ὡς οὐδεμίαν αἰσχύνην ὀφλήσων εἰ φανερὰ γένοιτο ὅπως αὐτῷ τὰ κατὰ τὴν οἰκίαν ἔχοι, οὕτως οἶμαι χρῆναι καὶ τὸν τοῦ
p. 162. σκηνώματος ἡμῶν οἰκοδεσπότην καὶ οἰκονόμον, τὸν νοῦν
A λέγω, πᾶν τὸ ἐν ἡμῖν εὖ διατίθεσθαι, ἑκάςῃ τε τῶν τῆς ψυχῆς δυνάμεων, ἃς ἀντὶ ὀργάνων καὶ σκευῶν ὁ δημι-

---

3) καὶ fehlt in den Ausg. — 4) M. λοιπὸν.
1) M. ἀποδέξεται. — 2) M. ἑκάςην ἁρμόζουσαν.

Thurmes aus, noch führt ein Gebot die Seele auf das gesuchte Maß der Vollkommenheit; vielmehr muß man sowohl das Fundament legen, als auch, wie der Apostel sagt, dann den Aufbau aus Gold und kostbaren Steinen darauf setzen. Denn so werden die Werke der Gebote genannt, nach den Worten des Propheten, Ich habe deine Gebote höher geachtet denn Gold und viel Edelgestein. Es sei sonach Ernst und Eifer im Stande jungfräulicher Ehelosigkeit gleichsam das Fundament für das Leben in Tugend, und auf dieses Fundament sollen dann alle Werke der Tugend gebaut werden. Denn hält man dieses Fundament auch für köstlich und göttlich, wie es diesem Glauben entsprechend in der That auch der Fall ist, so ist gleichwohl, wenn nicht auch das ganze Leben mit diesem sittlich' hohen Unternehmen in Einklang steht, und es im Uebrigen durch die Zuchtlosigkeit der Seele herabgewürdigt wird, das jener Ohrschmuck in dem Rüssel des Schweins, oder die von den Füßen der Säue niedergetretene Perle. Doch so Viel hievon.

Kap. 18. Wenn man es aber für Nichts achtet in seinem Leben an Jemand zu gegenseitiger Abhängigkeit geknüpft zu sein, der werfe einen Blick auf die Zustände seines Hauses und lasse sich daraus belehren. Denn gleichwie der Hausherr in seinem Hause nichts Unziemliches und Unanständiges wird sehen wollen, kein umgeworfenes Bett, keinen kothbespritzten Tisch, oder wenn kostbare Geräthe an schmutzige Orte geworfen sind, und dafür Gegenstände welche zu minder geachteten Dienstleistungen bestimmt sind vor den Augen der Eintretenden offen dastehen, er vielmehr erst dann wenn er Alles zierlich und schicklich geordnet und einem Jeden die richtige Stelle eingeräumt hat getrost seine Gäste empfängt, damit er sich nicht zu schämen braucht wenn es an den Tag kommt wie es in seinem Hause steht, so, glaube ich, muß auch der Hausherr und Verwalter in dieser unserer Körperhülle, der Geist nämlich, in uns Alles wohl anordnen und von einem jeden Seelenvermögen, welche der Schöpfer an Stelle von Werkzeugen und Geräthen in uns eingerichtet hat, den passenden Ge-

οὖργος ἡμῖν ἐνετεκτήνατο, οἰκείως καὶ πρὸς τὸ καλὸν κεχρῆσθαι. Εἰ δὲ μὴ φλυαρίαν τινὰ καὶ ἀδολεσχίαν τοῦ λόγου τις καταγινώσκοι, εἰρήσεται καὶ καθ' ἕκαςον, ὅπως ἂν τοῖς παροῦσιν αὐτῷ χρώμενος πρὸς τὸ συμφέρον αὐτῷ τὸν βίον οἰκονομήσειε. Φαμὲν τοίνυν τὴν μὲν ἐπιθυμίαν δεῖν ἐν καθαρῷ τῆς ψυχῆς ἱδρυσάμενον ἔχειν ὥςπερ τι
B ἀνάθημα ἢ ἀπαρχὴν τῶν ἰδίων ἀγαθῶν ἐξελόντα θεῷ, ἀφιερώσαντά τε αὐτὴν ἅπαξ ἀνέπαφόν τε καὶ καθαρὰν διαφυλάττειν, μηδαμοῦ τῇ κατὰ τὸν βίον ῥυπαρίᾳ μολυνομένην· τὸν δὲ θυμὸν, καὶ τὴν ὀργὴν, καὶ τὸ μῖσος, καθάπερ κύνας τινὰς πυλωροὺς, πρὸς μόνην ἐγρηγορέναι τὴν τῆς ἁμαρτίας ἀντίςασιν, καὶ κατὰ τοῦ κλέπτου καὶ πολεμίου κεχρῆσθαι τῇ φύσει, ὃς ἐπὶ λύμῃ τοῦ θείου θησαυροῦ παρειςδύεται, καὶ διὰ τοῦτο ἔρχεται, ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· τὴν δὲ ἀνδρείαν καὶ τὸ θάρσος ἀντὶ
C ὅπλου τινὸς διὰ χειρὸς φέρειν, πρὸς τὸ μὴ πτοηθῆναί ποτε πτόησιν ἐπελθοῦσαν, καὶ ὁρμὰς ἀσεβῶν ἐπερχομένας· ἐλπίδι δὲ καὶ ὑπομονῇ ἀντὶ βακτηρίας, εἴποτε τοῖς πειρασμοῖς κάμοι ὑποςηρίζεσθαι· τὸ δὲ τῆς λύπης κτῆμα καιρῷ μετανοίας ἐπὶ ἁμαρτήμασιν, εἰ τύχοι ποτὲ συμβὰν, προχειρίζεσθαι, ὡς οὐδέποτε χρήσιμον ὂν ἢ πρὸς τὴν τοιαύτην μόνην ὑπηρεσίαν· ἡ δὲ δικαιοσύνη αὐτῷ κανὼν εὐθύτητος ἔςαι, τὸ ἐν παντὶ ἄπταιςον λόγῳ τε καὶ ἔργῳ
D ὑφηγουμένη, ὅπως τε χρὴ τὰ ἐν τῇ ψυχῇ διακεῖσθαι, καὶ πῶς ἄν τις τὰ κατ' ἀξίαν ἑκάςῳ νέμοι· τὴν δὲ τοῦ πλείονος ἔφεσιν, ὃ πολύ τε καὶ ἀμέτρητον ἔγκειται τῇ ἑκάςου ψυχῇ, τῇ κατὰ θεὸν ἐπιθυμίᾳ προςθεὶς μακάριος ἔςαι τῆς πλεονεξίας, ἐκεῖ βιαζόμενος ὅπου ἐπαινετὸν τὸ βιάζεσθαι. Σοφίαν δὲ καὶ φρόνησιν συμβούλους ἕξει τῶν συμφερόντων, καὶ συνδιοικούσας αὐτῷ τὴν ζωὴν, ὡς μηδα-

brauch, und einen Gebrauch zum Zweck des Guten machen. Wenn man aber in meiner Rede kein leeres und müßiges Geschwätz erkennen will, so wollen wir auch bis auf das Einzelne genau eingehen, um zu lernen wie man in richtiger Verwendung seiner natürlichen Anlagen sein Leben nützlich einrichten kann. Wir erklären also daß er die Begierde auf dem reinen Altar seiner Seele aufgestellt haben soll, gleich als ein Weihgeschenk oder ein Erstlingsopfer welches er von seinen Gütern für Gott ausgewählt hat, und daß, wenn er sie einmal ihm gewidmet hat, er sie dann auch lauter und unversehrt bewahrt, und nirgends von dem Schmuz des Lebens besudeln läßt; daß ferner die Heftigkeit, der Zorn und der Haß, gleichwie Hunde die das Thor bewachen, bloß wach sein sollen um der Sünde Widerstand zu leisten, und von ihrer Natur Gebrauch machen gegen den Dieb und Feind welcher zum Schaden des göttlichen Schatzes sich heimlich einschleicht, und zu dem Zwecke kommt daß er stehle, morde und verderbe; daß man männliche Entschlossenheit und Kühnheit als eine Waffe in der Hand trage um sich niemals von einer auf uns eindringenden heftigen Leidenschaft überwältigen zu lassen, so wenig als vom Andringen der Gottlosen; auf Hoffnung ferner und Standhaftigkeit soll man sich wie auf einen Stab stützen, wofern man ja einmal unter den Versuchungen schwach wird; das Besitzthum des Schmerzes aber, wenn es vielleicht einmal uns zu Theil werden sollte, nehme man zur Hand zur Zeit der Reue über die Sünden, als ein Ding das niemals zu etwas Anderem als allein zu diesem Dienste nützlich ist; die Gerechtigkeit wird uns als geradestes Richtscheid dienen und uns das Rechte in Wort und Werk lehren, wie der Zustand der Seele beschaffen sein muß und wie man einem Jeden das ihm nach Verdienst Gebührende zuertheilen soll; das Begehren nach Mehr, welches so stark und maßlos in eines Jeden Seele wurzelt, wird man hinzufügen zu der Begierde nach Gott und wird ob seiner Habsucht selig zu preisen sein, und da Gewalt anthun wo Gewalt anzuthun löblich ist; Weisheit endlich und Klugheit wird man sich zu Beratherinnen nehmen über das was frommt und zu gemeinsamen Ordnerinnen seines Lebens, auf daß man aus Unwissenheit und Unverstand nirgends

μοῦ ὑπὸ ἀμαθείας ἢ ἀφροσύνης παραβλαβῆναι. Εἰ δὲ μὴ
p. 163. κατὰ [3] φύσιν καὶ κατὰ τὸ οἰκεῖον χρῷτο ταῖς εἰρημέναις
A δυνάμεσιν, ἀλλ' ὑπαλλάσσοι παρὰ τὸ δέον [4] τὴν χρῆσιν, τὴν μὲν ἐπιθυμίαν προςτιθεὶς τοῖς αἰσχίςοις, τὸ δὲ μῖσος ἐπὶ τοὺς ὁμοφύλους προχειριζόμενος, ἀγαπῶν δὲ τὴν ἀδικίαν, καὶ ἐπὶ τοὺς γονέας ἀνδριζόμενος, καὶ θαρσῶν τὰ ἄτοπα, καὶ ἐλπίζων τὰ μάταια, φρόνησιν δὲ καὶ σοφίαν ἀπελαύνων τῆς μετ' αὐτοῦ συνοικήσεως, λαιμαργίαν καὶ ἀφροσύνην προςεταιρίζοιτο, καίπερ τῶν λοιπῶν ὡςαύτως ποιῶν, ἄτοπος ἂν εἴη τις καὶ ἀλλόκοτος, ὡς μηδ' ἂν εἰπεῖν ἀξίως τινὰ δυνηθῆναι τὴν ἀτοπίαν. Καθάπερ γὰρ ἂν εἴ τις ἐναλλὰξ ὁπλιζόμενος ἀναςρέφοι μὲν τὸ κράνος, ὥςτε καλύπτειν τὸ πρόςωπον καὶ ὀπίσω νενευκέναι τὸν λόφον,
B τοὺς δὲ πόδας ἔχοι ἐν θώρακι, καὶ τὰς κνημῖδας ἐφαρμόζοι τῷ ςήθει, καὶ ὅσα τὰ τῆς ἀριςερᾶς ἐςι τῇ δεξιᾷ μεταλαμβάνοι, τὴν δὲ τῶν δεξιῶν ὅπλησιν τῇ εὐωνύμῳ προςρίπτοι, — ὅπερ οὖν παθεῖν εἰκὸς ἐν πολέμῳ τὸν τοιοῦτον ὁπλίτην, τοῦτο καὶ παρὰ τὸν βίον πάσχειν εἰκὸς τὸν συγκεχυμένον τὴν γνώμην, καὶ τὴν χρῆσιν τῶν δυνάμεων τῆς ψυχῆς ὑπαμείβοντα. Οὐκοῦν προνοητέον ἡμῖν τῆς ἐν τούτοις εὐαρμοςίας, ἣν ἡ ἀληθὴς σωφροσύνη πέφυκεν ἐμποιεῖν ταῖς ἡμετέραις ψυχαῖς· καὶ εἰ χρὴ τὸν
C τελειότατον τῆς σωφροσύνης ὅρον ἐπισκοπῆσαι, τάχα τοῦτο σωφροσύνη κυρίως ἂν λέγοιτο, ἡ πάντων τῶν ψυχικῶν κινημάτων μετὰ σοφίας καὶ φρονήσεως εὔτακτος οἰκονομία. Καὶ ἡ τοιαύτη κατάςασις τῆς ψυχῆς οὐκέτι πόνου τινὸς, οὐδὲ πραγματείας πρὸς τὴν τῶν ὑψηλῶν τε καὶ οὐρανίων μετουσίαν δεήσεται, ἀλλ' ἐν πολλῇ ῥαςώνῃ τὸ τέως δυςέφικτον εἶναι δοκοῦν κατορθώσει, φυσικῶς τῇ ὑπεξαιρέσει τοῦ ἐναντίου τὸ ζητούμενον ἔχουσα. Τόν τε γὰρ ἔξω τοῦ σκότους γενόμενον ἐν φωτὶ πάντως εἶναι ἀνάγκη, καὶ τὸν
Psalm. 24, 4 μὴ τεθνηκότα ζῆν, καὶ τοίνυν εἴ τις μὴ ἐπὶ ματαίῳ λάβοι
D τὴν ἑαυτοῦ ψυχὴν, ἐν τῇ ὁδῷ τῆς ἀληθείας πάντως ἕςαι

3) Die Worte φύσιν καὶ κατὰ fehlen in den Ausg. — 4) τὴν χρῆσιν fehlt in den Ausg.

zu Schaden komme. Wenn man jedoch von den genannten Vermögen nicht den naturgemäßen und richtigen Gebrauch macht, sondern entgegen der Pflicht ihre Anwendung verkehrt, und die Begierde auf die schändlichsten Dinge anwendet, den Haß gegen seinen Nächsten hervorholt, die Ungerechtigkeit liebt, sich gegen seine Eltern hart zeigt, seine Kühnheit auf Thörichtes richtet, auf Eiteles sein Hoffen, Klugheit und Weisheit aus seiner Nähe und der Gemeinschaft mit sich vertreibt, Völlerei und Unvernunft zu seinen Gefährten macht, und so ähnlich mit den übrigen verfährt, so ist das wohl ein Narr und verdrehter Mensch, dessen Thorheit man nicht nach Verdienst bezeichnen kann. Denn gleichwie wenn Jemand sich verkehrt wappnen und den Helm umkehren wollte, so daß er das Gesicht bedeckt und der Helmbusch nach hinten hinabnickt, in den Brustpanzer die Füße stecken und die Beinschienen der Brust anheften, und das was zur Linken ist auf die Rechte und die Rüstung der rechten Seite auf die linke Seite bringen wollte, — was also einem so Gerüsteten im Kriege wahrscheinlich begegnen würde, das dürfte wahrscheinlicher Weise auch dem im Leben zustoßen welcher verworrenen Sinnes den Gebrauch der Seelenvermögen vertauscht und verkehrt. Wir müssen also für uns auf eine Harmonie in diesen Dingen denken, welche die wahre leidenschaftslose Besonnenheit in unseren Seelen herzustellen vermag, und wenn wir unsere Betrachtung auf den vollendetsten Begriff solcher leidenschaftslosen Besonnenheit richten, so würde vielleicht ganz eigentlich mit dem Namen derselben die mit Weisheit und Klugheit verbundene wohlgeordnete Beherrschung aller seelischer Bewegungen zu benennen sein. Eine solche Verfassung der Seele hat, um zu dem Genuß der erhabenen und himmlischen Güter zu gelangen, keine Arbeit noch Mühe nöthig, sondern wird mit aller Leichtigkeit das was bisher als schwer erreichbar galt vollbringen, weil sie durch Aufhebung des feindlichen Gegentheils das was man erstrebt schon naturgemäß besitzt. Denn ganz nothwendiger Weise muß sich ja der welcher aus der Finsterniß herausgetreten ist im Lichte befinden, muß der leben welcher nicht gestorben ist, und sonach auch jedenfalls der auf dem Wege der Wahrheit sein welcher seine Seele nicht zu eitlen Dingen braucht

(ἡ γὰρ τοῦ μὴ παρατραπῆναι πρόνοιά τε καὶ ἐπιςήμη ὁδηγία τίς ἐςιν ἀκριβὴς τῆς ἐπὶ τὴν εὐθεῖαν πορείας)· καὶ ὥςπερ οἱ ἐλευθερωθέντες οἰκέται πανσάμενοι τοῦ τοῖς κρατοῦσιν ὑπηρετεῖν, ἐπειδὰν ἑαυτῶν γένωνται κύριοι, τρέπουσι πρὸς ἑαυτοὺς τὴν σπουδὴν, οὕτως οἶμαι καὶ τὴν ψυχὴν ἐλευθερωθεῖσαν ἀπὸ τῆς σωματικῆς λατρείας ἐν ἐπιγνώσει γενέσθαι τῆς οἰκείας ἑαυτῇ καὶ κατὰ φύσιν
Gal. 5, 1. ἐνεργείας. Ἡ δὲ ἐλευθερία ἐςὶν, καθὼς καὶ παρὰ τοῦ
p. 164. ἀποςόλου ἐμάθομεν, τὸ μὴ ζυγῷ δουλείας ἐνέχεσθαι, μηδὲ
A καθάπερ δραπέτην ἢ κακοῦργον γενόμενον πεδηθῆναι τῷ τοῦ γάμου δεσμῷ. Ἀλλά μοι πάλιν ὁ λόγος ἐπὶ τὴν αὐτὴν ἀρχὴν ἀνατρέχει, ὅτι οὐκ ἐν τούτῳ μόνῳ τὸ τέλειον τῆς ἐλευθερίας ἐςὶν, ἐν τῷ ἀποςῆναι τοῦ γάμου (μή τις οὕτω μικρόν τε καὶ εὔωνον τὸ τῆς παρθενίας οἰέσθω ὥςτε ἐν ὀλίγῳ παρατηρήματι σαρκὸς κατορθοῦν νομίζειν τὸ
Joann. 8, 34. τοσοῦτον πρᾶγμα), ἀλλ' ἐπειδὴ πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλος τῆς ἁμαρτίας ἐςὶν, ἡ ἐν παντὶ πράγματι καὶ ἐπιτηδεύματι πρὸς κακίαν παρατροπὴ δηλοῦταί [5] πως τὸν
B ἄνθρωπον καὶ ςιγματίαν ποιεῖ, μώλωπας αὐτοῦ καὶ ἐγκαύματα διὰ τῶν τῆς ἁμαρτίας πληγῶν ἐμποιοῦσα. Ὡςτε τὸν τοῦ μεγάλου σκοποῦ τοῦ κατὰ τὴν παρθενίαν ἀψάμενον ἐν πᾶσι προςήκειν ἑαυτῷ εἶναι ὅμοιον, καὶ πάσῃ τῇ ζωῇ συνεμφαίνειν τὴν καθαρότητα. Εἰ δὲ χρὴ καὶ διά τινος τῶν θεοπνεύςων συνηγορῆσαι τῷ λόγῳ, ἀρκεῖ πρὸς τὴν τῆς ἀληθείας βεβαίωσιν αὐτὴ ἡ ἀλήθεια, διὰ παρα-
Matth. 7, 10. βολῆς καὶ αἰνίγματος ἐν τῷ εὐαγγελίῳ τὸ τοιοῦτον ἡμῖν δογματίσασα· τοὺς γὰρ χρηςοὺς καὶ ἐδωδίμους τῶν ἰχθύων
C ἀπὸ τῶν πονηρῶν τε καὶ δηλητηρίων ἡ ἁλιευτικὴ τέχνη ἀποχωρίζει, ὡς ἂν μή τινος τῶν ἐναντίων συνειςπεσόντος τοῖς ἀγγείοις καὶ ἡ τῶν χρησίμων ἀπόλαυσις ἀχρειωθείη. Τοῦτο καὶ τῆς ἀληθινῆς σωφροσύνης ἔργον ἐςὶ, τὸ ἐκ πάντων τῶν ἐπιτηδευμάτων τὸ καθαρόν τε καὶ ὠφέλιμον ἐκλεγομένην ἐν παντὶ τὸ ἀπεμφαῖνον ἀποποιεῖσθαι ὡς ἄχρηςον, καὶ ἐναφιέναι τοῦτο τῷ κοινῷ καὶ κοσμικῷ βίῳ,

5) πως fehlt in den Ausg.

(denn die Vorsicht und die Kenntniß wie man nicht abirrt ist ein genauer Wegweiser auf dem geraden Wege), und wie die freigelassenen Sclaven, nachdem sie ihre eigenen Herren geworden sind, aufhören den Mächtigen zu dienen, und ihren Fleiß sich selbst zuwenden, so glaube ich auch daß die von dem Dienst des Leibes befreite Seele zur Erkenntniß ihrer eigenen und natürlichen Thätigkeit gelangt. Die Freiheit aber besteht, wie wir auch von dem Apostel vernommen haben, darin daß man sich nicht unter dem Joch der Knechtschaft befindet, und sich auch nicht gleichsam zum Ausreißer oder Missethäter macht und in die Fesseln der Ehe legen läßt. Doch ich kehre wieder zu dem Anfang zurück, daß nämlich nicht darin allein die vollkommene Wahrheit liegt daß man sich der Ehe enthält (möge doch Niemand so kleinlich und wohlfeil von dem Stande der Ehelosigkeit denken daß er glaubt in einem geringen Beobachten und Wahren des Fleisches ein so großes Ding zu vollbringen!), sondern da ein Jeder welcher die Sünde thut ein Knecht der Sünde ist, so verräth gewissermaßen bei jedem Thun und bei jeder Beschäftigung das Abweichen zum Bösen den Menschen und brandmarkt ihn, indem sie durch die Schläge der Sünde ihm Beulen und Brandmale beibringt. Daher muß der welcher das große Ziel des ehelosen Standes erreichen will, sich in allen Stücken gleich sein und die Lauterkeit in seinem ganzen Leben darlegen. Soll ich aber für mein Wort auch noch durch einen göttlichen Ausspruch eine Unterstützung beibringen, so genügt zur Bestätigung der Wahrheit die Wahrheit selbst, welche durch Parabel und Bild im Evangelium uns also lehrt. Die guten und eßbaren Fische nämlich sondert die Fischerei von den bösen und schädlichen aus, damit nicht etwa wenn einer von der anderen Sorte in das Gefäß hineinfallen sollte auch der Genuß der guten verdorben werde. Das ist nun auch das Werk der Klugheit, aus Allem was man treibt das Lautere und Nützliche auszusuchen und das Unangemessene als unbrauchbar zurückzuschieben und wieder in das gemeine und weltliche Leben, welches von der Parabel bildlich

λαμπρά τε καὶ περιβόητος γίνεται, μηδὲν ἐν ἑαυτῇ τῆς ζωτικῆς ἰκμάδος κατὰ τὸν βίον τοῦτον προςδεχομένη. Εἰ οὖν νεκρὸν μὲν σῶμα τὸ τύμπανον, ὅπερ ἡ [1] Μαριὰμ μετεχειρίζετο, νέκρωσις δὲ σώματος ἡ παρθενία ἐςὶ, τάχα οὐ πολὺ τοῦ εἰκότος τὸ παρθένον εἶναι τὴν προφῆτιν ἀπεσχοίνιςαι. Ἀλλὰ ταῦτα μὲν ςοχασμοῖς τισι καὶ ὑπονοίαις, οὐκ ἐκ φανερᾶς ἀποδείξεως, οὕτως ἔχειν ὑπενοήσαμεν, τὸ τὴν προφῆτιν [2] Μαριὰμ τοῦ χοροῦ τῶν παρθένων ἡγήσασθαι· εἰ καὶ πολλοὶ τῶν ἐπεσκεμμένων ἄγαμον αὐτὴν
p. 166. σαφῶς ἀπεφήναντο, ἐκ τοῦ μηδαμοῦ τῆς ἱςορίας γάμον
A καὶ παιδοποιΐαν αὐτῆς μνημονεῦσαι. Ἢ γὰρ ἂν οὐκ ἐκ τοῦ ἀδελφοῦ αὐτῆς Ἀαρὼν, ἀλλ' ἐκ τοῦ ἀνδρὸς, εἴπερ ἦν, ὠνομάζετό τε καὶ ἐγνωρίζετο, ἐπειδὴ κεφαλὴ γυναικὸς οὐχ ὁ ἀδελφὸς, ἀλλ' ὁ ἀνὴρ προςηγόρευται. Καί τοι παρ' οἷς ἐν εὐλογίας μέρει τὸ παιδοποιεῖν ἐσπουδάζετο καὶ νόμιμον ἦν, εἰ φανείη τίμιον τὸ τῆς παρθενίας χάρισμα, πῶς ἡμᾶς προςήκει καὶ περὶ ταύτην ἔχειν, τοὺς μὴ κατὰ σάρκα τῶν θείων [3] λογίων ἐξακούοντας; ἀπεκα-
B λύφθη γὰρ διὰ τῶν θείων [4] λογίων τί ποτε τὸ κυοφορεῖν τε καὶ τίκτειν ἀγαθόν ἐςι, καὶ ποῖον εἶδος τῆς πολυτεκνίας παρὰ τοῖς ἁγίοις τοῦ θεοῦ ἐσπουδάζετο. Ὅ τε γὰρ
Esai. 26, 18. προφήτης Ἡσαΐας καὶ ὁ θεῖος ἀπόςολος ἐνάργως ταῦτα καὶ σοφῶς διεσήμαναν, ὁ μὲν λέγων, Ἀπὸ τοῦ φόβου σου,
Galat. 4, 19. κύριε, ἐν γαςρὶ ἐλάβομεν, ὁ δὲ καυχώμενος ἐπὶ τῷ πάν-
1 Cor. 4, 15. των γενέσθαι πολυγονώτατος, ὡς πόλεις ὅλας καὶ ἔθνη κυοφορῆσαι, οὐ μόνον Κορινθίους καὶ Γαλάτας διὰ τῶν οἰκείων ὠδίνων εἰς φῶς ἀγαγὼν, καὶ ἐν κυρίῳ μορφώσας,
C ἀλλὰ καὶ ἀπὸ Ἱερουσαλὴμ κύκλῳ, καὶ μέχρι τοῦ Ἰλλυρικοῦ καταπληρώσας τῶν ἰδίων τέκνων τὴν οἰκουμένην, ἅπερ ἐν Χριςῷ διὰ τοῦ εὐαγγελίου ἐγέννησε. [5] Οὕτω μακαρίζεται καὶ ἐν τῷ εὐαγγελίῳ ἡ τῆς ἁγίας παρθένου κοιλία, ἡ τῷ ἀχράντῳ τόκῳ ὑπηρετήσασα, ὡς οὔτε τοῦ τόκου τὴν παρθενίαν λύσαντος, οὔτε τῆς παρθενίας τῇ τοιαύτῃ κυο-

1) M. Μαρία. — 2) M. Μαρίαν. — 3) M. εὐλογιῶν. — 4) M. λογίων, πότε. — 5) τούτῳ.

Meer genannt wird, zurückzuwerfen; auch der Psalmensänger nennt, wo er uns in einem Psalm die Lehre vom Bekenntniß mittheilt, dieses unruhige, leidenschaftlich bewegte und aufgeregte Leben „Wasser welches bis an die Seele geht“ und „Meerestiefen“ und „Fluth.“ In diesem versinkt jeder untreue Gedanke nach Art der Aegypter wie ein Stein in die Tiefe, was aber Gott lieb ist und die Wahrheit erkennt — Israel wird es von der Geschichte genannt, — das allein schreitet durch dasselbe trocken hindurch, und berührt nirgends die bitteren und salzigen Wellen des Lebens. So setzte auch bildlich unter Leitung des Gesetzes (Moses war das Bild des Gesetzes) Israel unbenetzt durch das Meer, und der Aegypter welcher ebenfalls hindurchsetzen wollte versank in die Tiefe, dergestalt daß beide also unter dem Einfluß der sie begleitenden Eigenschaften, der eine leicht hindurchschritt, der andere in den Abgrund gezogen wurde. Denn die Tugend ist ein leichtes und nach der Höhe strebendes Ding, und Alle welche in ihr leben fliegen, wie Jesaias sagt, wie Wolken, und wie Tauben mit ihren Jungen, während die Sünde, wie einer der Propheten sagt, schwer ist und auf einem Zentner Blei sitzt. Wenn aber Jemandem diese Auffassung der Erzählung gezwungen und zusammenhangslos erscheint, und er nicht glaubt daß das Wunder des Durchgangs durch das Meer zu unserem Nutz und Frommen niedergeschrieben ist, der höre auf das Wort des Apostels, daß dieses Jenen im Gleichniß geschah, für uns aber zur Ermahnung niedergeschrieben wurde.

Kap. 19. Uns giebt aber das zu bedenken die Prophetin Mariam, welche gleich nach dem Durchzug durch das Meer eine trockene und wohltönende Pauke in ihre Hände nahm und den festlichen Reigen der Weiber anführte. Vielleicht mag nämlich die Schrift durch die Pauke den jungfräulichen ehelosen Stand bildlich bezeichnen wollen welcher von Mariam zuerst durchgeführt worden ist, und ich glaube daß auch durch sie die Gottesmutter Maria gleichnißweise im Voraus angedeutet wird. Denn wie die Pauke, wenn sie von aller Feuchtigkeit frei und gänzlich trocken geworden ist, einen starken Ton von sich giebt, so wird auch der ehelose

λαμπρά τε καὶ περιβόητος γίνεται, μηδὲν ἐν ἑαυτῇ τῆς ζωτικῆς ἰκμάδος κατὰ τὸν βίον τοῦτον προςδεχομένη. Εἰ οὖν νεκρὸν μὲν σῶμα τὸ τύμπανον, ὅπερ ἡ [1] Μαριὰμ μετεχειρίζετο, νέκρωσις δὲ σώματος ἡ παρθενία ἐςὶ, τάχα οὐ πολὺ τοῦ εἰκότος τὸ παρθένον εἶναι τὴν προφῆτιν ἀπεσχοινίςαι. Ἀλλὰ ταῦτα μὲν ςοχασμοῖς τισι καὶ ὑπονοίαις, οὐκ ἐκ φανερᾶς ἀποδείξεως, οὕτως ἔχειν ὑπενοήσαμεν, τὸ τὴν προφῆτιν [2] Μαριὰμ τοῦ χοροῦ τῶν παρθένων ἡγήσασθαι· εἰ καὶ πολλοὶ τῶν ἐπεσκεμμένων ἄγαμον αὐτὴν
p. 166. σαφῶς ἀπεφήναντο, ἐκ τοῦ μηδαμοῦ τῆς ἱςορίας γάμον
A καὶ παιδοποιΐαν αὐτῆς μνημονεῦσαι. Ἢ γὰρ ἂν οὐκ ἐκ τοῦ ἀδελφοῦ αὐτῆς Ἀαρὼν, ἀλλ' ἐκ τοῦ ἀνδρὸς, εἴπερ ἦν, ὠνομάζετό τε καὶ ἐγνωρίζετο, ἐπειδὴ κεφαλὴ γυναικὸς οὐχ ὁ ἀδελφὸς, ἀλλ' ὁ ἀνὴρ προςηγόρευται. Καί τοι παρ' οἷς ἐν εὐλογίας μέρει τὸ παιδοποιεῖν ἐσπουδάζετο καὶ νόμιμον ἦν, εἰ φανείη τίμιον τὸ τῆς παρθενίας χάρισμα, πῶς ἡμᾶς προςήκει καὶ περὶ ταύτην ἔχειν, τοὺς μὴ κατὰ σάρκα τῶν θείων [3] λογίων ἐξακούοντας; ἀπεκα-
B λύφθη γὰρ διὰ τῶν θείων [4] λογίων τί ποτε τὸ κυοφορεῖν τε καὶ τίκτειν ἀγαθόν ἐςι, καὶ ποῖον εἶδος τῆς πολυτεκνίας παρὰ τοῖς ἁγίοις τοῦ θεοῦ ἐσπουδάζετο. Ὅ τε γὰρ
Esai. 26, 18. προφήτης Ἡσαΐας καὶ ὁ θεῖος ἀπόςολος ἐνάργως ταῦτα καὶ σοφῶς διεσήμαναν, ὁ μὲν λέγων, Ἀπὸ τοῦ φόβου σου,
Galat. 4, 19. κύριε, ἐν γαςρὶ ἐλάβομεν, ὁ δὲ καυχώμενος ἐπὶ τῷ πάν-
1 Cor. 4, 15. των γενέσθαι πολυγονώτατος, ὡς πόλεις ὅλας καὶ ἔθνη κυοφορῆσαι, οὐ μόνον Κορινθίους καὶ Γαλάτας διὰ τῶν οἰκείων ὠδίνων εἰς φῶς ἀγαγὼν, καὶ ἐν κυρίῳ μορφώσας,
C ἀλλὰ καὶ ἀπὸ Ἱερουσαλὴμ κύκλῳ, καὶ μέχρι τοῦ Ἰλλυρικοῦ καταπληρώσας τῶν ἰδίων τέκνων τὴν οἰκουμένην, ἅπερ ἐν Χριςῷ διὰ τοῦ εὐαγγελίου ἐγέννησε. [5] Οὕτω μακαρίζεται καὶ ἐν τῷ εὐαγγελίῳ ἡ τῆς ἁγίας παρθένου κοιλία, ἡ τῷ ἀχράντῳ τόκῳ ὑπηρετήσασα, ὡς οὔτε τοῦ τόκου τὴν παρθενίαν λύσαντος, οὔτε τῆς παρθενίας τῇ τοιαύτῃ κυο-

1) M. Μαρία. — 2) M. Μαρίαν. — 3) M. εὐλογιῶν. — 4) M. λογίων, πότε. — 5) τούτῳ.

dern das was wahrhaft dein ist, das ist der innere Mensch, welcher vollkommen und untadelich sein soll, nach der Vorschrift über das Opferlamm, und von jeglichem Flecken und Makel befreit? Wie willst du also Solches Gott darbringen, der du nicht auf das Gebot hörst welches verbietet daß der Schuldbefleckte einem Priesteramte vorstehe? Wenn du aber Verlangen trägst daß auch Gott dir erscheine, warum hörst du nicht auf Moses, welcher dem Volke gebietet sich von der Ehe rein zu halten, damit sie Gottes Erscheinung zu fassen vermögen? Scheint dir aber dieses Alles gering, mit Christus gekreuzigt zu werden, sich Gott als Opfer hinzugeben, Priester des höchsten Gottes zu werden, und der großen Erscheinung Gottes gewürdigt zu werden, was soll ich dir dann noch Höheres als dieses ist erdenken? Wird dir vielleicht auch das als gering erscheinen was aus diesem folgt? Denn daraus daß man mitgekreuzigt wird wird dir zu Theil daß du auch mit ihm lebst, mit ihm verherrlicht wirst und mit ihm das Reich hast. Daraus daß du dich selbst Gott darbringst, wird es dir möglich aus menschlicher Natur und Stellung zur Würde der Engel überzugehen; denn so spricht auch Daniel, Tausend mal Tausend standen bei ihm. Wer das rechte Priesterthum ergreift und dem großen Erzpriester sich beiordnet, der bleibt durchaus auch selbst Priester für immer, und ist nicht mehr durch den Tod gehindert bei ihm zu bleiben in Ewigkeit. Daß man aber Gott selbst zu sehen gewürdigt wird, dessen ist kein anderer Vortheil als daß man eben Gott zu sehen gewürdigt wird; denn aller Hoffnung Gipfel und alles Verlangens Erfüllung, und alles Segens und aller Verheißung Gottes und der geheimen Güter, von denen man glaubt daß sie über Empfindung und Erkenntniß hinausliegen, Ausgangspunkt und Hauptstück ist dasjenige was Moses zu schauen verlangte, und was viele Propheten und Könige ersehnt haben, was zu schauen aber nur diejenigen für würdig erachtet werden welche reinen Herzens sind, welche darum in Wahrheit selig sind und selig heißen, weil sie Gott schauen werden. Darum wollen wir daß auch du mit Christus gekreuziget werdest, daß du vor Gott tretest als ein schuldloser Priester und

θαρὸν θῦμα γενόμενον, ἐν πάσῃ καθαρότητι διὰ τῆς ἁγνείας ἑαυτὸν ἑτοιμάσαντα τῇ τοῦ θεοῦ παρουσίᾳ· ἵνα καὶ αὐτὸς ἴδῃς τὸν θεὸν ἐν καθαρᾷ τῇ καρδίᾳ, κατὰ τὴν ἐπαγγελίαν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, D ᾗ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

n reines Opfer werdest, und in aller Reinheit dich durch keuschen
Sandel auf die Ankunft Gottes vorbereitest, damit auch du Gott
hest in reinem Herzen, nach der Verheißung Gottes und unseres
rlösers Jesu Christi, dem die Herrlichkeit gebührt in alle Ewig-
:t. Amen.

Gregorii Nyss. Opp. ed. Morell. Paris. 1638 Tom. I. p. 762. A

ΤΟΥ
ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ
ΕΙΣ
ΤΟΥΣ ΜΑΚΑΡΙΣΜΟΥΣ
ΛΟΓΟΙ ΟΚΤΩ.

ΛΟΓΟΣ α΄.

B Matth. 5, 1—3. [1] *Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ προςῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἀνοίξας τὸ ςόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς, λέγων, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐςιν ἡ βασιλεία τῶν οὐρανῶν.*

Τίς ἄρα τοιοῦτός ἐςιν ἐν τοῖς συνειλεγμένοις ὡς μαθητής τε εἶναι τοῦ λόγου, καὶ συναναβῆναι αὐτῷ χαμόθεν, C *ἀπὸ τῶν κοίλων τε καὶ ταπεινῶν νοημάτων, εἰς τὸ πνευματικὸν ὄρος τῆς ὑψηλῆς θεωρίας, ὃ πᾶσαν μὲν σκιὰν τὴν ἐκ τῶν ὑπερανεςηκότων τῆς κακίας γεωλόφων ἐκπέφευγεν, ἁπανταχόθεν δὲ τῇ τοῦ ἀληθινοῦ φωτὸς ἀκτῖνι περιλαμπόμενον, ἐν καθαρᾷ τῇ τῆς ἀληθείας αἰθρίᾳ πάντα δίδωσιν ἐκ περιωπῆς καθορᾶν ὅσα τοῖς ἐν τῷ κοίλῳ καθειργμένοις ἐςὶν ἀθέατα; Τὰ δὲ ἀπὸ τοῦ ὕψους τούτου κατοπτευόμενα οἷα καὶ ὅσα ἐςὶν αὐτὸς ὁ θεὸς λόγος* D *μακαρίζων τοὺς συναναβάντας αὐτῷ διεξέρχεται, οἷον* [2]*δα-*

---

1) Die Worte *Ἰδὼν δὲ* — — — *λέγων* fehlen in den meisten Handschriften. — 2) Mor. *δακτύλῳ τινὶ δεικνύς.*

Unseres heiligen Vaters

Gregor Bischof's von Nyssa

Acht Reden

auf die Seligpreisungen.

Erste Rede.

Da er aber das Volk sah, gieng er auf den Berg, und als er sich gesetzt, traten seine Jünger zu ihm; und er that seinen Mund auf, lehrete sie, und sprach, Selig sind die geistlich arm sind, denn das Himmelreich ist ihr.

Wer ist nun in der Versammlung ein Solcher daß er Jünger des Worts ist, und mit ihm von der Erde, von den niedrigen Gedanken der Tiefe, hinaufsteigt auf den geistlichen Berg der erhabenen Betrachtung, welcher allem Schattendüster der überragenden Hügel des Bösen entrückt ist, und allseitig von dem Strahl des wahren Lichtes umglänzt in der reinen Heiterkeit der Wahrheit rings um Alles schauen läßt was dem in der Tiefe Eingeschlossenen unsichtbar ist? Welcher Art aber und wie reich und herrlich das von dieser Höhe Geschaute ist, das legt das göttliche Wort, indem es die mit ihm Hinaufgestiegenen selig preist, selbst dar, und deutet gleichsam mit dem Finger einerseits auf das

κτύλῳ δεικνὺς ἔνθεν μὲν τὴν τῶν οὐρανῶν βασιλείαν, ἑτέρωθεν δὲ τῆς ἄνω γῆς τὴν κληρονομίαν· εἶτα ἔλεον, καὶ δικαιοσύνην, καὶ παράκλησιν, καὶ τὴν πρὸς τὸν Θεὸν τῶν ὅλων γινομένην συγγένειαν, καὶ τὸν ἐκ τῶν διωγμῶν καρπὸν, ὅ ἐςι τὸ σύνοικον Θεοῦ γενέσθαι, καὶ ὅσα ἄλλα πάρεςι πρὸς τούτοις βλέπειν ἄνωθεν ἐκ τοῦ ὄρους δακτυλοδεικνοῦντος τοῦ λόγου, [3]τὸ ἐκ τῆς ὑψηλῆς σκοπιᾶς διὰ τῶν ἐλπίδων ἀποβλεπόμενον. Ἐπειδὴ οὖν ἀναβαίνει εἰς
p. 763. τὸ ὄρος ὁ κύριος, ἀκούσωμεν Ἡσαΐου βοῶντος, Δεῦτε,
A ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου, κἂν ἀσθενῶμεν ἐξ ἁ-
Esai. 2, 3. μαρτίας, ἐνισχύσωμεν, καθὼς ὑφηγεῖται ἡ προφήτεια, χεῖρας παρειμένας καὶ γόνατα παραλελυμένα. Εἰ γὰρ ἐπὶ
Esai. 35, 3. τοῦ ἄκρου γενοίμεθα, εὑρήσομεν τὸν ἰώμενον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, τὸν τὰς ἀσθενείας ἡμῶν ἀναλαμβάνοντα, καὶ τὰς νόσους βαςάζοντα. Οὐκοῦν δράμωμεν καὶ ἡμεῖς πρὸς τὴν ἄνοδον, ἵνα μετὰ [4]Ἰησοῦ κατὰ τὴν ἀκρώρειαν τῆς ἐλπίδος γενόμενοι ἴδωμεν ἐκ περιωπῆς τὰ
B ἀγαθὰ ἐκεῖνα ὅσα τοῖς ἀκολουθήσασιν ἐπὶ τὸ ὕψος ὁ λόγος δείκνυσιν. Ἀλλ' ἀνοιξάτω καὶ ἡμῖν ὁ Θεὸς λόγος τὸ ςόμα, καὶ διδαξάτω ἡμᾶς ἐκεῖνα ὧν ἡ ἀκρόασις μακαριότης ἐςίν. [5]Γενέσθω δὲ ἡμῖν ἀρχὴ τῆς θεωρίας τῶν εἰρημένων ἡ τῆς διδασκαλίας ἀρχή. Μακάριοι, φησὶν, οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐςιν ἡ βασιλεία τῶν οὐρανῶν. Εἴ τις τῶν φιλοχρύσων γράμμασιν ἐντύχοι θησαυρὸν ἐν τόπῳ καταμηνύουσιν, ὁ δὲ περιέχων τὸν θησαυρὸν τόπος πολὺν ἱδρῶτα καὶ πόνον ὑποδεικνύοι τοῖς
C ἐπιθυμοῦσι τοῦ κτήματος, ἆρα μαλακισθήσεται πρὸς τοὺς πόνους, καὶ καταῤῥαθυμήσει τοῦ κέρδους, καὶ τὸ μηδένα κάματον [6]ὑπὲρ τῆς σπουδῆς εἰςενέγκασθαι γλυκύτερον τοῦ πλούτου ποιήσεται; Οὐκ ἔςι ταῦτα, οὐκ ἔςιν, ἀλλὰ πάντας μὲν πρὸς τοῦτο παρακαλέσει τοὺς φίλους, πανταχόθεν δὲ ὡς ἂν οἷός τε ᾖ τὴν πρὸς τοῦτο βοήθειαν ἑαυτῷ συναγείρας τῷ πλήθει τῆς χειρὸς ἴδιον ποιεῖται [7]τὸν κεκρυμμένον πλοῦτον. Οὗτος ἐκεῖνός ἐςιν ὁ θησαυρὸς

3) τὸ fehlt bei M. — 4) M. Ησαΐου. — 5) M. γενέσθω δὲ ἡμῖν

Himmelreich, andernseits auf das Erbtheil der Erde droben, dann auf Barmherzigkeit, und Gerechtigkeit, und Tröstung, auf die mit dem Gott aller Dinge sich knüpfende Verwandtschaft, und die Frucht der Verfolgungen, welche ist mit Gott vereint zu werden, und auf alles Andere was neben diesem zu sehen ist, und worauf, indem es von der Höhe des Berges herab das Wort mit dem Finger bezeichnet, uns von der erhabenen Warte durch die Hoffnungen die Aussicht eröffnet wird. Da also der Herr auf den Berg steigt, so laßt uns auf den Ruf des Esaias hören: Kommet, laßt uns auf den Berg des Herrn gehen! und wenn wir schwach sind von der Sünde, so laßt uns, wie der Prophet sagt, die erschlafften Hände und die gelähmten Kniee stärken! denn wenn wir auf die Spitze gelangt sein werden, werden wir den finden welcher alle Krankheit und alle Kraftlosigkeit heilt, und unsere Schwachheit auf sich nimmt und die Krankheiten trägt. Laufen auch wir also dem Weg entgegen der nach Oben führt, damit wir mit Jesu auf die Spitze der Hoffnung gestellt rings alle jene Güter schauen welche das Wort denen welche auf die Höhe folgen werden zeigt. Oeffne aber auch uns das göttliche Wort den Mund, und lehre uns das was anzuhören Seligkeit ist. Beginnen wir unsere Betrachtung über das Gesagte mit dem womit die Unterweisung beginnt. Selig, heißt es, sind die da geistlich arm sind, denn das Himmelreich ist ihr. Wenn Einer der das Gold liebt auf eine Schrift stößt welche einen Schatz der an einem Orte liegt verräth, dieser den Schatz umschließende Ort aber den nach seinem Besitze Lüsternen viel Schweiß und Arbeit verkündigt, wird er wohl erschlaffen angesichts der Mühen, und den Gewinn leichtsinnig aufgeben, und keine Anstrengung für den Gegenstand seiner Wünsche aufgewendet zu haben für süßer als den Reichthum halten? Nicht also, sondern er wird dazu den Beistand aller seiner Freunde herbeirufen, und wenn er, wie nur immer möglich, von allen Seiten ihn dazu um sich versammelt hat, wird er unterstützt von der Menge hilfreicher Hände den verborgenen Reichthum sich zueig-

ἀρχὴ τῆς θεωρίας, ἡ τῶν εἰρημένων τῆς δ. ἀρχή. — 6) M. ὑπὸ. — 7) M. τὸν πλοῦτον τὸν κεκρυμμένον.

ἀδελφοὶ, ὃν καταμηνύει τὸ γράμμα· κέκρυπται δὲ ὑπὸ τῆς ἀσαφείας ὁ πλοῦτος. Οὐκοῦν χρησώμεθα καὶ ἡμεῖς,
D οἱ ἐπιθυμηταὶ τοῦ ἀκηράτου χρυσίου, τῇ τῶν εὐχῶν πολυχειρίᾳ, ὥστε ἡμῖν εἰς τὸ ἐμφανὲς τὸν πλοῦτον ἐλθεῖν, καὶ πάντας ἐξ ἴσου διελέσθαι τὸν θησαυρὸν, καὶ ὅλον ἕκαστον κτήσασθαι. Τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ διαίρεσις, ὥστε καὶ εἰς πάντας τοὺς ἀντιποιουμένους διαμερίζεσθαι, καὶ πᾶσαν ἑκάστῳ παρεῖναι, μὴ ἐλαττουμένην ἐν τοῖς συμμετέχουσιν. Ἐν μὲν γὰρ τῇ τοῦ γηΐνου πλούτου διανομῇ ἀδικεῖ τοὺς ἰσομοιροῦντας ὁ τὸ πλέον παρασπασάμενος (ἐλαττοῖ γὰρ πάντως τὸ μέρος τοῦ συμμετέχοντος ὁ τὸ ἑαυτοῦ πλεονάσας), ὁ δὲ πνευματικὸς πλοῦτος τὸ τοῦ ἡλίου ποιεῖ, καὶ πᾶσι τοῖς βλέπουσιν ἑαυτὸν μερίζων, καὶ ὅλος
p. 764. A ἑκάστῳ παραγινόμενος. Ἐπεὶ οὖν ἴσον ἑκάστῳ τὸ ἐκ τοῦ πόνου κέρδος ἐλπίζεται, ἴση γενέσθω πᾶσιν διὰ τῶν εὐχῶν πρὸς τὸ ζητούμενον ἡμῖν ἡ συνέργεια.

Πρῶτον μὲν οὖν αὐτόν φημι ἐγώ δεῖν τὸν μακαρισμὸν ὅ τι ποτέ ἐστιν ἐννοῆσαι. Μακαριότης [8] ἐστὶ, κατά γε τὸν ἐμὸν λόγον, περίληψις πάντων τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων, ἧς ἄπεστι τῶν εἰς ἀγαθὴν ἐπιθυμίαν ἡκόντων οὐδέν. Γένοιτο δ' ἂν ἡμῖν καὶ ἐκ τῆς τοῦ ἐναντίου παραθέσεως γνωριμότερον [9] τὸ τοῦ μακαρισμοῦ σημαινόμενον. Ἐναντίον δὲ τῷ μακαρίῳ τὸ ἄθλιον· ἀθλιότης οὖν ἐστιν ἡ ἐν τοῖς λυπηροῖς τε καὶ ἀβουλήτοις πάθεσι ταλαιπω-
B ρία. Μεμέρισται δὲ ἐκ τοῦ ἐναντίου ἡ ἐφ' ἑκατέρου τῶν ἐν αὐτοῖς γινομένων διάθεσις. Ὑπάρχει γὰρ τῷ μὲν μακαριζομένῳ τὸ εὐφραίνεσθαι τοῖς προκειμένοις εἰς ἀπόλαυσιν αὐτῷ καὶ ἀγάλλεσθαι, τῷ δὲ ταλανιζομένῳ τὸ ἀνιᾶσθαι τοῖς παροῦσιν αὐτῷ καὶ ἀλγύνεσθαι. Τὸ μὲν οὖν μακαριστὸν ἀληθῶς αὐτο τὸ θεῖόν ἐστιν. Ὅ τι ποτὲ γὰρ [10] ἂν αὐτὸ εἶναι ὑποθώμεθα, μακαριότης ἐστὶν ἡ ἀκήρατος ἐκείνη ζωὴ, τὸ ἄῤῥητόν τε καὶ ἀκατανόητον ἀγαθὸν, τὶ

---

8) M. τίς ἐστι. — 9) M. τὸ ἐκ τοῦ. — 10) ἂν fehlt bei M.

nen. Hier ist jener Schatz, Brüder, welchen die Schrift verräth; nur ist der Reichthum von dem Dunkel versteckt. Brauchen also auch wir, die wir lüstern sind nach dem lauteren Golde, zahlreicher Hände Beistand im Gebete, auf daß der Reichthum uns zu Tage trete, und wir alle uns nach gleichem Maße in den Schatz theilen, und ein Jeder dennoch sich den ganzen Schatz erwerbe. Denn die Tugend vertheilt eben so sich unter alle nach ihr Ringenden als sie auch einem jeden einzelnen ganz zufällt, ohne durch den Mitbesitz Anderer geschmälert zu werden. Bei Vertheilung des irdischen Reichthums beeinträchtigt die zu einem gleichen Antheil Berechtigten der welcher den größeren Theil an sich reißt (denn wer seinen Antheil erhöht schmälert jedenfalls den Antheil des Mitbesitzenden), der geistliche Reichthum hingegen macht es wie die Sonne und theilt sich eben so an alle welche sehen aus als sie auch jedem einzelnen ganz zu Theil wird. Da nun ein Jeder auf einen gleichen Gewinn für seine Anstrengung hoffen darf, so mögen auch Alle durch ihre Gebete uns ihren gleichen Beistand zu Erlangung dessen wonach wir streben angedeihen lassen!

Zuerst müssen wir, meine ich, erwägen was die Seligpreisung ist. Seligkeit ist, nach meiner Ansicht, Inbegriff alles Guten was wir uns denken, dem Nichts fern ist worauf die edle Begierde sich richtet. Vielleicht dürfte uns auch durch die Zusammenstellung mit seinem Gegentheil das durch „Seligpreisung“ Bezeichnete noch deutlicher werden. Das Gegentheil von selig ist unglücklich; Unglück also das durch schmerzliche und traurige Leiden veranlaßte Elend. Je nachdem man sich nun in dem Einen oder dem Andern befindet, ist auch der daraus für uns entspringende Affect ein verschiedener. Denn dem welchen wir glücklich preisen ist es beschieden sich zu freuen über das ihm zum Genuß Dargebotene, und zu jubeln, dem hingegen welchen wir für unglücklich halten, sich zu kümmern über seine Lage und zu trauern. Was demnach in Wahrheit selig zu preisen ist das ist die Gottheit selbst. Denn mögen wir sie halten für was wir nur wollen, Seligkeit ist jenes reine Leben, das unnennbare und unbegreifliche Gut, die unbeschreibliche Schönheit, die Huld selbst, und Weis-

ἀνέκφραστον κάλλος, ἡ αὐτοχάρις καὶ σοφία καὶ δύναμις,
C τὸ ἀληθινὸν φῶς, ἡ πηγὴ πάσης ἀγαθότητος, ἡ ὑπερ-
κειμένη τοῦ παντὸς ἐξουσία, τὸ μόνον ἐράσμιον, τὸ ἀεὶ
ὡσαύτως ἔχον, τὸ διηνεκὲς ἀγαλλίαμα, ἡ ἀΐδιος εὐφρο-
σύνη, περὶ ἧς πάντα τις ἃ δύναται λέγων λέγει τῶν κατ'
ἀξίαν οὐδέν· οὔτε γὰρ ἡ διάνοια καθικνεῖται τοῦ ὄντος,
κἄν τι περὶ αὐτοῦ τῶν ὑψηλοτέρων νοῆσαι χωρήσωμεν,
οὐδενὶ λόγῳ τὸ νοηθὲν ἐξαγγέλλεται. [11] Ἐπειδὴ δὲ ὁ πλά-
σας τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν, δευ-
D τέρως ἂν εἴη μακαριστὸν τὸ [12] κατ' οὐσίαν τῆς ὄντως μα-
καριότητος ἐν τῷ ὀνόματι τούτῳ γινόμενον. Ὥσπερ γὰρ
ἐπὶ τῆς σωματικῆς εὐμορφίας τὸ μὲν πρωτότυπον κάλλος
ἐν τῷ ζῶντι προσώπῳ ἐστὶν καὶ ὑφεστῶτι, δευτερεύει δὲ
τούτου τὸ κατὰ μίμησιν ἐπὶ τῆς εἰκόνος δεικνύμενον, οὕ-
p. 765. τως καὶ ἡ ἀνθρωπίνη φύσις, εἰκὼν οὖσα τῆς ὑπερκειμέ-
A νης μακαριότητος, καὶ αὐτὴ τῷ ἀγαθῷ κάλλει χαρακτη-
ρίζεται, ὅταν ἐφ' ἑαυτῆς [13] δεικνύῃ τὰς τῶν μακαρίων
[14] ἀκτίνων ἐμφάσεις. Ἀλλ' ἐπειδὴ ὁ τῆς ἁμαρτίας ῥύπος
τὸ ἐπὶ τῆς εἰκόνος κάλλος ἠχρείωσεν, ἦλθεν ὁ ἐκνίπτων
ἡμᾶς τῷ ἰδίῳ ὕδατι, τῷ ζῶντι τε καὶ ἀλλομένῳ εἰς ζωὴν
αἰώνιον, ὥστε ἡμᾶς ἀποθεμένους τὸ ἐξ ἁμαρτίας αἶσχος
πάλιν κατὰ τὴν μακαρίαν ἀνακαινισθῆναι μορφήν. Καὶ
καθάπερ ἐπὶ τῆς ζωγραφικῆς τέχνης εἴποι ἄν τις πρὸς
B τοὺς ἀπείρους ὁ ἐπιστήμων ἐκεῖνο καλὸν εἶναι τὸ πρόσω-
πον, τὸ ἐκ τοιῶνδε τῶν τοῦ σώματος μορίων συγκείμενον,
ᾧ κόμη τε τοιάδε, καὶ ὀφθαλμῶν κύκλοι, καὶ ὀφρύων
περιγραφαὶ, καὶ παρειῶν θέσις, καὶ τὰ καθ' ἕκαστον πάν-
τα δι' ὧν συμπληροῦται ἡ εὐμορφία, οὕτως καὶ ὁ τὴν
ἡμετέραν πρὸς τὴν τοῦ μόνου μακαρίου μίμησιν ἀναζω-
γραφῶν ψυχὴν τὰ καθ' ἕκαστον τῶν εἰς [15] τὸν μακαρισμὸν
συντεινόντων ὑπογράψει τῷ λόγῳ, καί φησιν ἐν πρώτοις,
Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βα-
σιλεία τῶν οὐρανῶν. Ἀλλὰ τί κέρδος ἐκ τῆς μεγαλοδω-

---

11) 𝔐. ἐπεὶ. — 12) 𝔐. κατὰ μετουσίαν. — 13) 𝔐. δεικνύει. —
14) 𝔐. χαρακτήρων. — 15) τὸν fehlt bei 𝔐.

heit und Kraft, das wahrhafte Licht, die Quelle aller Güte, die über dem All stehende Macht, die allein zu liebende, die stets sich gleich bleibende, die endlose Freude, die ewige Heiterkeit, über welche, sagt man auch was man kann, man dennoch Nichts sagt was ihrer werth ist; denn der Gedanke erreicht keineswegs das was sie ist, und wenn wir auch über sie uns eine erhabenere Vorstellung machen sollten, so sind wir doch unvermögend das was wir denken mit Worten auszusprechen. Da nun aber der welcher den Menschen gebildet ihn nach dem Bilde Gottes geschaffen hat, so dürfte das an zweiter Stelle selig zu preisen sein was nach dem Wesen der wahrhaften Seligkeit diesen Namen erhält. Denn wie bei der körperlichen Bildung die originale Schönheit inder lebenden und existierenden Person ist, und die an dem Bilde durch Nachahmung dargestellte nach jener den zweiten Rang einnimmt, so gewinnt die menschliche Natur, welche das Abbild der überirdischen Schönheit ist, auch selbst das Gepräge der Tugendschönheit, wenn sie die Strahlen der Seligkeit in sich abspiegelt. Da nun aber der Schmuz der Sünde die Schönheit des Ebenbildes verdorben hatte, so kam der welcher uns mit seinem Wasser, dem lebendigen und dem ewigen Leben entgegenhüpfenden, abwäscht, damit wir die Häßlichkeit der Sünde abwerfen und in die selige Schönheit erneuert werden. Und wie in der Malerei der Kunstverständige den Laien die Persönlichkeit als schön bezeichnen würde welche aus solchen und solchen Körpertheilen zusammengestellt ist, deren Haar, deren Augenkreise, Augenbrauenbogen, Lage der Wangen, und alles Einzelne woraus sich die Schönheit zusammensetzt so und so beschaffen ist, so wird auch der welcher das Gemälde unserer Seele nach Aehnlichkeit dessen der allein selig ist wieder auffrischt alle Einzelnheiten welche zur Seligmachung gehören in seiner Schilderung beschreiben, und so sagt er zuerst, Selig sind die da geistlich arm sind, denn das Himmelreich ist ihr! Doch was wird uns für ein Gewinn aus der

C ρεᾶς γενήσεται, μὴ φανερωθείσης ἡμῖν τῆς ἐγκειμένης δια-
νοίας τῷ λόγῳ; καὶ γὰρ ἐπὶ τῆς ἰατρικῆς πολλὰ τῶν τι-
μίων καὶ δυσπορίστων φαρμάκων ἄχρηστα τοῖς ἀγνοοῦσιν
καὶ ἀνόνητα μένει, ἕως ἂν εἰς ὅ τι χρήσιμον ἕκαστον τού-
των ἐστὶν παρὰ τῆς τέχνης ἀκούσωμεν. Τί οὖν ἐστιν τὸ
πτωχεῦσαι τῷ πνεύματι, δι' οὗ περιγίνεται τὸ τῆς βασι-
λείας τῶν οὐρανῶν ἐγκρατῆ γενέσθαι; Δύο πλούτους
παρὰ τῆς γραφῆς μεμαθήκαμεν, ἕνα σπουδαζόμενον, καὶ
ἕνα κατακρινόμενον. Σπουδάζεται μὲν ὁ τῶν ἀρετῶν
πλοῦτος, διαβάλλεται δὲ ὁ ὑλικός τε καὶ γήϊνος, ὅτι ὁ
D μὲν τῆς ψυχῆς γίνεται κτῆμα, οὗτος δὲ πρὸς τὴν τῶν
αἰσθητηρίων ἀπάτην ἐπιτηδείως ἔχει. Διὸ κωλύει τοῦ-
τον θησαυρίζειν ὁ κύριος, ὡς εἰς βρῶσιν σητῶν καὶ εἰς
ἐπιβουλὴν τῶν τοιχωρυχούντων ἐκκείμενον, κελεύει δὲ πε-
ρὶ τὸν τῶν ὑψηλῶν πλοῦτον τὴν σπουδὴν ἔχειν, οὗ ἡ
φθαρτικὴ δύναμις οὐ προσάπτεται. Σῆτα δὲ καὶ κλέπ-
την εἰπὼν τὸν λυμεῶνα τῶν τῆς ψυχῆς θησαυρῶν ἐνε-
δείξατο. Εἰ οὖν ἀντιδιαστέλλεται ἡ πενία τῷ πλούτῳ,
πάντως κατὰ τὴν ἀναλογίαν καὶ διπλῆν ἐστι διδαχθῆναι
p. 766. A πενίαν, τὴν μὲν ἀπόβλητον, τὴν δὲ μακαριζομένην. Ὁ
μὲν οὖν σωφροσύνης πτωχεύων, ἢ τοῦ τιμίου κτήματος
τῆς δικαιοσύνης, ἢ τῆς σοφίας, ἢ τῆς φρονήσεως, ἢ ἄλλου
τινὸς τῶν πολυτελῶν κειμηλίων πένης τε καὶ ἀκτήμων
καὶ πτωχὸς εὑρισκόμενος, ἄθλιος τῆς πενίας καὶ ἐλεεινὸς
τῆς τῶν τιμίων ἀκτημοσύνης, ὁ δὲ πάντων τῶν κατὰ κα-
κίαν νοουμένων ἑκουσίως πτωχεύων, καὶ οὐδὲν τῶν δια-
βολικῶν κειμηλίων ἐν τοῖς ἰδίοις ταμείοις ἔχων ἀπόθε-
τον, ἀλλὰ τῷ πνεύματι [16] ζῶν, καὶ διὰ τούτου τὴν τῶν
κακῶν πενίαν [17] ἐν ἑαυτῷ θησαυρίζων, εἴη ἂν οὗτος ἐν
τῇ μακαριζομένῃ πτωχείᾳ ὑπὸ τοῦ λόγου δεικνύμενος, ἧς
B ὁ καρπὸς βασιλεία οὐρανῶν ἐστιν. Ἀλλ' ἐπανέλθωμεν πά-
λιν ἐπὶ τὴν ἐργασίαν τοῦ θησαυροῦ, καὶ μὴ ἀποστῶμεν
τῷ μεταλλευτικῷ λόγῳ τὸ κεκρυμμένον ἀνακαλύπτοντες.

---

16) M. ζέων. — 17) ἐν fehlt bei M.

Freigebigkeit erwachsen, wenn der in dem Ausspruch liegende Sinn uns nicht deutlich wird? Bleiben doch ja auch in der Arzneikunst viele schätzbare und schwer zu erlangende Heilmittel für die welche sie nicht kennen ohne Nutzen und Vortheil, so lange bis wir wozu ein jedes von ihnen dienlich ist von der Kunst erfahren haben. Was heißt also geistlich arm sein, wodurch man dazu gelangt das Himmelreich zu erwerben? Zwei Arten von Reichthum lehrt uns die Schrift; einen erstrebenswerthen und einen verdammungswürdigen. Zu erstreben ist der Reichthum der Tugenden, getadelt wird der materiale und irdische; denn der eine wird zu einem Besitzthum der Seele, der andere hingegen ist geeignet die Sinne zu betrügen. Darum verbietet der Herr sich jenen zu sammeln, weil er dem Fraß der Motten und der Nachstellung der einbrechenden Diebe ausgesetzt ist, befiehlt aber auf den Reichthum der erhabenen Güter bedacht zu sein, welche keine Macht des Verderbens anfällt. Wenn er aber von Motten und Dieben spricht, so deutet er damit auf den Zerstörer der Schätze der Seele hin. Ist nun die Armuth das Gegentheil von Reichthum, so ist entsprechender Weise jedenfalls auch eine zwiefache Armuth nachzuweisen, deren eine verwerflich, die andere als ein Glück zu preisen ist. Wer nun arm ist an Mäßigung, oder an dem herrlichen Besitzthum der Gerechtigkeit, oder an der Weisheit, oder an der Klugheit, oder an irgend einem anderen kostbaren Kleinod arm, besitzlos und als Bettler erfunden wird, der ist unglücklich ob seiner Armuth und bemitleidenswerth ob des Nichtbesitzes der herrlichen Güter, wer hingegen nach seinem Willen an Allem was man unter bös versteht arm ist, und keins von den Kleinoden des Teufels in seinen Kammern hinterlegt hat, sondern in dem Geiste lebt und durch diesen die Armuth an den Dingen die böse sind als einen Schatz in sich aufsammelt, der dürfte von dem göttlichen Wort wohl als innerhalb der seliggepriesenen Armuth stehend bezeichnet werden, deren Frucht das Himmelreich ist. Kehren wir aber wieder zurück zum Erwerb des Schatzes, und stehen wir nicht ab davon mit Hilfe des Nachdenkens in die Tiefe zu steigen und den verborgenen Schatz zu enthüllen. Selig, spricht er, sind die da geistlich arm sind.

Μακάριοι, φησὶν, οἱ πτωχοὶ τῷ πνεύματι. Εἴρηται μὲν
[18]ἤδη τρόπον τινὰ τοῦτο καὶ ἐν τοῖς ἔμπροσθεν, καὶ
νῦν πάλιν εἰρήσεται, ὅτι τέλος τοῦ κατ' ἀρετὴν βίου
ἐστὶν ἡ πρὸς τὸ θεῖον ὁμοίωσις. Ἀλλὰ μὴν τὸ ἀπαθὲς
καὶ ἀκήρατον ἐκφεύγει πάντη τὴν παρὰ ἀνθρώπων μί-
μησιν· οὐδὲ γὰρ ἐστι δυνατὸν πάντη τὴν ἐμπαθῆ ζωὴν
ὁμοιωθῆναι πρὸς τὴν τῶν παθῶν ἀνεπίδεκτον φύσιν.
C Εἰ οὖν μόνον τὸ θεῖον μακάριον, καθὼς ὁ ἀπόστολος ὀνο-
1 Tim. 1, 11. μάζει, ἡ δὲ τοῦ μακαρισμοῦ κοινωνία τοῖς ἀνθρώποις
διὰ τῆς πρὸς τὸν θεὸν ἐστιν ὁμοιώσεως, ἡ δὲ μίμησις ἄ-
πορος, ἄρα ἀνέφικτός ἐστιν ἡ μακαριότης τῇ ἀνθρωπίνῃ
ζωῇ. Ἀλλ' ἔστιν ἃ τῆς θεότητος δυνατὰ τοῖς βουλομένοις
πρόκειται εἰς μίμησιν. Τίνα οὖν ἐστι ταῦτα; Δοκεῖ μοι
πτωχείαν πνεύματος τὴν ἑκούσιον ταπεινοφροσύνην ὀνο-
2 Cor. 8, 9. μάζειν ὁ λόγος. Ταύτης δὲ ὑπόδειγμα τὴν τοῦ θεοῦ
D πτωχείαν ὁ ἀπόστολος ἡμῖν λέγων προδείκνυσιν, ὃς δι'
ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτω-
χείᾳ πλουτήσωμεν. Ἐπεὶ οὖν τὰ ἄλλα πάντα, ὅσα περὶ
τὴν θείαν καθορᾶται φύσιν, ὑπερπίπτει [19]τὸ μέτρον τῆς
ἀνθρωπίνης φύσεως, ἡ δὲ ταπεινότης συμφυής τις ἡμῖν
ἐστι καὶ σύντροφος τοῖς χαμαὶ ἐρχομένοις, καὶ ἐκ γῆς τὴν
p. 767. σύστασιν ἔχουσιν καὶ εἰς γῆν καταῤῥέουσιν, ἐν τῷ κατὰ
A φύσιν [20]σοι καὶ δυνατῷ τὸν θεὸν μιμησάμενος τὴν μακα-
ρίαν [21]καὶ αὐτὸς ὑπέδυς μορφήν. Καὶ μηδεὶς ἄπονον
οἰέσθω, καὶ μετὰ ῥᾳστώνης ἐκποριζόμενον τὸ τῆς ταπει-
νοφροσύνης κατόρθωμα. Τὸ ἐναντίον μὲν οὖν παντὸς οὑ-
τινοσοῦν τῶν κατ' ἀρετὴν ἐπιτηδευομένων τὸ τοιοῦτόν
ἐστιν ἐπιπονώτερον. Διὰ τί; ὅτι καθεύδοντος τοῦ ἀνθρώ-
που, τοῦ τὰ καλὰ σπέρματα δεξαμένου, τὸ κεφάλαιον τῆς
ἐναντίας σπορᾶς παρὰ τοῦ ἐχθροῦ τῆς ζωῆς ἡμῶν, τὸ
B τῆς ὑπερηφανίας ἐῤῥιζώθη ζιζάνιον. Δι' ὧν γὰρ ἐκεῖνος
ἑαυτὸν εἰς γῆν κατέῤῥαξεν, τῷ αὐτῷ τρόπῳ τὸ δείλαιον
γένος [22]τῶν ἀνθρώπων πρὸς τὸ κοινὸν πτῶμα ἑαυτῷ
συγκατέβαλεν, καὶ οὐδέν ἐστιν ἄλλο τῆς φύσεως ἡμῶν τοι-

18) ἤδη fehlt bei M. — 19) M. τῷ μέτρῳ. — 20) M. σύ. —
21) καὶ fehlt bei M. — 22) M. τὸ ἀνθρώπινον.

Es ist bereits gewissermaßen im Früheren gesagt, und wird jetzt wiederholt werden, daß die Aehnlichkeit mit der Gottheit Endziel des tugendhaften Lebens ist. Nun entzieht sich aber das was des Affects unfähig und rein ist auf jede Weise der Nachahmung der Menschen; denn es ist ganz unmöglich daß das dem Affect ausgesetzte Leben derjenigen Natur gleichkomme welche der Affecte unfähig ist. Wenn nun Gott allein selig ist, wie der Apostel es nennt, die Theilnahme an der Seligkeit aber den Menschen durch die Aehnlichkeit mit Gott bewirkt wird, die Nachahmung jedoch unmöglich ist, so ist demnach die Seligkeit für das menschliche Leben ein unerreichbar Ding. Und dennoch sind einzelne Eigenschaften der Gottheit für die welche wollen nachahmbar. Welche sind nun diese? Mir scheint das Wort mit dem Ausdruck „geistliche Armuth" die freiwillige demuthvolle Erniedrigung zu bezeichnen. Der Apostel deutet in seinen Worten auf eine Armuth Gottes als Muster dieser für uns hin, Gottes der da arm wurde um unsertwillen, damit wir durch seine Armuth reich würden. Da nun alle übrigen Eigenschaften der göttlichen Natur über das Maaß der menschlichen hinausgehen, die Niedrigkeit aber mit uns, die wir auf der Erde wandeln, und aus der Erde unser Dasein haben, und zu Erde wieder vergehen, verwachsen und verbunden ist, so hast auch du die selige Schönheit angezogen, wenn du Gott in dem nachahmst was deiner Natur angemessen und dir möglich ist. Niemand halte aber die Erlangung der Demuth für eine mühelose und mit Leichtigkeit zu erwerbende Sache. Im Gegentheil, von allen und jeden Tugendbestrebungen ist diese die schwerste. Warum? weil, wenn der Mensch der den guten Samen in sich aufgenommen hatte schläft, das hauptsächlichste Unkraut der feindlichen Saat, welche der Widersacher unseres Lebens ausstreut, der Lolch des Hochmuths Wurzel schlägt. Denn wodurch jener sich seinen Fall auf die Erde bereitet hat, auf dieselbe Weise stürzt er auch das arme Menschengeschlecht in gemeinsamem Fall mit sich hinab, und es giebt kein anderes so großes Uebel unserer Natur

οὔτον κακὸν ὡς τὸ δι' ὑπερηφανίας [23] ἐγγινόμενον νόσημα. Ἐπεὶ οὖν ἐμπέφυκέ πως τὸ κατὰ τὴν ἔπαρσιν πάθος παντὶ σχεδὸν τῷ κοινωνοῦντι τῆς ἀνθρωπίνης φύσεως, διὰ τοῦτο ἐντεῦθεν τῶν μακαρισμῶν ὁ κύριος ἄρχεται, οἷον ἀρχέγονόν τι κακὸν ἐκβαλὼν ἐκ τῆς ἕξεως ἡμῶν τὴν ὑπερηφανίαν, ἐν τῷ συμβουλεύειν μιμήσασθαι τὸν ἑκου-
C σίως πτωχεύσαντα, ὅς ἐστιν ἀληθῶς μακάριος, ἵνα ἐν ᾧ δυνάμεθα καθὼς ἂν οἷοί τε ὦμεν ὁμοιωθέντες ἐκ τοῦ πτωχεῦσαι κατὰ προαίρεσιν καὶ τὴν τοῦ μακαρισμοῦ κοι-
Phil. 2, 5. νωνίαν ἐφελκυσώμεθα. Τοῦτο γὰρ φρονείσθω, φησὶν, ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. Τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὄντων ἢ τὸ εἰς κοινωνίαν τῆς πτωχῆς ἡμῶν φύσεως [24] ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων ἐθελόντως τὴν τῆς δουλείας
D μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς δυναστεύουσι γίνεται· ὁ τῆς κτίσεως κύριος ἐν σπηλαίῳ κατάγεται· ὁ τοῦ παντὸς περιδεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῷ καταλύματι, ἀλλ' ἐν τῇ φάτνῃ τῶν ἀλόγων ζώων παραῤῥιπτεῖται· ὁ καθαρὸς καὶ ἀκήρατος τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥύπον, καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν μέχρι τῆς τοῦ θανάτου πρόεισι πείρας. Ὁρᾶτε τῆς ἑκουσίου πτωχείας τὸ μέ-
p. 768. A τρον; ἡ ζωὴ θανάτου γεύεται, ὁ κριτὴς εἰς κριτήριον ἄγεται, ὁ τῆς ζωῆς τῶν ὄντων κύριος ἐπὶ τῇ ψήφῳ τοῦ δικάζοντος γίνεται, ὁ πάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς καὶ τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας. Πρὸς τοῦτο, σοί φησι, τὸ ὑπόδειγμα, τὸ τῆς ταπεινοφροσύνης βλεπέτω μέτρον. Τάχα δέ μοι δοκεῖ καλῶς ἔχειν καὶ τὴν ἀλογίαν τοῦ τοιούτου διασκοπῆσαι πάθους, ὡς ἂν εὐκατόρθωτος ἡμῖν ὁ μακαρισμὸς γένοιτο σὺν εὐμαρείᾳ

---

23) Die Worte ἐγγινόμενον νόσημα, welche auch Sifanus mitübersetzte, fehlen in den gedruckten Texten. — 24) ἑκουσίως fehlt in den Ausg.

als das Leiden welches uns durch den Hochmuth befällt. Da nun die Krankheit der Selbstüberhebung gewissermaßen fast in Jedem welcher die menschliche Natur theilt eingewurzelt ist, deshalb beginnt der Herr, indem er den Hochmuth wie ein Haupt- und Grundübel aus unserem Wesen verbannen will, die Seligpreisungen damit daß er uns räth dem nachzustreben welcher freiwillig arm ward, welcher der wahrhaft Selige ist, auf daß wir in der Eigenschaft in welcher wir es vermögen ihm nach Kräften ähnlich werden und aus der freiwilligen Armuth uns auch einen Antheil an der Seligkeit erwerben. Denn, spricht er, so soll er gesinnt sein wie Christus Jesus war, welcher ob er wohl in göttlicher Gestalt war, es nicht für einen Raub hielt Gott gleich zu sein, sondern sich selbst entäußerte, indem er Knechtesgestalt annahm. Was ist armseliger als Knechtesgestalt an Gott? was an dem welcher über Alles König ist demüthiger als freiwillig die Armuth unserer Natur zu theilen? Der König der Könige und Herr der Herren zieht von freien Stücken Knechtesgestalt an; der welcher über Alles richtet wird unterthänig den Fürsten; der Herr der Schöpfung steigt herab in eine Höhle; der welcher das All umfaßt hält findet keinen Platz in der Herberge, sondern wird in die Krippe der vernunftlosen Thiere gelegt; der Reine und Lautere nimmt den Schmuz der menschlichen Natur an, und, alle Stufen unserer Armuth durchschreitend, geht er sogar soweit, den Tod zu bestehen! Seht Ihr das Maaß der freiwilligen Armuth? das Leben kostet den Tod, der Richter wird in das Richthaus geführt, der Herr über das Leben derer die sind unterzieht sich dem Spruch des Verurtheilenden, der König über alle überweltliche Macht stößt die Hände der Henker von sich nicht zurück. Auf dieses Beispiel, spricht er zu dir, auf dieses Maaß der Demuth richte deine Blicke! Ich meine aber daß es vielleicht gut ist auch die Thorheit jener Leidenschaft näher zu betrachten, damit dadurch daß wir ungehindert und mit Leichtigkeit die Demuth uns erringen dann auch der Weg zur Seligkeit für uns leicht ge-

περιέργως ταῖς ἀπὸ τῶν ῥαφίδων γραμμαῖς [30] ἐπιτρέχοντα; πρὸς ταῦτα βλέπεις, πρὸς δὲ σεαυτὸν οὐχ ὁρᾷς. Δείξω σοι ὥσπερ ἐν κατόπτρῳ τίς εἶ καὶ οἷος εἶ. Οὐκ εἶδες
B ἐν πολυανδρίῳ τὰ τῆς φύσεως ἡμῶν μυστήρια; οὐκ εἶδες τὴν ἐπάλληλον τῶν ὀστέων σωρείαν; κρανία σαρκῶν γεγυμνωμένα, φοβερόν τι καὶ εἰδεχθὲς ἐν διακένοις δεδορκότα τοῖς ὄμμασιν; εἶδες στόματα σεσηρότα, καὶ τὰ λοιπὰ τῶν μελῶν πρὸς τὸ συμβὰν [31] πεφθαρμένα; Εἰ ἐκεῖνα εἶδες, σεαυτὸν ἐν ἐκείνοις τεθέασαι. Ποῦ τοῦ παρόντος ἄνθους τὰ σύμβολα; ποῦ ἡ εὔχροια τῆς παρειᾶς; ποῦ τὸ ἐπὶ τοῦ χείλους ἄνθος; ποῦ τὸ βλοσυρὸν ἐν τοῖς ὄμμασι κάλλος τῇ περιβολῇ τῶν ὀφρύων ὑπολαμπόμενον; ποῦ ἡ εὐθεία ῥίς, ἡ τῷ κάλλει τῶν παρειῶν μεσιτεύουσα; ποῦ
C αἱ ἐπαυχένιοι κόμαι; ποῦ οἱ περικροτάφιοι βόστρυχοι; ποῦ αἱ τοξαζόμεναι χεῖρες, οἱ ἱππαζόμενοι πόδες, ἡ πορφύρα, ἡ βύσσος, ἡ χλανὶς, ἡ ζώνη, τὰ πέδιλα, ὁ ἵππος, ὁ δρόμος, τὸ φρύαγμα; πάντα δι' ὧν σοι νῦν ὁ τῦφος αὔξεται; ποῦ ταῦτα ἐν ἐκείνοις, εἰπὲ, ὑπὲρ ὧν νῦν ἐπαίρῃ καὶ μεγαλοφρονεῖς; ποῖον οὕτως ἀνυπόστατον ὄναρ; ποῖα τοιαῦτα ἐξ ὕπνου φαντάσματα; τίς οὕτως ἀδρανὴς σκιὰ τὴν ἀφὴν ὑποφεύγουσα, ὡς τὸ τῆς νεότητος ὄναρ ὁμοῦ τε φαινόμενον καὶ εὐθὺς παριπτάμενον; ταῦτά μοι πρὸς τοὺς ἐν νεότητι διὰ τὸ ἀτελὲς τῆς ἡλικίας ἀφραίνοντας. Τί δ' ἄν τις εἴποι περὶ τῶν ἤδη καθεστηκότων, οἷς ἡ μὲν ἡλικία βέβηκεν, ἀστατεῖ δὲ τὸ ἦθος, καὶ ἡ νόσος τῆς ὑπερ-
D ηφανίας αὔξεται; ὄνομα δὲ τῇ τοιαύτῃ ἀῤῥωστίᾳ τοῦ ἤθους φρόνημα τίθενται. Ἀρχὴ δὲ ὡς ἐπὶ τὸ πολὺ καὶ ἡ κατ' αὐτὴν δυναστεία ἡ τῆς ὑπερηφανίας ὑπόθεσις γίνεται. Ἢ γὰρ ἐν αὐτῇ τοῦτο πάσχουσιν, ἢ πρὸς αὐτὴν ἑτοιμάζονται, ἢ τὰ περὶ αὐτῆς διηγήματα καὶ πανσαμέ-

---

30) M. ἐπιτέρποντα. — 31) M. πεφορημένα.

dung schauest welche in sorgfältiger Schwärze glänzt, und ch ihre voll mühseliger Kunst mit der Nadel eingestickten Züge Figuren in die Augen fallen? dahin blickst du, aber auf dich st siehest du nicht! Ich will dir wie in einem Spiegel zeigen und wie du bist. Sahest du nicht auf dem Kirchhof die Ge= nnisse unserer Natur? sahest du nicht den dicht aufeinander hichteten Knochenhaufen? Schädel vom Fleische entblößt, die leeren Augenhöhlen schrecklich und häßlich zugleich uns an= ren? Sahst du grinzende Mäuler, und die übrigen Glieder in ler Unordnung durcheinandergeworfen? Wenn du das ange= t hast, dann hast du dich selbst geschaut. Wo sind die Zeichen gegenwärtigen Jugendblüthe? wo die frische Farbe der Wan= ? wo die blühende Gluth der Lippen? wo die mannhafte önheit in den Augen welche aus der Umkleidung der Brauen orglänzt? wo die gerad vorspringende Nase, welche inmitten Schönheit der Wangen prangt? wo die den Nacken herab= lenden Haare? wo die die Schläfe umspielenden Locken? wo den Bogen spannenden Hände, die das Pferd regierenden e, der Purpur, die feinen Linnen, das Kriegsgewand, der tel, die Fußbekleidung, das Pferd, sein Rennen und sein nauben, Alles was jetzt deinem Dünkel Nahrung giebt? ich, wo sind an Jenen diese Dinge zu entdecken auf welche du stolz bist und dich erhebst? Was ist dies für ein so nichtiger um? was sind dies für Trugbilder des Schlafs? was das für so luftiger die Berührung fliehender Schatten, daß er als um der Jugend zugleich mit seinem Erscheinen wieder ent= ebt? Das sind Fragen welche ich an diejenigen richte welche er Jugend, ob der Unreife ihres Alters, voll Thorheit sind. s soll man aber von den Aelteren sagen deren Lebensalter l festen Fuß gefaßt hat, deren Charakter aber noch unstät und n Hochmuthskrankheit im Wachsen ist? Man nennt dieses Lei= des Charakters mit dem Namen „Dünkel“. Veranlassung zu hmuth giebt meistentheils ein oberes Staatsamt und die it verbundene Macht; denn entweder gewinnt man ihn mit m selbst, oder man bereitet sich darauf vor, oder die über lbe geführten Reden fachen die sogar bereits beschwichtigte

p. 770. νην ἤδη πολλάκις ἀναῤῥιπίζει τὴν νόσον. Καὶ τίς λόγος
A τοιοῦτος ὡς ἐντὸς γενέσθαι τῆς ἀκοῆς αὐτῶν, τῆς ὑπὸ τῆς
φωνῆς τῶν κηρύκων προβεβυσμένης; τίς πείσει τοὺς οὕτως
ἔχοντας ὅτι τῶν [32] ἐπὶ τῇ σκηνῇ πομπευόντων οὐδ' ὁτιοῦν
διαφέρουσι; Καὶ γὰρ ἐκείνοις καὶ πρόσωπόν τι ἐκ τέχνης
τῶν γλαφυρῶν ἐπιβέβληται, καὶ ἁλουργὶς χρυσόπαστος, καὶ
[33] ἐπὶ ἅρματος ἡ πόμπη, καὶ ὅμως οὐδεμία νόσος αὐτοῖς
ὑπερηφανίας ἐκ τῶν τοιούτων εἰσέρχεται, ἀλλ' οἷοι πρὸ
τῆς σκηνῆς ἦσαν τὸ φρόνημα, ἴσην ἐπὶ τῇ ψυχῇ τὴν ἕξιν
καὶ ἐπὶ τῆς πομπῆς διεσώσαντο, καὶ μετὰ τοῦτο οὐκ ἀνι-
ῶνται, τοῦ τε ἅρματος ἀποβάντες καὶ τὸ σχῆμα περιαι-
B ρούμενοι. Οἱ δὲ διὰ τῆς ἀρχῆς πομπεύοντες ἐν τῇ τοῦ
βίου σκηνῇ, οὔτε τὸ πρὸ βραχέος, οὔτε τὸ μετὰ βραχὺ
λογιζόμενοι, καθάπερ τῷ φυσήματι αἱ πομφόλυγες περι-
τείνονται, τὸν αὐτὸν τρόπον καὶ οὗτοι περιογκοῦνται τῇ
μεγαλοφωνίᾳ τοῦ κήρυκος, ἀλλοτρίου τινὸς προσωπεῖα
μορφὴν ἑαυτοῖς περιπλάσσουσιν, ἐξαλλάσσοντες τὴν κατὰ
φύσιν τοῦ προσώπου θέσιν εἰς τὸ ἀμειδὲς καὶ ἐπίφοβον,
φθόγγος τε αὐτοῖς ἐπινοεῖται τραχύτερος, πρὸς τὴν τῶν
ἀκουόντων κατάπληξιν ἐπὶ τὸ θηριῶδες μετατυπούμενος,
οὐκέτι ἐν τοῖς ἀνθρωπίνοις μένουσιν ὅροις, ἀλλ' εἰς τὴν
C θείαν δύναμιν τε καὶ ἐξουσίαν ἑαυτοὺς εἰσποιοῦσιν. Ζωῆς
γὰρ καὶ θανάτου κύριοι εἶναι πιστεύουσιν, ὅτι τῶν [34] ἑαυ-
τοῖς κρινομένων τῷ μὲν τὴν σώζουσαν νέμουσι ψῆφον, τὸν
δὲ θανάτῳ καταδικάζουσι, καὶ οὐδὲ τοῦτο βλέπουσι, τίς
ἀληθῶς [35] ὁ τῆς ἀνθρωπίνης ζωῆς κύριος, ὁ καὶ τὴν ἀρ-
χὴν τοῦ εἶναι καὶ τὸ τέλος ὁρίζων. Καί τοί γε τοῦτο
μόνον ἱκανὸν ἦν εἰς καταστολὴν τῆς χαυνότητος, τὸ πολ-
λοὺς ἰδεῖν τῶν ἀρχόντων ἐν αὐτῇ τῇ τῆς ἀρχῆς σκηνῇ ἐκ
D μέσων ἁρπασθέντας τῶν θρόνων καὶ ἐπὶ τοὺς τάφους
ἐκκομισθέντας, ἐφ' ὧν ὁ θρῆνος τὰς τῶν κηρύκων φωνὰς
διεδέξατο. Πῶς οὖν ἀλλοτρίας ζωῆς κύριος ὁ τῆς ἰδίας
ἀλλότριος; Καὶ οὗτος τοίνυν εἰ πτωχεύει τῷ πνεύματι,

32) M. ἐπὶ σκηνῆς. — 33) M. ἐπιάρματος. — 34) M. ἐν αὐτοῖς. — 35) ὁ fehlt bei M.

Krankheit wieder von Neuem an. Welche Rede ist aber von der Kraft daß sie in ihre Ohren einzudringen vermöchte, welche von der Stimme der Herolde bereits verstopft sind? Wer wird die in solchem Zustande Befindlichen überzeugen daß sie sich von denen welche stolz auf der Bühne einherschreiten in gar Nichts unterscheiden? denn auch Jene haben ein glattes Gesicht, was die Kunst schuf, angezogen, und ein golddurchwirktes Purpurgewand, und fahren stolz auf einem Wagen daher, und dennoch befällt sie in Folge dessen keine Hochmuthskrankheit; vielmehr wie ihr Sinn vorher stand, ehe sie die Bühne beschritten hatten, diese gleiche Seelenstimmung bewahren sie auch während des Schaugepränges, und betrüben sich nachher nicht, wenn sie von dem Wagen herabsteigen und ihr Aussehen verlieren. Die hingegen welche während der Zeit ihrer hohen amtlichen Stellung auf dem Schauplatz des Lebens einherstolzieren, ohne an die jüngste Vergangenheit noch an die nächste Zukunft zu denken, diese pflegen, wie die Wasserblasen vom Hauche sich aufblähen, eben so an Umfang zu wachsen, wenn die laute Stimme des Herolds erschallt, und Gestalt und Aussehen einer anderen Person anzunehmen, indem sie die natürliche Form ihres Gesichts in Ernst und Furcht erregende Finsterkeit umsetzen, wobei sie eine rauhere Sprechweise sich erfinden, welche zum Schrecken der Hörenden das Gepräge der Wildheit an sich trägt, und sich nicht mehr innerhalb der menschlichen Schranken halten, sondern sich zur göttlichen Macht und Gewalt erhoben wähnen. Denn sie glauben fast Herren über Leben und Tod zu sein, weil sie dem einen Theil von denen welche von ihnen gerichtet werden die Freisprechung, dem anderen den Tod zuerkennen, und blicken nicht darauf, wer in Wahrheit Herr über das menschliche Leben ist, und den Anfang und das Ende des Seins bestimmt. Und doch könnte das allein schon zur Zügelung ihres hochfahrenden Wesens ausreichend sein, daß sie viele hochgestellte Männer mitten aus dem Schauplatz ihrer amtlichen Thätigkeit heraus von ihren stolzen Sitzen herabgerissen und zum Begräbniß hinausgetragen sehen, wobei nun der Klagegesang die Stimmen der Herolde abgelöst hat. Wie kann also der Herr über ein fremdes Leben sein welchem sein eigenes nicht gehört? Ist er jedoch geist-

πρὸς τὸν δι' ἡμᾶς πτωχεύσαντα ἑκουσίως βλέπων, καὶ πρὸς τὸ τῆς φύσεως ὁμότιμον καθορῶν, μηδὲν ἐκ τῆς ἠπατημένης ἐκείνης περὶ [36]τὴν ἀρχὴν τραγῳδίας εἰς τὸ
p. 771. ὁμογενὲς ἐξυβρίζοι, μακαριστὸς ἀληθῶς τῆς ταπεινοφροσύνης τῆς προσκαίρου τὴν τῶν οὐρανῶν βασιλείαν ἀνταλλαξάμενος. Μὴ ἀποβάλῃς, ἀδελφὲ, καὶ τὸν ἕτερον τῆς πτωχείας λόγον, ὃς τοῦ κατ' οὐρανὸν πλούτου πρόξενος γίνεται. Πώλησόν σου, φησὶ, [37]τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο, ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. Καὶ γὰρ ἡ τοιαύτη πτωχεία δοκεῖ μοι μὴ
Matth. 19, 21. 27. ἀπᾴδειν τῆς μακαριζομένης πτωχείας. Ἰδοὺ πάντα ὅσα εἴχομεν ἀφέντες ἠκολουθήσαμέν σοι, φησὶν πρὸς τὸν δεσπότην ὁ μαθητής. Τί ἄρα ἔσται ἡμῖν; καὶ τίς ἡ ἀπόκρισις; Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Βούλει νοῆσαι τίς ὁ πτωχεύων τῷ πνεύματι; ὁ ἀνταλλαξάμενος τὸν τῆς ψυχῆς πλοῦτον τῆς σωματικῆς εὐπορίας, ὁ διὰ τὸ πνεῦμα πτωχεύων, ὁ τὸν γήϊνον πλοῦτον οἷόν τι βάρος ἀποσεισάμενος, ἵνα μετάρσιός τε καὶ διαέριος ἄνω φέρηται, καθώς φησιν ὁ
1 Thess. 4, 17. ἀπόστολος, ἐπὶ νεφέλης συμμετεωροπορῶν τῷ θεῷ. Βαρύ τι χρῆμα τὸ χρυσίον ἐστὶν, βαρεία πᾶσα ἡ σπουδαζομένη κατὰ τὸν πλοῦτον ὕλη, κοῦφον δέ τι καὶ ἀνωφερὲς
C πρᾶγμα ἡ ἀρετή. Ἀλλὰ μὴν ἀντίκειται ταῦτα ἀλλήλοις, τὸ βάρος καὶ ἡ κουφότης· οὐκοῦν ἀμήχανόν τινα γενέσθαι κοῦφον, [38]τὸν τῷ βάρει τῆς ὕλης ἑαυτὸν προσηλώσαντα.
Psalm. 112, 9. Εἰ οὖν χρὴ τοῖς ἄνω προσβῆναι, τῶν κάτω καθελκόντων πτωχεύσωμεν, ἵνα ἐν τοῖς ἄνω γενώμεθα. Τίς δὲ ὁ τρόπος, ὑφηγεῖται ἡ ψαλμῳδία. Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ὁ τῷ πτωχῷ κοινωνήσας εἰς τὴν μερίδα τοῦ δι' ἡμᾶς πτωχεύσαντος ἑαυτὸν καταστήσει. Ἐπτώχευσεν ὁ κύριος, μὴ φοβηθῇς μηδὲ σὺ τὴν πτωχείαν. Ἀλλὰ βασιλεύει πάσης τῆς κτίσεως ὁ δι' ἡμᾶς πτωχεύσας. Οὐκ-

36) τὴν fehlt bei M. — 37) M. πάντα τὰ ὑπάρχ. — 38) τὸν fehlt bei M.

lich arm, im Hinblick auf den der um unsertwillen freiwillig arm geworden ist, und seine Augen auf die Gleichheit unserer Natur richtend, so wird er sich auch nicht mit jener Bühnenhoffahrt im Amte gegen seines Gleichen im frevlen Uebermuth ergehen, und ist selig zu preisen in Wahrheit, weil er um seine zeitliche Demuth sich das Himmelreich eintauscht. Verschmähe auch nicht, mein Bruder, die andere Art von Armuth, welche dir den Erwerb des himmlischen Reichthums vermittelt! Verkaufe deine Habe, und gieb es den Armen, und komm, und folge mir nach, und du wirst einen Schatz im Himmel haben! Auch eine solche Armuth scheint nicht mit der Armuth welche selig gepriesen wird in Widerspruch zu stehen. Siehe, wir haben Alles verlassen was wir hatten, und sind Dir nachgefolgt! spricht der Jünger zu dem Herrn. Was wird also unser sein? und welches ist die Antwort? Selig sind die da geistlich arm sind, denn ihrer ist das Himmelreich. Willst du wissen wer geistlich arm ist? der welcher um leibliches Wohlergehen den Reichthum der Seele eintauscht, welcher um des Geistes willen arm ist, welcher den irdischen Reichthum wie eine Last von sich abschüttelt, damit er hoch in den Lüften nach Oben getragen wird, wie der Apostel sagt, auf einer Wolke schwebend mit Gott. Ein schweres Ding ist das Gold, schwer ist aller Stoff des Reichthums nach dem man ringt, eine leichte und nach Oben strebende Sache hingegen die Tugend. Nun sind dies aber Gegensätze, die Schwere und die Leichtigkeit: folglich ist es unmöglich daß Einer leicht wird, wenn er sich an die Schwere der Materie festgeheftet hat: Sollen wir also zu dem was droben ist hinansteigen, so laßt uns arm sein an dem was uns darniederzieht, damit wir nach Oben gelangen! Auf welche Weise dies geschehen muß, giebt der Psalm an die Hand. Er streuete aus, und gab den Armen, seine Gerechtigkeit bleibet ewiglich. Wer dem Armen mittheilt, der wird sich auf die Seite dessen stellen welcher sich um unsertwillen arm gemacht hat. Der Herr war arm, scheue auch du nicht die Armuth! Aber es herrscht über die ganze Schöpfung der welcher um unsertwillen arm war!

οὖν ἐὰν πτωχεύσαντι συμπτωχεύσῃς, καὶ βασιλεύοντι συμβασιλεύσεις. Μακάριοι γὰρ οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐςιν ἡ βασιλεία τῶν οὐρανῶν, ἧς καὶ ἡμεῖς ἀξιωθείημεν ἐν Χριςῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

p. 772. A

ΛΟΓΟΣ β'.

Matth. 5, 5. *Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.*

Οἱ διὰ κλίμακός τινος τοῖς ὑψηλοτέροις προςβαίνον-
B τες, ὅταν τῆς πρώτης ἐπιβῶσι βαθμίδος, δι' ἐκείνης ἐπὶ τὴν ὑπερκειμένην αἴρονται, καὶ πάλιν ἡ δευτέρα προςάγει τῇ τρίτῃ τὸν ἀνιόντα, καὶ αὕτη πρὸς τὴν ἐφεξῆς, καὶ αὕτη πρὸς τὴν μεθ' ἑαυτὴν, καὶ οὕτως ὁ ἀνιὼν ἀπὸ τοῦ ἐν ᾧ ἐςιν ἀεὶ πρὸς τὸ ὑπερκείμενον ἀνυψούμενος ἐπὶ τὸ ἀκρότατον φθάνει τῆς ἀναβάσεως. Πρὸς τί βλέπων ἐντεῦθεν προοιμιάζομαι; δοκεῖ μοι βαθμίδων δίκην ἡ τῶν
C μακαρισμῶν διακεῖσθαι τάξις, εὐεπίβατον τῷ λόγῳ δι' ἀλλήλων ποιοῦσα τὴν ἄνοδον. Τὸν γὰρ τῷ πρώτῳ διὰ τῆς διανοίας ἐπιβεβηκότα μακαρισμῷ δι' ἀναγκαίας τινὸς τῆς τῶν νοημάτων ἀκολουθίας ὁ μετ' ἐκεῖνον ἐκδέχεται, κἂν ὑποξενίζειν δοκῇ παρὰ τὴν πρώτην ὁ λόγος. Μὴ γὰρ εἶναι δυνατὸν ἴσως ὁ ἀκούων ἐρεῖ, καθάπερ ἐν βαθμῶν διαθέσει, μετὰ τὴν τῶν οὐρανῶν βασιλείαν τῆς γῆς τὴν κληρονομίαν καταλαμβάνεσθαι, ἀλλ' εἴπερ ἔδει τῇ φύσει τῶν ὄντων τὸν λόγον ἕπεσθαι, τοῦ οὐρανοῦ τὴν γῆν ἀκο-
D λουθότερον ἦν προτετάχθαι, ὡς ἐντεῦθεν ἡμῖν ἐπ' ἐκεῖνον ἐσομένης τῆς ἀναβάσεως. Ἀλλ' εἰ πτερωθείημέν πως τῷ λόγῳ, καὶ ὑπὲρ τὰ νῶτα τῆς οὐρανίας ἀψῖδος ςαίημεν, εὑρήσομεν ἐκεῖ τὴν ὑπερουράνιον γῆν, τὴν εἰς κληρονομίαν τοῖς κατ' ἀρετὴν βεβιωκόσιν ἀποκειμένην, ὡς μὴ δοκεῖν ἡμαρτῆσθαι τὴν τάξιν τῆς τῶν μακαρισμῶν ἀκολουθίας,

Wenn Du also arm wirst mit dem der arm geworden ist, so wirst Du sicherlich auch herrschen mit dem der herrscht. Denn selig sind die geistlich Armen, denn ihrer ist das Himmelreich! Dessen auch wir würdig befunden werden möchten in Christo Jesu, unserem Herrn, dem die Herrlichkeit und die Macht gebührt in alle Ewigkeit! Amen.

Zweite Rede.

Selig sind die Sanftmüthigen, denn sie werden die Erde besitzen.

Die welche auf einer Leiter emporsteigen erheben sich, wenn sie die erste Sprosse betreten haben, vermittelst dieser auf die höher gelegene, die zweite führt sie wiederum der dritten zu, und diese wieder der folgenden, und diese zu der welche nach ihr kommt, und indem so der Hinaufsteigende von dem Standpunkt auf welchem er sich befindet immer wieder zu dem darüber liegenden sich erhebt, gelangt er so auf die äußerste Spitze. Was habe ich im Auge, indem ich damit meine Rede beginne? Mir scheint daß die Ordnung der Seligkeiten nach Art der Leitersprossen sich verhalte, und die eine durch die andere der Untersuchung das Hinaufsteigen leicht mache. Denn wer mit seinem Geiste die erste Seligkeit erstiegen hat, den nimmt vermöge einer gewissen nothwendigen Gedankenfolge die nächste auf, wenn gleich diese Behauptung auf den ersten Augenblick etwas Fremdartiges auszusprechen scheinen sollte. enn vielleicht wird der Hörer sagen, es sei doch wohl nicht möglich daß, wie in der Ordnung der Leitertritte, der Besitz der Erde nach dem Himmelreich seine Stelle einnehme, es wäre, wenn anders die Rede dem natürlichen Verhältniß der Dinge folgen sollte, vielmehr richtiger daß die Erde vor dem Himmel ihren Platz erhielt, weil wir von hier unser Hinaufsteigen zu jenem bewerkstelligen sollen. Allein wenn wir uns einigermaßen im Geiste zum Fluge zu erheben vermöchten und über der Kuppel des Himmelsgewölbes stünden, so würden wir dort die über dem Himmel liegende Erde entdecken welche dem der ein tugendhaftes Leben geführt hat zum Besitze bestimmt ist, so daß also in der Ordnung und Aufeinanderfolge der Seligkeiten nicht gefehlt zu sein scheint,

πρῶτον οὐρανοῦ, καὶ μετὰ ταῦτα γῆς, ἐν ταῖς ἐπαγγελί-
αις ἡμῖν παρὰ τοῦ θεοῦ προτεθείσης. Τὸ γὰρ φαινό-
μενον ὅσον πρὸς τὴν σωματικὴν αἴσθησιν ὅλον πρὸς ἑαυτὸ
συγγενῶς ἔχει. Κἂν γὰρ [1] τὸ μὲν ὑψηλὸν εἶναι δοκῇ τῷ
p. 773. τοπικῷ διαστήματι, ἀλλ' οὖν κάτω τῆς νοερᾶς οὐσίας ἐστὶν,
A ἧς ἀδύνατον ἐπιβατεῦσαι τὸν λογισμὸν, μὴ διαβάντα τῷ
λόγῳ ταῦτα πρότερον ὧν καθικνεῖται ἡ αἴσθησις. Εἰ δὲ
τῇ προσηγορίᾳ τῆς γῆς ἡ ὑπερκειμένη κατονομάζεται λῆ-
ξις, θαυμάσεις μηδέν· τῷ γὰρ ταπεινῷ τῆς ἡμετέρας ἀ-
κοῆς συγκαταβαίνει ὁ λόγος, ὁ διὰ τοῦτο πρὸς ἡμᾶς κα-
ταβὰς, ἐπειδὴ ἡμεῖς πρὸς αὐτὸν ἀνυψωθῆναι οὐχ οἷοί τε
ἦμεν. Διὰ τοίνυν τῶν ἡμῖν γνωρίμων ῥημάτων τε καὶ
ὀνομάτων παραδίδωσι τὰ θεῖα μυστήρια, ταύταις ταῖς
B φωναῖς κεχρημένος ἃς ἡ συνήθεια τοῦ ἀνθρωπίνου περι-
έχει βίον. Καὶ γὰρ τῇ πρὸ ταύτης ἐπαγγελίᾳ τὸν ἄφρα-
στον ἐκεῖνον ἐν τοῖς οὐρανοῖς μακαρισμὸν βασιλείαν ὠνό-
μασεν· ἆρα τί τοιοῦτον τῷ λόγῳ παραδεικνύων οἷον ἡ
κάτω περιέχει βασίλεια; διαδήματά τινα ταῖς τῶν λίθων
αἴγλαις περιαστράπτοντα, καὶ εὐανθεῖς ἁλουργίδας ἡδύ τι
τοῖς λίχνοις ὄμμασιν ἀπαυγαζούσας, προπύλαιά τε καὶ
καταπετάσματα, καὶ ὑψηλοὺς θρόνους, καὶ δορυφόρων
στοιχηδὸν περιεστώτων τάξεις, καὶ ὅσα ἄλλα προστραγῳ-
C δοῦσιν περὶ τὴν τοιαύτην τοῦ βίου σκηνὴν οἱ τὸν ὄγκον
τῆς δυναστείας διὰ τῶν τοιούτων ἐπὶ τὸ μεῖζον ἐξαίρον-
τες; ἀλλ' ἐπειδὴ μέγα τι καὶ ὑπὲρ πάντα σχεδὸν τὰ ἐν
ἀνθρώποις ζηλούμενα τὸ τῆς βασιλείας ὄνομα κατὰ τὸν
βίον ἐστὶν, διὰ τοῦτο συνεχρήσατο τῷ ὀνόματι, πρὸς τὴν
τῶν ὑπερκειμένων ἀγαθῶν δήλωσιν· ὡς εἴγε ἦν ἄλλο τι
παρὰ τοῖς ἀνθρώποις τῆς βασιλείας ἀνώτερον, δι' ἐκείνου
ἂν τοῦ ὀνόματος [2] πάντως ἀνεπτέρωσε τὴν ψυχὴν τοῦ ἀ-
κούοντος πρὸς ἐπιθυμίαν τῆς ἀφράστου μακαριότητος.
Οὐδὲ γὰρ [3] ἐστι δυνατὸν ἰδίοις ὀνόμασιν ἐκεῖνα τὰ ἀγαθὰ
D τοῖς ἀνθρώποις ἐκκαλυφθῆναι ἃ ὑπὲρ αἴσθησίν τε καὶ
γνῶσιν ἀνθρωπίνην ἐστὶν (οὔτε γὰρ ὀφθαλμὸς εἶδεν, φη-

1) M. ὃ μέν. — 2) M. πάντως μάλιστα ἀνεπτέρωσεν ψυχήν. —
3) M. ἦν.

wenn uns in den Verheißungen zuerst der Himmel, und dann die Erde, von Gott versprochen worden ist. Alles was man sieht ist, in Bezug auf die körperliche Wahrnehmung, durchweg mit sich verwandt. Denn wenn schon das Eine der räumlichen Dimension nach hoch erscheint, so liegt es doch unterhalb der intellektualen Substanz, zu welcher der Gedanke nicht emporzusteigen vermag, wenn er nicht vorher erst dasjenige in richtiger Einsicht durchschritten hat was für die sinnliche Wahrnehmung erfaßbar ist. Wenn aber mit dem Ausdruck „Erde" die obere Region bezeichnet wird, so magst du dich darüber nicht wundern; denn der Herr läßt sich mit seinem Wort herab zur Niedrigkeit unseres Gehörs, er der deshalb zu uns herabgestiegen ist weil wir zu ihm uns zu erheben außer Stand waren. Durch Wörter und Namen also die uns bekannt und geläufig sind lehrt er uns die göttlichen Geheimnisse, und braucht solche Ausdrücke, wie sie der Gewohnheit des menschlichen Lebens eigen sind. Hatte er doch auch in der vorhergehenden Verkündigung jene unaussprechliche Seligkeit im Himmel „Reich" genannt. Wollte er damit wohl etwas bezeichnen was den irdischen Reichen eigen ist, Diademe funkelnd in den Strahlen ihrer Gesteine, Purpurgewänder, welche den lüsternen Augen den Glanz ihrer Blüthenpracht entgegenwerfen, Vorzimmer und Vorhänge, erhabene Sessel, Abtheilungen von in Reihe und Glied herumstehenden Trabanten, und alles womit sonst diejenigen welche durch dergleichen Dinge das Gewicht des Herrscherthums vermehren die Hoffahrt dieser Schaubühne des Lebens ausputzen? Nein, sondern weil das Wort „Reich" etwas Großes bedeutet, und etwas das beinahe über alles hinausliegt was für die Menschen Gegenstand der Bewunderung und des Strebens ist, deßhalb hat er den Ausdruck gebraucht, um die höchsten Güter zu bezeichnen. Gäbe es bei den Menschen etwas das höher wäre als Reich und Königthum, so würde er ohne Zweifel die Seele des Zuhörers mit dessen Nennung zur Begierde nach der unaussprechlichen Seligkeit beflügelt haben. Es ist unmöglich den Menschen jene Güter mit ihren eigenen Namen zu enthüllen welche über unsere sinnliche Wahrnehmung und Erkenntniß hinaus liegen (denn weder ein Auge hat es gesehen, heißt es, noch

1 Cor. 2, 9. σὶν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη)· ἀλλ' ὡς ἂν μὴ παντελῶς διαφύγοι τὸν ςοχασμὸν ἡ ἐλπιζομένη μακαριότης, ὡς χωροῦμεν κατὰ τὸ ταπεινὸν ἡμῶν τῆς φύσεως, οὕτω τῶν ἀνεκφωνήτων ἀκούομεν. Μὴ οὖν ἡ τῆς γῆς ὁμωνυμία πάλιν μετὰ τοὺς οὐρανοὺς καθελκέτω σου τὴν διάνοιαν ἐπὶ τὴν κάτω γῆν, ἀλλ' εἴπερ ὑψώθης τῷ λόγῳ διὰ τῶν προτέρων μακαρισμῶν, καὶ τῆς

p. 774. οὐρανίας ἐπέβης ἐλπίδος, ἐκείνην μοι πολυπραγμόνει τὴν

A γῆν ἥτις οὐ πάντων ἐςὶ κληρονομία, πλὴν εἴ τινες διὰ τῆς τοῦ βίου πραότητος ἄξιοι τῆς ἐπαγγελίας ἐκείνης κρίνονται. Ἣν μοι δοκεῖ καὶ ὁ μέγας Δαβὶδ, ὁ παρὰ πάντας τοὺς κατ' αὐτὸν ἐπιδεδημηκότας τῷ βίῳ πραΰς τε καὶ ἀνεξίκακος μαρτυρηθεὶς ὑπὸ τῆς θείας γραφῆς, προνενοηκέναι τῇ ὑφηγήσει τοῦ πνεύματος, καὶ διὰ πίςεως ἤδη

Psalm. 27, 13. κατεσχηκέναι τὸ ἐλπιζόμενον, εἰπὼν, Πιςεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων. Οὐ γάρ φημι τὸν προφήτην ταύτην ζώντων προσειρηκέναι τὴν γῆν τὰ θνητὰ

B πάντα φύουσαν καὶ εἰς ἑαυτὴν πάλιν πᾶν τὸ ἐξ αὐτῆς [4]γεγονὸς ἀναλύουσαν, ἀλλ' οἶδεν γῆν ζώντων, ἧς οὐκ ἐπέβη θάνατος, ἐν ᾗ ὁδὸς ἁμαρτωλῶν οὐκ ἐτρίβη, ἣ κακίας ἴχνος ἐφ' ἑαυτῆς οὐκ ἐδέξατο, ἣν οὐκ ἀνέτεμεν τῷ ἀρότρῳ τῆς πονηρίας ὁ τὰ ζιζάνια σπείρων, ἡ τριβόλων καὶ ἀκανθῶν ἄγονος, ἐν ᾗ τὸ ὕδωρ τῆς ἀναπαύσεως καὶ ὁ τῆς χλόης τόπος, καὶ ἡ τετραχῆ μεριζομένη πηγὴ, καὶ ἡ παρὰ τοῦ θεοῦ τῶν ὅλων γεωργουμένη ἄμπελος, καὶ ὅσα ἄλλα δι' αἰνιγμάτων παρὰ τῆς θεοπνεύςου διδασκαλίας ἀκούομεν. Εἰ δὴ νενόηται ἡμῖν ἡ ὑψηλὴ γῆ ὑπεράνω τῶν

C οὐρανῶν θεωρουμένη, ἐφ' ἧς ἡ πόλις τοῦ βασιλέως συνῴκιςαι, περὶ ἧς τὰ δεδοξασμένα ἐλαλήθη, καθώς φησιν

Psalm. 87, 3. ὁ προφήτης, οὐκέτ' ἂν εἰκότως πρὸς τὴν τάξιν τῆς ἀκολουθίας τῶν μακαρισμῶν ξενιζοίμεθα. Οὐδὲ γὰρ εἰκὸς

---

4) M. γένος.

ein Ohr gehört, noch ist es in eines Menschen Herz gekommen): aber damit die gehoffte Seligkeit unserer Vorstellung sich nicht völlig entzöge, darum vernehmen wir die unaussprechlichen Dinge in solcher Darstellung, wie sie nach der Armseligkeit unserer Natur für uns faßlich sind. Möge also die gleiche Benennung „Erde“ deinen Geist, nachdem er bereits über den Himmeln ist, nicht wiederum auf die Erde herniederziehen, sondern, wenn du einmal von dem Worte des Herrn durch die ersten Seligkeiten emporgehoben worden bist, und den Boden der himmlischen Hoffnung betreten hast, dann forsche nach jener Erde welche keineswegs Aller Besitz ist, sondern nur derer welche ob der Sanftmuth ihres Wandels jener Verheißung für werth erachtet werden. Dieses Besitzthum scheint mir auch der große David, dem die heilige Schrift vor Allen, welche gleichzeitig mit ihm lebten, das Zeugniß der Sanftmuth und Duldung giebt, vom heiligen Geist belehrt schon im Sinn gehabt, und durch den Glauben das Erhoffte bereits erlangt zu haben, wenn er sagt, Ich glaube, auf daß ich sehe die Güter des Herrn im Lande der Lebendigen. Denn ich sage daß der Prophet nicht diese Erde, welche alles Sterbliche erzeugt und alles was aus ihr seinen Ursprung genommen wiederum in sich auflöst, damit genannt hat, sondern er hatte eine Erde der Lebendigen im Sinn, welche der Tod nicht betreten hat, auf welcher der Weg der Sünder nicht beschritten worden ist, welche keine Fußspur des Bösen in sich aufgenommen, welche der Säemann des Unkrauts nicht mit dem Pflug der Bosheit zerrissen hat, welche nicht Disteln und Dornen erzeugt, auf welcher das Wasser der Ruhe und der Ort des frischen Grüns sich befindet und die vierfach getheilte Quelle, und der von dem Gott aller Dinge gepflegte Weinstock, und was uns sonst von der göttlichen Lehre der Schrift durch Gleichnisse genannt und bezeichnet wird. Wenn wir nun also die Erde droben, welche über den Himmeln geschaut wird, verstanden haben, auf welcher die Stadt des Königs erbaut ist, und über welche die herrlichen Dinge gepredigt wurden, wie der Prophet sagt, so wird uns begründeter Weise die Ordnung und Aufeinanderfolge der Seligkeiten nicht mehr befremden. Denn es wäre meiner

ἤν, οἶμαι, ταύτην [5] ἐν εὐλογίαις προκεῖσθαι ταῖς ἐλπίσι τὴν γῆν τοῖς ἁρπαγησομένοις, καθώς φησιν ὁ ἀπόςολος, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕ-
1 Thess. 4, 17. τως μέλλουσι πάντοτε σὺν κυρίῳ ἔσεσθαι. Τίς οὖν ἔτι χρεία τῆς κάτω γῆς, οἷς ἡ ζωὴ μετάρσιος ἐν ἐλπίσιν ἐςίν; ἁρπαγησόμεθα γὰρ ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου
D εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. Ἀλλ' ἴδωμεν τίνος ἀρετῆς γέρας ἡ ἐκείνης τῆς γῆς κληρονομία πρόκειται. Μακάριοι γάρ, φησὶν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Τί τὸ πρᾶον; καὶ περὶ τί τὸ πρᾶον μακαρίζει ὁ λόγος; οὐ γάρ μοι δοκεῖ πάντα ἐπίσης ἀρετὴν οἴεσθαι δεῖν, ὅσα ἂν ἐν πραότητι γίνεται, εἰ τὸ ἠρεμαῖόν τε καὶ βραδὺ μόνον διὰ τῆς λέξεως ταύτης σημαίνοιτο. Οὔτε γὰρ ἐν δρομεῦσιν ὁ πρᾶος ἀμείνων
p. 775. A τοῦ ἐπισπεύδοντος, οὔτε ὁ δυςκίνητος ἐν πυκτικῇ τὸν κατὰ τοῦ ἐναντίου ςέφανον αἴρεται, κἂν τρέχωμεν πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐπιτείνειν ὁ Παῦλος συμ-
1 Cor. 9, 24. βουλεύει τὸ τάχος, λέγων, Οὕτω τρέχετε, ἵνα καταλάβητε· ἐπεὶ καὶ αὐτὸς διὰ σφοδροτέρας ἀεὶ τῆς κινήσεως τοῦ πρόσω εἴχετο, τῶν ὀπίσω λήθην ποιούμενος, καὶ πυκτεύων εὐκίνητος ἦν. Διεώρα γὰρ τοῦ ἀνθεςῶτος τὴν προςβολὴν, καὶ περὶ τὴν βάσιν ἀσφαλὴς [6] ὢν, καὶ ταῖς χερσὶ καθωπλισμένος, οὐ κατὰ κενοῦ τινος καὶ ἀνυποςάτου διαρ-
B ρίπτει τὸ περὶ τὰς χεῖρας ὅπλον, ἀλλὰ τῶν καιρίων τοῦ προςπαλαίοντος ἥπτετο, κατ' αὐτοῦ τοῦ σώματος τὰς πληγὰς φέρων. Βούλει γνῶναι τοῦ Παύλου τὴν πυκτικήν; ἴδε τὰς ὠτειλὰς τοῦ ἀνταγωνιζομένου, ἴδε τὰ ὑπώ-
2 Cor. 11, 27. πια τοῦ ἀντιπάλου, ἴδε τὰ ςίγματα τοῦ ἡττηθέντος. Πάντως δὲ οὐκ ἀγνοεῖς τὸν ἀντίπαλον τὸν διὰ τῆς σαρκὸς προςπαλαίοντα, ὃν ὑπωπιάζει διὰ τῆς πυκτικῆς, ἀμύσσων τοῖς ὄνυξι τῆς ἐγκρατείας, οὗ νεκροῖ τὰ μέλη λιμῷ καὶ δίψει καὶ ψύχει καὶ γυμνότητι, ᾧ τὰ ςίγματα τοῦ
C κυρίου ἐπιβάλλει, ὃν νικᾷ διὰ τοῦ δρόμου κατόπιν ἑαυτοῦ καταλιπὼν, ὡς ἂν μὴ ἐπισκοτοῖτο τὰς ὄψεις τοῦ ἀντιπάλου προτρέχοντος. Εἰ οὖν ὀξὺς καὶ εὐκίνητος τὸν

5) ἐν fehlt bei M. — 6) M. ἦν.

Meinung nach unwahrscheinlich daß diese Erde im Segen versprochen sei den Hoffnungen derer welche, wie der Apostel sagt, in den Wolken entgegengerückt werden sollen dem Herrn in der Luft, und so mit dem Herrn sein allezeit. Was haben wir also noch Noth der unteren Erde, wenn wir ein Leben in den Höhen zu hoffen haben? Denn wir werden dahingerückt werden in den Wolken, dem Herrn entgegen in der Luft, und werden so mit dem Herrn sein allezeit. Sehen wir aber doch zu als welcher Tugend Preis der Besitz jener Erde versprochen ist. Selig, heißt es, sind die Sanftmüthigen, denn sie werden das Erdreich besitzen. Was ist die Sanftmuth und weßhalb preist das Wort des Herrn die Sanftmuth selig? Denn mir scheint nicht Alles in gleicher Weise als Tugend gelten zu dürfen was mit Sanftmuth geschieht, wenn mit diesem Ausdruck allein die Ruhe und Langsamkeit bezeichnet werden soll. Denn weder unter Läufern ist der Sanftmüthige besser als der welcher eilt, noch gewinnt im Faustkampf der Schwerfällige den Siegeskranz vor seinem Gegner, und wenn wir nach dem Preis unserer himmlischen Berufung laufen, räth Paulus die Schnelligkeit anzuspornen, mit den Worten, Laufet so daß ihr es ergreifet! Er selbst strebte ja auch immer in rascherer Bewegung vorwärts, indem er das was er hinter sich ließ der Vergessenheit übergab, und war voll Regsamkeit im Kampfe. Denn er suchte den Angriff des Gegners zu durchschauen, und stand festen Fußes, und mit gerüsteten Händen und focht nicht mit der Waffe seiner Hände gegen etwas Leeres und Nichtiges, sondern traf die rechten Stellen und den Körper des Gegners selbst mit seinen Streichen. Willst du Paulus Kampfgeschick kennen lernen, so blicke auf die Wunden und Beulen seines Gegners, blicke auf die Schmarren dessen den er besiegt hat. Ohne Zweifel kennst du den Gegner, der durch das Fleisch widerkämpft, welchen er mit der Kraft seiner Faust trifft, und mit den Nägeln der Enthaltsamkeit zerfleischt, dessen Glieder er durch Hunger und Durst und Kälte und Blöße abtödtet, dem er die Wundenmale des Herrn schlägt, welchen er im Laufe besiegt und hinter sich läßt, damit sein Antlitz nicht verdunkelt werde, wenn der Feind ihm

Psalm. 18, 36. τοῖς ἀγῶσιν ὁ Παῦλος, καὶ ὁ Δαβὶδ πλατύνει τὰ δια-
Cantic. 2, 8. βήματα τοῖς ἐχθροῖς ἐπιτρέχων, καὶ ὁ νυμφίος ἐν τῷ ᾄσματι δορκάδι κατὰ τὸ εὐκίνητον ὁμοιοῦται, ὄρη διαπηδῶν καὶ βουνοῖς ἐφαλλόμενος, καὶ πολλὰ τοιαῦτα ἔςιν εἰπεῖν ἐν οἷς προτιμότερον εὑρίσκεται τῆς πρᾳότητος τὸ κατὰ τὴν κίνησιν τάχος, πῶς ἐνταῦθα ἐν κα-
D τορθώματος εἴδει μακαρίζει τὸ πρᾷον ὁ λόγος; μακάριοι γάρ, φησίν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν, ἐκείνην πάντως τὴν γῆν τὴν τῶν καλῶν εὔφορον γεννημάτων, τὴν τῷ ξύλῳ τῆς ζωῆς κομῶσαν, τὴν ταῖς πηγαῖς τῶν πνευματικῶν χαρισμάτων κατάῤῥυτον, ἐφ᾽ ἧς ἡ ἄμπελος ἡ ἀληθινὴ βλαςάνει, ἧς γεωργὸν τὸν πατέρα
Joann. 14, 8. τοῦ κυρίου ἀκούομεν. Ἀλλ᾽ ἔοικεν τοιοῦτόν τι φιλοσοφεῖν ὁ λόγος, ὅτι πολλὴ πρὸς τὴν κακίαν ἐςὶν ἡ εὐκολία, καὶ ὀξύῤῥοπον ἐπὶ τὸ χεῖρον ἡ φύσις. Καθάπερ [7] γὰρ τὰ βαρέα τῶν σωμάτων πρὸς μὲν τὰ ἄνω παντάπασιν
p. 776. A ἀκίνητα μένει, εἰ δέ τινος ἀκρωρείας ὑψηλῆς ἐπὶ τὸ πρανὲς ἀποσεισθείη, τοσούτῳ ῥοίζῳ πρὸς τὸ ὑποκείμενον φέρεται, τοῦ οἰκείου βάρους τὴν φορὰν ἐπιτείνοντος, ὡς ὑπὲρ λόγον εἶναι τὸ τάχος. Ἐπεὶ οὖν χαλεπόν ἐςιν ἡ ἐν τούτοις ὀξύτης, μακαριςὸν ἂν εἴη πάντως τὸ ἐξ ἀντιςρόφου νοούμενον. Τοῦτο δέ ἐςι πρᾳότης, ἡ πρὸς τὰς τοιαύτας τῆς φύσεως ὁρμᾶς βραδεῖά τε καὶ δυςκίνητος ἕξις. Καθάπερ γὰρ τὸ πῦρ, ἀεικίνητον τὴν φύσιν ἐπὶ τὰ ἄνω ἔχον, ἀκίνητόν ἐςι κατὰ τὴν ἐναντίαν φορὰν, τὸν αὐτὸν τρόπον καὶ ἡ ἀρετὴ, πρὸς τὰ ἄνω καὶ ὑπερκείμενα
B ὀξεῖά τις οὖσα καὶ οὐχ ὑφιεῖσά ποτε τῆς ταχύτητος, πεπέδηται πρὸς τὴν ἐναντίαν ὁρμήν. Οὐκοῦν ἐπειδὴ πλεονάζει κατὰ τὴν φύσιν ἡμῶν ἡ πρὸς τὰ κακὰ ταχύτης, καλῶς τὸ ἐν τοῖς τοιούτοις ἠρεμοῦν μακαρίζεται. Τὸ γὰρ ἡσύχιον ἐν τούτοις τῆς πρὸς τὰ ἄνω κινήσεως μαρτυρία γίνεται. Κρεῖττον δ᾽ ἂν εἴη δι᾽ αὐτῶν τῶν κατὰ τὸν βίον

7) γάρ fehlt in den Ausg.

voraus ist. War also Paulus rasch und gewandt in seinen Kämpfen, und erweitert David seine Schritte, wenn er den Feinden zum Angriff entgegenstürzt, und wird der Bräutigam in dem hohen Liede an Raschheit der Gazelle verglichen, hüpfend auf den Bergen, und springend auf den Hügeln, und können viele derartige Stellen angeführt werden worin die Schnelligkeit der Bewegung als der Sanftmuth vorzuziehen erfunden wird, wie kommt es daß das Wort des Herrn sie hier wie einen sittlichen Vorzug selig preist? Denn, heißt es, selig sind die Sanftmüthigen, denn sie werden das Erdreich besitzen, jene Erde ohne Zweifel, welche herrliche Früchte bringt, welche vom Baume des Lebens grünt, welche durchströmt ist von den Quellen der geistlichen Gnadengaben, auf welcher der wahre Weinstock sproßt, welchen, wie wir hören, der Vater des Herrn baut. Mir scheint das Wort etwa diese Lehre auszusprechen, daß der Abweg zum Bösen sehr leicht, und die Natur ein Ding sei was sich dem Schlimmeren schnell zuneige; denn sie bleibt ohne alle Bewegung nach Oben gleichwie die schweren Körper, welche hingegen, wenn sie von einer hohen Bergspitze jäh hinabgeschleudert werden, weil die Schwere die Schnelligkeit beschleunigt, mit solcher Gewalt in die Tiefe stürzen daß die Schnelligkeit nicht geschildert werden kann. Weil diese Schnelligkeit nun ein böses Ding ist, so darf wohl sicherlich das Gegentheil davon als ein Glück zu preisen sein. Dieses Gegentheil aber ist Sanftmüth, diejenige Verfassung welche langsam und schwer zu solchen heftigen Erregungen der Natur gebracht werden kann. Denn gleichwie das Feuer, welches seiner Natur nach in fortwährender Bewegung nach Oben strebt, ohne Trieb nach dem entgegengesetzten Weg ist, eben so strebt die Tugend mit lebendiger Kraft nach Oben und dem was über uns liegt, ohne je von ihrer Schnelligkeit einzubüßen, ist aber nach der entgegengesetzten Richtung zu streben gehindert. Da nun also in unserer Natur die Schnelligkeit im Abfall zum Bösen sehr groß ist, so wird die Ruhe in dieser Beziehung mit Recht selig gepriesen; denn diese Langsamkeit wird zum Zeugniß der nach Oben gerichteten Bewegung. Es dürfte aber wohl besser sein durch aus dem Leben gegriffene Beispiele selbst das Verständniß deutlich zu

υποδειγμάτων σαφηνίσαι τὸν λόγον. Διπλῆ τῆς ἑκάςου προαιρέσεώς ἐςιν ἡ κίνησις, κατ' ἐξουσίαν πρὸς τὸ δοκοῦν προϊοῦσα, ἔνθεν πρὸς σωφροσύνην, ἐκεῖθεν πρὸς τὸ ἀκόλαςον. Ὁ δ' ἐπὶ μεροὺς εἴρηται τοῦ κατὰ τὴν ἀρε-
C τὴν καὶ κακίαν εἴδους, τοῦτο καὶ ἐπὶ παντὸς νοείσθω. Σχίζεται γὰρ πάντως πρὸς τὰς ἐναντίας ὁρμὰς τὸ ἀνθρώπινον ἦθος, ἢ θυμοῦ πρὸς ἐπιεικείαν ἀντιδιαιρουμένου, ἢ τύφου πρὸς μετριότητα, ἢ φθόνου πρὸς εὔνοιαν, ἢ δυςμενείας πρὸς ἀγαπητικὴν καὶ εἰρηνικὴν συνδιάθεσιν. Ἐπειδὴ τοίνυν ὑλώδης μὲν ὁ ἀνθρώπινος βίος, περὶ δὲ τὰς ὕλας τὰ πάθη, πᾶν δὲ πάθος ὀξεῖαν ἔχει καὶ ἀκατάσχετον τὴν ὁρμὴν πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος (βαρεῖα γὰρ καὶ κατωφερὴς ἡ ὕλη), διὰ τοῦτο μακαρίζει ὁ κύριος, οὐ τοὺς ἔξω πάθους ἐφ' ἑαυτῶν βιοτεύοντας
D (οὐ γὰρ δυνατόν ἐςιν ἐν ὑλώδει ζωῇ τὸν ἄϋλον καθ' ὅλου καὶ ἀπαθῆ κατορθωθῆναι βίον), ἀλλὰ τὸν ἐνδεχόμενον τῆς ἀρετῆς ὅρον ἐν τῇ διὰ σαρκὸς ζωῇ τὴν πρᾳότητα λέγει, καὶ ἱκανὸν εἰς μακαρισμὸν, τὸ πρᾶον εἶναί φησιν. Οὐ γὰρ καθόλου τὴν ἀπάθειαν νομοθετεῖ τῇ ἀνθρωπίνῃ
p. 777. A φύσει. Οὐδὲ γὰρ δικαίου νομοθέτου τὸ ταῦτα κελεύειν ὅσα ἡ φύσις οὐ δέχεται (τὸ γὰρ τοιοῦτον ὅμοιόν ἐςιν ὥςπερ ἂν εἴ τις τὰ ἔνυδρα μετοικίζοι πρὸς τὸν ἐναέριον βίον, ἢ τὸ ἔμπαλιν ἐπὶ τὸ ὕδωρ ὅσα τῷ ἀέρι ἐμβιοτεύει)· ἀλλὰ τῇ οἰκείᾳ καὶ κατὰ φύσιν δυνάμει πρόςφορον εἶναι προςήκει τὸν νόμον. Διὰ τοῦτο τὸ μέτριόν τε καὶ πρᾷον ὁ μακαρισμὸς, οὐ τὸ παντάπασιν ἀπαθὲς ἐγκελεύεται· τὸ μὲν γὰρ ἔξω τῆς φύσεως, τὸ δὲ δι' ἀρετῆς κατορθούμενον. Εἰ οὖν τὸ ἀκίνητον πρὸς ἐπιθυμίαν ὁ μακαρισμὸς ὑπετίθετο, ἀνόνητος ἂν ἦν τῷ βίῳ καὶ ἄχρηςος ἡ
B εὐλογία. Τίς γὰρ ἂν τοῦ τοιούτου καθίκοιτο σαρκὶ καὶ αἵματι συνεζευγμένος; νυνὶ δέ φησιν οὐ τὸν ἐπιθυμήσαντα κατά τινα συντυχίαν εἶναι κατάκριτον, ἀλλὰ τὸν ἐκ

machen. Doppelt ist die Bewegung des Willens jedes Einzelnen, die frei waltend zum Entschluß vorschreitet, hier eine zu maßvollem dort eine zu ausgelassenem und rücksichtslosem Handeln. Was aber im Besondern von dem Wesen der Tugend und der Schlechtigkeit gesagt ist, das mag man auch vom Ganzen annehmen. Denn das Gemüth des Menschen spaltet sich ganz und gar nach den entgegengesetzten Bestrebungen, indem sich Zorn der Billigkeit, Hoffahrt der Bescheidenheit, Neid dem Wohlwollen, feindseliger Haß liebevoller und friedlicher Stimmung gegenüberstellt. Da nun das menschliche Leben ein materiales ist, die Leidenschaften aber sich um die Materie bewegen, ferner jede Leidenschaft einen heftigen und unaufhaltsamen Trieb zur Erfüllung ihres Wunsches hat (schwer nämlich und nach Unten strebend ist die Materie), darum preist der Herr selig, nicht die welche außerhalb des Gebiets der Leidenschaft für sich leben (denn es ist unmöglich in der Materie das völlig immateriale und leidenschaftslose Leben zur Durchführung zu bringen), sondern er bezeichnet mit der Sanftmuth den im fleischlichen Leben möglichen Grad von Tugend, und spricht es aus daß die Sanftmuth zur Erlangung der Seligkeit geschickt und ausreichend sei. Nicht völlige Leidenschaftslosigkeit schreibt er der menschlichen Natur als Gesetz vor. Denn kein gerechter Gesetzgeber würde befehlen was die Natur nicht zu leisten vermag (dies wäre ja ähnlich wie wenn man die Wassergeschöpfe in das Leben an der Luft, oder umgekehrt was in der Luft lebt ins Wasser versetzen wollte); sondern das Gesetz muß der innewohnenden und natürlichen Kraft entsprechend sein. Darum stellt uns die Seligpreisung Maßhalten und Sanftmuth, keineswegs aber völlige Leidenschaftslosigkeit, als Gebot auf; denn Dies liegt außerhalb der Grenzen der menschlichen Natur, Jenes aber ist eine That der Tugend. Würde uns die Seligpreisung also unbewegliche Festigkeit gegen die Begierde ans Herz legen, so würde ihr Segen für das Leben ohne Nutzen und Anwendung sein; denn wer würde so lange er an Fleisch und Blut gekettet ist Solches erreichen können? So erklärt sie aber nicht denjenigen welcher zufällig einmal begehrlich gewesen ist, sondern den der mit Vorbedacht sich die Leidenschaft zu-

προνοίας τὸ πάθος ἐπισπασάμενον. Τὸ μὲν γὰρ ἐγγενέσθαι ποτὲ τοιαύτην ὁρμὴν ἡ συγκεκραμένη τῇ φύσει πολλάκις ἀσθένεια καὶ παρὰ γνώμην παρασκευάζει, τὸ δὲ μὴ χειμάῤῥου δίκην παρενεχθῆναι τῇ τοῦ πάθους ὁρμῇ, ἀλλ᾽ ἀνδρικῶς πρὸς τὴν τοιαύτην διάθεσιν ςῆναι, καὶ τοῖς λο-
C γισμοῖς τὸ πάθος ἀπώσασθαι, τοῦτο τῆς ἀρετῆς ἔργον ἐςίν. Μακάριοι τοίνυν οἱ μὴ ὀξύῤῥοποι πρὸς τὰς ἐμπαθεῖς τῆς ψυχῆς κινήσεις, ἀλλὰ κατεςαλμένοι τῷ λόγῳ, ἐφ᾽ ὧν ὁ λογισμὸς καθάπερ τις χαλινὸς ἀναςομιῶν τὰς ὁρμὰς οὐκ ἐᾷ τὴν ψυχὴν πρὸς ἀταξίαν ἐκφέρεσθαι. Μᾶλλον δ᾽ ἄν τις ἐπὶ τοῦ κατὰ τὸν θυμὸν πάθους τὸ τοιοῦτον ἴδοι, ὅπως ἐςὶ μακαριςὸν ἡ πρᾳότης. Ἐπειδὰν γὰρ
[8] ἢ λόγος, ἢ πρᾶξις, ἤ τις ὑπόνοια τῶν ἀηδεςέρων τὴν τοιαύτην ἀνακινήσῃ νόσον, καὶ περιζέσῃ τῇ καρδίᾳ τὸ αἷ-
D μα, καὶ διαναςῇ πρὸς ἄμυναν ἡ ψυχὴ, καθάπερ οἱ μῦθοι διὰ φαρμακοποσίας τινὸς εἰς ἀλίγων μορφὰς ἀλλοιοῦσι τὴν φύσιν, οὕτως ἔςιν ἐξαίφνης ἰδεῖν σῦν, ἢ κύνα, ἢ πάρδαλιν, ἢ ἄλλο τι τῶν τοιούτων θηρίων ἐκ τοῦ θυμοῦ τὸν ἄνδρα γενόμενον. Ὕφαιμος ὀφθαλμὸς, θρὶξ ἐςαμένη καὶ ἐπιφρίσσουσα, φωνὴ τραχεῖα καὶ ἐποξυνομένη τοῖς ῥήμασιν, γλῶσσα τῷ πάθει νεναρκηκυῖα καὶ οὐχ ὑπηρετοῦσα ταῖς ἔνδον ὁρμαῖς, χείλη πεπηγότα καὶ οὐ διαρθροῦντα τὸν λόγον, οὔτε περιςέλλοντα τῷ ςόματι τὴν ἐγγενομένην
p. 778. ὑπὸ τοῦ πάθους ὑγρότητα, ἀλλ᾽ ἀσχημόνως τὸν ἀφρὸν τῇ
A φωνῇ συνεκπτύοντα, τοιαῦται αἱ χεῖρες, τοιοῦτοι οἱ πόδες, τοιαύτη πᾶσα τοῦ σώματος ἡ διάθεσις, ἑκάςου τῶν μελῶν συνδιατιθεμένου τῷ πάθει. Εἰ οὖν ὁ μὲν τοιοῦτος εἴη, ὁ δὲ πρὸς τὸν μακαρισμὸν βλέπων διὰ τῶν λογισμῶν καταπραΰνοι τὴν νόσον, ἐν καθεςῶτι τῷ βλέμματι καὶ ἠρεμαίᾳ τῇ φωνῇ, καθάπερ τις ἰατρὸς ἐκ φρενίτιδος ἀσχημονοῦντα θεραπεύων τῇ τέχνῃ, ἆρ᾽ οὐχὶ καὶ αὐτὸς ἐρεῖς ἀντιπαραθεὶς τοῦτο ἐκείνῳ, ὅτι ἐλεεινὸς μὲν καὶ

---

8) M. ἐπειδὰν γὰρ λόγος, ἢ πρᾶξίς τις ἢ ὑπόνοια.

gezogen für verdammenswerth. Denn daß uns zuweilen ein solch begehrlicher Drang ankommt, das bewirkt oftmals die der Natur beigemischte Ohnkraft auch gegen unseren Willen; allein daß wir nicht in dem Sturz der Leidenschaft wie ein Wildbach fortgerissen werden, vielmehr männlich gegen eine solche Stimmung Stand halten, und durch Vernunftgründe die Leidenschaft zurücktreiben, das ist das Werk der Tugend. Selig also sind die welche sich nicht schnell den leidenschaftlichen Bewegungen der Seele hingeben, sondern welchen die Besonnenheit Ruhe giebt, deren Begierden die Vernunft wie ein Zügel hemmt und die Seele nicht zur Unordnung durchgehen läßt. In noch höherem Grade aber dürfte man an der Leidenschaft des Zornes ersehen ein wie seliges Gut die Sanftmuth ist. Denn wenn ein Wort, oder eine Handlung, oder ein schlimmer Verdacht diese Krankheit erregt hat, und das Blut um das Herz in heftige Wallung gekommen ist, und die Seele zur Rache aufsteht, da kann man so wie die Fabeln durch einen Zaubertrank die Natur in Gestalten unvernünftiger Thiere sich verwandeln lassen, den Menschen durch den Zorn plötzlich zum Eber, oder Hund, oder Panther, oder ein ähnliches wildes Thier geworden sehen. Ein blutunterlaufenes Auge, emporgerichtetes und sich sträubendes Haar, eine rauhe und vom Sprechen immer noch mehr geschärfte Stimme, eine von der Leidenschaft gelähmte und der inneren Aufregung den Dienst versagende Zunge, unbewegliche und die Rede nicht artikulierende Lippen, welche die von der leidenschaftlichen Erregung entstehende Feuchtigkeit im Munde nicht festhalten, sondern häßlicher Weise den Geifer mit den Worten zugleich aussprudeln, so die Hände, so die Füße, so die Verfassung des ganzen Körpers, indem jedes Glied von der Leidenschaft zugleich in Mitaufregung versetzt wird. Wenn diese nun so sich darstellt, hingegen derjenige welcher auf die Seligkeit sein Augenmerk gerichtet hält durch die Mittel der Vernunft die Krankheit beschwichtigt, in festem Blick und ruhiger Stimme, gleichwie ein Arzt welcher mit seiner Kunst einen sich wild gebärdenden Wahnsinnigen behandelt, wirst du dann nicht auch selbst im Vergleich dieses Zustandes mit jenem erklären daß jener einem Thier gleichende Mensch ein bedauerns- und verabscheuenswerther

βδελυκτὸς ὁ θηριώδης ἐκεῖνος, μακαριςὸς δὲ ὁ πραῢς
B τῇ τοῦ πέλας κακίᾳ μὴ συνδιαςρέψας τὸ εὔσχημον; Καὶ
ὅτι πρὸς τοῦτο μάλιςα τὸ πάθος ὁ λόγος βλέπει, δῆλόν
ἐςιν ἐκ τοῦ μετὰ τὴν ταπεινοφροσύνην νομοθετῆσαι ἡμῖν
τὴν πρᾳότητα. Ἔοικε γὰρ ἔχεσθαι τοῦ ἑτέρου τὸ ἕτερον,
καὶ οἷον μητήρ τις εἶναι τῆς κατὰ τὸ πρᾷον ἕξεως ἡ τῆς
ταπεινοφροσύνης κατάςασις. Εἰ γὰρ ὑφέλοις τοῦ ἤθους
τὸν τύφον, καιρὸν οὐκ ἔχει τὸ κατὰ θυμὸν ἐγγενέσθαι
πάθος. Ὕβρις γὰρ καὶ ἀτιμία τῆς τοιαύτης ἀῤῥωςίας
τοῖς ὀργισθεῖσιν αἰτία γίνεται. Ἀτιμία δὲ οὐχ ἅπτεται
τοῦ ἑαυτὸν [9] ἐν ταπεινοφροσύνῃ παιδαγωγήσαντος. Εἰ
γάρ τις κεκαθαρμένον ἔχοι τὸν λογισμὸν ἐκ τῆς ἀνθρω-
C πίνης ἀπάτης, καὶ βλέποι τὸ οὐτιδανὸν τῆς φύσεως ᾗ συγ-
κεκλήρωται, ἀφ᾽ οἵας ἀρχῆς τὴν σύςασιν ἔχει, καὶ εἰς ὅ τι
φέρεται τέλος τό [10] τε βραχὺ καὶ ὠκύμορον τῆς τῇδε ζωῆς,
καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥύπον, καὶ τὸ πενιχρὸν
τῆς φύσεως τὸ μὴ εἶναι αὐτὴν αὐτάρκη δι᾽ ἑαυτῆς πρὸς
τὴν ἰδίαν σύςασιν, εἰ μὴ τῇ περιουσίᾳ τῶν ἀλόγων τὸ
ἐνδέον ἀναπληρώσειεν, λύπας τε πρὸς τούτοις καὶ πένθη
καὶ συμφορὰς, τάς τε πολυτρόπους τῶν νοσημάτων ἰδέας
D αἷς ὑπόκειται ἡ ἀνθρωπίνη ζωὴ, ὧν οὐκ ἔςιν ὅςτις ἐκ
φύσεως ἀτελὴς ἐςι καὶ ἐλεύθερος. Ταῦτα δι᾽ ἀκριβείας
κεκαθαρμένῳ τῷ τῆς ψυχῆς ὀφθαλμῷ βλέπων οὐκ ἂν
ῥᾳδίως πρὸς τὰς τῶν τιμῶν ἐλλείψεις ἀγανακτήσειεν, τὸ
ἐναντίον μὲν οὖν ἀπάτην ἡγήσεται τὴν ἐπί τινι προςαγο-
μένην αὐτῷ παρὰ τοῦ πέλας τιμὴν, οὐκ ὄντος ἡμῖν ἐν τῇ
φύσει τοιούτου τινὸς ὃ δύναται τὴν πρὸς τὸ τίμιον κοι-
νωνίαν ἔχειν, εἰ μὴ κατὰ ψυχὴν μόνον, ἧς ἡ τιμὴ οὐκ
ἀπὸ τῶν κατὰ τὸν κόσμον τοῦτον ἐπιζητουμένων συνίςα-
p. 779. ται. Τὸ γὰρ ἐπὶ πλούτῳ κομπάζειν, ἢ γένει σεμνύνεσθαι,
A ἢ πρὸς δόξαν ὁρᾷν, ἢ τὸ δοκεῖν ὑπὲρ τὸν πέλας εἶναι,
δι᾽ ὧν αἱ ἀνθρώπιναι πληροῦνται τιμαὶ, ταῦτα πάντα
καθαίρεσις τῆς ψυχικῆς τιμῆς καὶ ὄνειδος γίνονται, ὡς
μὴ ἂν ἑλέσθαι τὸν λελογισμένον τοιούτῳ τινὶ τὸ καθα-

9) ἐν fehlt in den Ausg. — 10) τε fehlt in den Ausg.

sei, hingegen selig zu preisen der Sanftmüthige, welcher sein geziemendes und sittsames Wesen von der Untugend seines Nächsten nicht mit verkehren läßt? Und daß sich das Wort des Herrn hauptsächlich auf diese Leidenschaft bezieht, geht daraus deutlich hervor daß er nach der Demuth uns die Sanftmuth zum Gesetz gemacht hat; denn Eins scheint mit dem Andern zusammenzuhangen, und die Demuth gleichsam Mutter der Sanftmuth zu sein. Nimmst du die Hoffahrt aus deinem Herzen, so hat die Leidenschaft keine Gelegenheit sich dort festzusetzen; denn Uebermuth und Beschimpfung gewähren die Veranlassung zur Krankheit des Zorns; Beschimpfung aber übt keinen Einfluß auf den welcher sich in Demuth geübt und erzogen hat. Denn wenn Jemand einen von dem menschlichen Trugwerk reinen und geklärten Verstand hat und seinen Blick richtet auf die Richtigkeit der Natur welche ihm zu Theil geworden ist, und sieht von welchem Anfang sie ihre Existenz hat, und in welches Ende die Kürze und schnelle Hinfälligkeit dieses Lebens verläuft, und welcher Schmuz mit dem Fleische verbunden ist, und die Armseligkeit der Natur, daß sie ohne Kraft ist ihre Existenz durch sich selbst zu fristen, wenn sie nicht durch den Reichthum der unvernünftigen Thiere das Fehlende ergänzt, dazu Schmerzen, und Trauer, und Mißgeschick, und die vielfachen Arten von Krankheiten, welchen das menschliche Leben unterworfen ist, von welchen Dingen von Natur Niemand verschont und frei sein kann, — wenn er also dieses mit dem klaren Auge der Seele aufmerksam betrachtet, so wird er wohl nicht leicht in Unmuth gerathen darüber daß die Ansprüche seines Ehrgeizes nicht erfüllt werden, im Gegentheil, er wird die ihm von seinem Nächsten aus irgend welcher Rücksicht dargebrachte Ehre für Trug halten, weil unsere Natur nichts derartiges besitzt was Gemeinschaft mit der Ehre haben kann, es wäre denn allein in Bezug auf unsere Seele, deren Ehre aber nicht in den Dingen besteht nach welchen man in dieser Welt strebt. Denn mit seinem Reichthum prahlen, oder mit seinem Herkommen sich brüsten, oder auf Ruhm sehen, oder sich über seinen Nächsten erhaben dünken, Dinge in welchen die menschlichen Ehren sich erfüllen, dies Alles wird zu einem Ruin und Schimpf der Ehre der Seele, so daß der einsichtsvolle Mensch

ρὸν τῆς ψυχῆς καταμολύνεσθαι. Τὸ δὲ οὕτως ἔχειν οὐδὲν ἕτερον ἢ ἐν ἕξει βαθείᾳ τῆς ταπεινοφροσύνης ἐςὶν εἶναι, ἧς κατορθωθείσης οὐδεμίαν εἴςοδον ὁ θυμὸς κατὰ τῆς ψυχῆς ἕξει. Τούτου δὲ μὴ παρόντος ὁ ἤρεμός τε καὶ
B ἡσύχιος κατορθοῦται βίος, ὅπερ οὐδὲν ἕτερον εἰ μὴ πραΰτης ἐςὶν, ἧς τὸ πέρας μακαρισμὸς καὶ οὐρανίας γῆς κληρονομία ἐν Χριςῷ Ἰησοῦ, [11] τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ γ΄.

C *Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.*

Οὔπω τῆς κορυφῆς τοῦ ὄρους ἐπιβεβήκαμεν, ἀλλ᾽ ἔτι κατὰ τὴν ὑπώρειαν τῶν νοημάτων ἐσμὲν, εἰ καὶ δύο τινὰς ἤδη παρωδεύσαμεν λόφους, ἐπὶ τὴν μακαριςὴν πτωχείαν
D καὶ τὴν ἀνωτέρω ταύτης πρᾳότητα διὰ τῶν μακαρισμῶν ἀναχθέντες, μεθ᾽ οὓς προςάγει τοῖς ὑψηλοτέροις ἡμᾶς ὁ λόγος, καὶ τρίτον ἡμῖν ἐφεξῆς ὕψωμα διὰ τῶν μακαρισμῶν ἀναδείκνυσι, πρὸς ὃ χρὴ πάντως ἀναδραμεῖν ὄκνον ἀποθεμένους πάντα καὶ τὴν εὐπερίςατον ἁμαρτίαν, καθώς
Hebr. 12, 1. φησιν ὁ ἀπόςολος, ὡς ἂν κοῦφοι καὶ εὐςαλεῖς ἐπὶ τῆς ἄκρας γενόμενοι καθαρωτέρῳ τῷ τῆς ἀληθείας φωτὶ διὰ τῆς ψυχῆς προςπελάσαιμεν. Τί τοίνυν ἐςὶ τὸ λεγόμενον; Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Γελάσει πάντως ὁ πρὸς τὸν κόσμον βλέπων, καὶ λέξει ταῦτα καταχλευάζων τὸν λόγον· Εἰ μακαρίζονται κατὰ
p. 780. A τὸν βίον οἱ ἐν πάσῃ συμφορᾷ δαπανωμένοι, ἄθλιοι κατὰ τὸ ἀκόλουθόν εἰσιν πάντως οἷς ἄλυπός τε καὶ ἀπήμων ἐςὶν ἡ ζωή· καὶ οὕτω τὰ εἴδη τῶν συμφορῶν ἐξαριθμούμενος πλεονάσει τὸν γέλωτα, τὰ τῆς χηρείας κακὰ καὶ τὴν τῆς ὀρφανίας ταλαιπωρίαν ὑπ᾽ ὄψιν ἄγων, τὰς ζημίας, τὰ

---

11) Die Worte τῷ κυρίῳ ἡμῶν fehlen in den Ausg.

mit etwas Derartigem die Reinheit derselben nicht beflecken wollen wird. So aber gesonnen sein ist nichts Anderes als sich in dem Zustand tiefer Demuth befinden, nach deren Befestigung der Zorn keinen Eingang mehr in die Seele haben wird. Ist dieses aber nicht mehr der Fall, dann wird ein ruhiges und stilles Leben die Folge sein, und dies ist nichts Anderes als Sanftmuth, deren Ende Seligkeit und Besitz der himmlischen Erde sein wird, in Christo Jesu, unserem Herrn, welchem gehört die Herrlichkeit und die Macht, von Ewigkeit zu Ewigkeit. Amen.

Dritte Rede.

Selig sind die da Leid tragen, denn sie sollen getröstet werden.

Noch haben wir den Gipfel des Berges nicht erstiegen, sondern befinden uns noch unter der Höhe der Gedanken, wenn wir auch zwei Hügel bereits überschritten haben, durch die Seligpreisungen hinaufgeführt zur seligen Armuth und zu der höher liegenden Sanftmuth, nach welchen uns das Wort des Herrn nun dem noch Erhabeneren entgegenleitet, und uns in seinen Seligpreisungen weiterhin eine dritte Anhöhe sehen läßt, welche wir durchaus ersteigen müssen, ablegend alles Zaudern und die uns leicht umstrickende Sünde, wie sie der Apostel nennt, auf daß wir leicht und ungehindert auf die Spitze gelangen und mit der Seele uns dem reineren Licht der Wahrheit nähern. Wie lautet also die Rede? Selig sind die da Leid tragen, denn sie sollen getröstet werden. Jedenfalls wird der welcher die Welt ansieht lächeln, und mit Spott gegen das Wort des Herrn so sprechen: Wenn diejenigen in ihrem Leben selig gepriesen werden welche von aller Art von Unglück abgequält werden, so folgt jedenfalls daß diejenigen unglücklich sind deren Leben ohne Schmerz und Leiden ist; und wird sein Gelächter nur steigern, indem er die verschiedenen Arten von Unglück aufzählt, die Leiden des Wittwenstandes und das Unglück des Verwaistseins vor Augen führt,

ναυάγια, τὰς ἐκ πολέμων αἰχμαλωσίας, τὰς ἀδίκους ἐν δικαςηρίῳ κρίσεις, μεθορισμούς τε καὶ δημεύσεις καὶ ἀτιμίας, τάς τε συμφορὰς τὰς ἐκ τῶν νόσων, οἷον πηρώσεις τε καὶ ἀκρωτηριασμοὺς, καὶ τὴν παντοδαπὴν τοῦ σώματος λώβην, καὶ εἴ τι τοῖς ἀνθρώποις κατὰ τὸν βίον τοῦ-
B τον συνίςαται πάθος, ἢ σώματος ἢ ψυχῆς ἁπτόμενον, πάντα τῷ λόγῳ διεξελεύσεται δι' ὧν, ὡς οἴεται, καταγέλαςον ἀποδείξει τὸν τοὺς πενθοῦντας μακαρίζοντα λόγον. Ἡμεῖς δὲ μικρὰ φροντίσαντες τῶν μικροψύχως τε καὶ ταπεινῶς ἀναθεωρούντων τὰ θεῖα νοήματα, ὡς ἔςι δυνατὸν, κατιδεῖν τὸν ἐγκείμενον τῷ εἰρημένῳ διὰ βάθους πλοῦτον ἐπιχειρήσωμεν, ὅπως ἂν φανερὸν καὶ διὰ [1] τούτου γένοιτο πόσον ἐςὶ τὸ διάφορον τῆς σαρκίνης τε καὶ χοϊκῆς διανοίας πρὸς τὴν ὑψηλήν τε καὶ ἐπουράνιον.

C Ἔςι μὲν οὖν ἐκ τοῦ προχείρου μακαριςὸν ὑπολαβεῖν ἐκεῖνο τὸ πένθος, τὸ ἐπὶ πλημμελήμασι καὶ ἁμαρτίαις
2 Cor. 7, 10. γινόμενον, κατὰ τὴν τοῦ Παύλου περὶ τῆς λύπης διδασκαλίαν, τοῦ φήσαντος μὴ ἓν εἶναι λύπης εἶδος, ἀλλὰ τὸ μὲν κοσμικὸν, τὸ δὲ κατὰ Θεὸν ἐνεργούμενον, καὶ τῆς μὲν κοσμικῆς λύπης θάνατον εἶναι τὸ ἔργον, τὴν δὲ ἑτέραν σωτηρίαν ἐκ μετανοίας τοῖς λυπουμένοις ἐργάζεσθαι. Τῷ ὄντι γὰρ οὐκ ἔξω τοῦ μακαρίζεσθαι τὸ τοιοῦτον τῆς ψυχῆς πάθος ἐςὶν, ὅταν ἐν αἰσθήσει γενομένη τοῦ χείρονος
D τὸν ἐν κακίᾳ βίον ἀπολοφύρηται. Καθάπερ γὰρ ἐπὶ τῶν σωματικῶν ἀῤῥωςημάτων οἷς ἂν πάρετον ἐξ ἐπηρείας τινὸς γένηταί τι μέρος τοῦ σώματος σημεῖον τοῦ νενεκρῶσθαι τὸ παρειμένον ἡ ἀναλγησία γίνεται, εἰ δὲ κατά τινα τέχνην ἰατρικὴν ἡ ζωτικὴ πάλιν αἴσθησις ἐπαναχθείη τῷ σώματι, χαίρουσιν ἤδη πονοῦντος τοῦ μέρους αὐτός τε ὁ κάμνων καὶ οἱ τὴν θεραπείαν προςάγοντες, τεκμηρίῳ χρώμενοι τοῦ πρὸς ὑγίειαν τρέψαι τὸ πάθος, τὸ ἐν αἰσθήσει τῶν δριμυσσόντων ἤδη γενέσθαι τὸ μέλος, οὕτως
Eph. 4, 19. ἐπειδὰν, καθώς φησιν ὁ ἀπόςολος, ἀπηλγηκότες τινὲς πα-
p. 781. A ραδῶσιν [2] ἑαυτοὺς τῷ καθ' ἁμαρτίαν βίῳ, νεκροί τινες

1) M. τοῦτο. — 2) ἑαυτοὺς steht in den Ausg. hinter βίῳ.

die Verluste, die Schiffbrüche, die Kriegsgefangenschaften, die ungerechten richterlichen Urtheile, die Verbannungen und Güterconfiskationen und Verlust der bürgerlichen Rechte und Ehren, ferner das Unglück was aus den Krankheiten entsteht, als Lähmungen und Verstümmelungen, und die vielerlei Arten von körperlichen Verletzungen und Schäden, und was in diesem Leben sonst noch für Leid sich gegen die Menschen feindlich verschwört, sei es daß es den Körper, sei es daß es die Seele trifft, Alles wird er aufzählen wodurch er, wie er meint, den Ausspruch welcher die Leidtragenden selig preist als lächerlich darstellen könnte. Wir aber wollen auf die welche die göttlichen Gedanken mit Kleinmuth und niedrigem Sinn betrachten wenig achten, und soweit es möglich ist, den in der Tiefe des Ausspruchs liegenden Reichthum uns zur Anschauung zu bringen versuchen, damit auch hierdurch deutlich werde, welcher Unterschied stattfindet zwischen dem fleischlichen und irdischen, und dem erhabenen und himmlischen Denken.

Man kann also gleich zunächst jenes Leid für ein seligzupreisendes annehmen welches auf Grund von Vergehen und Sünden entsteht, nach der Lehre des Paulus über die Traurigkeit, welcher sagt daß es nicht blos eine Art von Traurigkeit gebe, sondern eine weltliche, und eine göttlich gewirkte, und der Traurigkeit der Welt Werk sei der Tod, die andere aber schaffe den Traurigen Heil durch die Reue. In Wahrheit nämlich ist dieses Leiden der Seele, wenn sie das Böse gemerkt hat und nun das Leben in Schlechtigkeit bejammert, von der Seligpreisung nicht auszuschließen. Denn gleichwie bei den körperlichen Krankheiten, durch welche in Folge irgend welcher Verletzung ein Theil des Körpers erlahmt, die Schmerzlosigkeit ein Anzeichen ist daß das erschlaffte Glied abgestorben ist, und dagegen, wenn durch ärztliche Kunst das Lebensgefühl in den Körper zurückgeführt worden ist, sowohl der Kranke selbst als die welche ihn ärztlich behandeln und pflegen sich über den bereits schmerzenden Theil freuen, weil sie den Umstand daß das Glied nun die stechenden Schmerzen spürt als ein Zeichen betrachten daß die Krankheit sich der Genesung zuwendet, so giebt es auch welche die, nachdem sie, wie der Apostel sagt, stumpfsinnig geworden sind, sich dem sündigen Leben er-

οντως καὶ πάρετοι τοῦ κατ' ἀρετὴν βίου γενόμενοι οὐδεμίαν ἔχουσιν ὧν ποιοῦσιν τὴν αἴσθησιν, εἰ δὲ καθάψαιτό τις αὐτῶν ὁ ἰατρεύων λόγος, οἷον διά τινων θερμῶν τε καὶ διακαιόντων φαρμάκων, λέγω [3] δὴ τῶν σκυθρωπῶν τῆς μελλούσης κρίσεως ἀπειλῶν, καὶ διὰ βάθους τὴν καρδίαν τῷ φόβῳ τῶν προςδοκωμένων δριμύξειεν; γεέννης φόβον καὶ πῦρ μὴ σβεννύμενον καὶ ἀτελεύτητον σκώληκα καὶ βρυγμὸν ὀδόντων καὶ κλαυθμὸν ἀδιάλειπτον καὶ σκό-
B τος ἐξώτερον καὶ ἅπαντα τὰ τοιαῦτα οἷόν τινα θερμὰ καὶ δριμέα φάρμακα τῷ ναναρκηκότι διὰ τῶν καθ' ἡδονὴν παθημάτων ἐντρίβων καὶ ἀναθάλπων, εἰς αἴσθησίν [4] τε αὐτὸν ἀγάγοι τοῦ ἐν ᾧ ἦν βίου, μακαριςὸν αὐτὸν [5] ἀπεργάσεται, τὴν ὀδυνηρὰν αἴσθησιν τῇ ψυχῇ ἐμποιή-
1 Cor. 5,1. σας. Καθάπερ καὶ ὁ Παῦλος τὸν τῇ κοίτῃ τοῦ πατρὸς ἐπιλυσσήσαντα μέχρις ἐκείνου μαςίζει τῷ λόγῳ ἕως ἂν ἀναισθήτως εἶχεν τῆς ἁμαρτίας· ἐπεὶ δὲ καθίκετο τοῦ ἀνδρὸς ἡ τῆς ἐπιπλήξεως ἰατρεία, ὡς ἤδη μακάριον διὰ
C τοῦ πένθους γενόμενον παρακαλεῖν ἄρχεται, ἵνα μὴ τῇ
2 Cor. 2,7. περισσοτέρᾳ λύπῃ, φησὶ, καταποθῇ ὁ τοιοῦτος. Ἔςω δὲ καὶ τοῦτο ἡμῖν τὸ νόημα πρὸς τὴν προκειμένην τοῦ μακαρισμοῦ θεωρίαν εἰς τὸν κατ' ἀρετὴν βίον οὐκ ἄχρηςον, διὰ τὸ πλεονάζειν πως ἐν τῇ φύσει τῶν ἀνθρώπων τὴν ἁμαρτίαν· ταύτης δὲ φάρμακον τὸ ἐκ μετανοίας πένθος ἀποδέδεικται. Ἀλλά μοι δοκεῖ βαθύτερόν τι τῶν εἰρημένων ὑποσημαίνειν ὁ λόγος ἐν τῇ παρατατικῇ τοῦ πένθους ἐνεργείᾳ, ἄλλο τι παρὰ τοῦτο νοεῖν ὑφηγούμενος. Εἰ γὰρ μόνην τὴν ἐπὶ τῷ πλημμελήματι μεταμέλειαν ἐπε-
D δείκνυεν, ἀκολουθότερον ἂν ἦν τοὺς πενθήσαντας μακαρίζεσθαι, οὐ τοὺς εἰςαεὶ πενθοῦντας· ὡς ἐπὶ ὑποδείγματος συγκρίσει τῆς ἐν τῇ νόσῳ διαγωγῆς τοὺς θεραπευθέντας μακαρίζομεν, οὐ τοὺς εἰςαεὶ θεραπευομένους. Ἡ γὰρ παράτασις τῆς θεραπείας καὶ τὸ τῆς ἀῤῥωςίας διηνε-

3) M. δέ. — 4) τε fehlt in den Ausg. — 5) M. ἀπεργάσηται.

geben, und so in Wahrheit zu Todten und Erlahmten für das tugendhafte Leben geworden, keine Empfindung mehr für das haben was sie thun, wenn aber ein heilkräftiges Wort sie erfaßt, zum Beispiel mit gewissen heißen und durch und durch brennenden Mitteln, ich meine mit den schreckensvollen Drohungen des zukünftigen Gerichts, und das Herz gründlich durchbohrt und äzt mit der Furcht vor dem was sie einst zu gewärtigen haben, indem es den Schrecken der Hölle, und das Feuer was nicht verlischt, und den Wurm welcher nicht stirbt, und das Klappern der Zähne, und das Geheul ohne Ende, und die Finsterniß von Außen, und alles Derartige als heiße und ätzende Heilmittel dem durch die Leidenschaften der Lust Stumpfgewordenen einreibt und einschärft, und ihn dadurch zum Gefühl des Lebens in welchem er sich befindet bringt, so wird es dadurch daß es schmerzliche Empfindung in die Seele gebracht hat ihn zu einem Seligzupreisenden machen. Wie auch Paulus den welcher sich in wüthiger Lust an dem Lager seines Vaters vergangen hatte so lange mit seiner Rede geißelt als er sich unempfindlich gegen die Sünde verhielt, nachdem aber die Heilkraft der Züchtigung den Mann erfaßt hatte, ihn wie einen welcher durch die Traurigkeit bereits selig geworden zu trösten beginnt, damit er durch das Uebermaß des Schmerzes, wie er sich ausdrückt, nicht verschlungen werde. Also auch diese Erkenntniß soll uns bei der gegenwärtigen Betrachtung der Seligpreisungen für das Leben in der Tugend nicht unnützlich sein, weil die Sünde in der Natur des Menschen fast im Uebermaß vorhanden ist. Als ihr Heilmittel ist die aus der Reue entstehende Traurigkeit nachgewiesen worden. Indessen glaube ich daß das Wort des Herrn noch etwas Tieferes als das was gesagt ist in der dauernden Wirksamkeit des Leidtragens andeuten und uns auf einen anderen Gedanken hinleiten will. Denn wenn er allein die Reue über begangene Schuld meinte, so wäre es richtiger diejenigen selig zu preisen welche Leid getragen haben, nicht die welche immerwährend Leid tragen, wie wir mit beispielweisem Vergleich des Lebens in Krankheit die Geheilten glücklich preisen, nicht aber die welche immerfort unter ärztlicher Behandlung stehen. Denn die Fortdauer dieser Behandlung weist zugleich auf die

κὲς συνενδείκνυται. Καὶ ἄλλως δέ μοι δοκεῖ καλῶς ἔχειν μὴ τῷ τοιούτῳ μόνῳ νοήματι τίθεσθαι, ὡς τοῦ λόγου τοῖς ἐφ᾽ ἁμαρτίαις πενθοῦσιν τὸν μακαρισμὸν νέμοντος. Πολλοὺς γὰρ εὑρήσομεν ἀκατηγόρητον ἐσχηκότας τὸν βίον, καὶ
p. 782. ὑπ᾽ αὐτῆς τῆς θείας φωνῆς μεμαρτυρημένον ἐπὶ παντὶ
A τῷ βελτίονι. Ποία γὰρ πλεονεξία τοῦ Ἰωάννου; ποία εἰδωλολατρεία τοῦ Ἡλίου; τί μικρὸν ἢ μεῖζον κατὰ τὸν βίον ἐκείνων οἶδεν ἡ ἱστορία πλημμέλημα; Τί οὖν; ἆρα ἔξω τῆς μακαριότητος εἶναι ὁ λόγος αὐτοὺς ὑποθήσεται, τοὺς μήτε τὴν ἀρχὴν νενοσηκότας, μήτε τοῦ φαρμάκου τούτου, λέγω [6]δὴ τοῦ ἐκ μετανοίας πένθους, εἰς χρείαν ἐλθόντας; Ἢ ἄτοπον [7]ἂν εἴη τοὺς τοιούτους τῆς θείας μακαριότητος ἀποβλήτους οἴεσθαι, ὅτι μήτε ἥμαρτον, μή-
B τε πένθει τὴν ἁμαρτίαν ἰάσαντο, ἢ οὕτω γ᾽ ἂν εἴη τὸ ἁμαρτάνειν τοῦ ἀναμαρτήτως ζῆν προτιμότερον, εἰ μόνοις τοῖς μετανοοῦσιν ἡ τοῦ παρακλήτου χάρις ἀποκεκλήρωται. Μακάριοι γάρ, φησὶν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Οὐκοῦν ὡς ἔστι δυνατὸν ἑπόμενοι, καθώς
Habac. 3, 19. φησιν ὁ Ἀμβακοὺμ, τῷ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβῶντι πάλιν τὴν ἐγκειμένην διάνοιαν τοῖς εἰρημένοις ἀναζητήσωμεν, ὡς ἂν μάθοιμεν ποίῳ πένθει πρόκειται ἡ τοῦ πνεύματος τοῦ ἁγίου παράκλησις. Σκοπήσωμεν τοίνυν ἐν τῇ ἀνθρω-
C πίνῃ ζωῇ τί ποτε πρῶτον αὐτὸ τὸ πένθος ἐστὶν, καὶ ἐπὶ τίσιν συνίσταται. Οὐκοῦν πρόδηλον ἅπασιν τὸ τοιοῦτον, ὅτι πένθος ἐστὶ σκυθρωπὴ διάθεσις τῆς ψυχῆς ἐπὶ στερήσει τινὸς τῶν καταθυμίων συνισταμένη, ὅπερ ἐπὶ τῶν ἐν εὐθυμίᾳ διαβιούντων συνίστασθαι χώραν οὐκ ἔχει. Οἷον, εὐπραγεῖ τις κατὰ τὸν βίον, πάντα κατὰ ῥοῦν αὐτῷ διὰ τῶν ἡδέων τὰ πράγματα φέρεται, τῇ γαμετῇ ἐπευφραίνεται, τοῖς παισὶν ἐπαγάλλεται, διὰ τῆς τῶν ἀδελφῶν συμμαχίας ὠχύρωται, σεμνὸς κατὰ τὴν ἀγορὰν, τίμιος τοῖς δυ-
D ναστεύουσιν, φοβερὸς τοῖς ἀντιτεταγμένοις, ἀκαταφρόνητος τοῖς ὑποχειρίοις, φίλοις εὐπρόσιτος, πλούτῳ κομῶν, ἀ-

---

6) M. δέ. — 7) ἂν fehlt in den Ausg.

stetige Dauer der Krankheit. Aber auch aus einem anderen Grunde scheint es mir richtig das Wort des Herrn nicht allein so aufzufassen, und zu behaupten daß er denen welche ob ihrer Sünden Leid tragen die Seligkeit zuspreche. Denn wir werden viele finden welche ein unsträfliches und solches Leben führten dem selbst das Zeugniß der Stimme Gottes für jede Tugend nicht fehlte. War in Johannes eine Spur von Geiz? eine Spur von Götzendienst in Elias? Was kennt die Geschichte für ein kleineres oder größeres Vergehen in ihrem Leben? Wie nun? Wird etwa das Wort des Herrn sie von der Seligkeit ausschließen, sie, die überhaupt weder in Krankheit verfallen sind, noch dieses Heilmittels, ich meine der aus der Reue entstehenden Traurigkeit, je Noth gehabt haben? Entweder wäre es abgeschmackt von solchen Menschen anzunehmen daß sie von der göttlichen Seligkeit ausgeschlossen seien, darum weil sie weder gesündigt, noch durch Leidtragen die Sünde wieder gut gemacht und geheilt hätten, oder das Sündigen würde auf diese Weise besser sein als ohne Sünde zu leben, wenn nur den Bereuenden die Gnade des Trösters beschieden ist. Denn, heißt es, Selig sind die da Leid tragen, denn sie werden getröstet werden! Wir wollen also nach Möglichkeit dem folgen welcher, wie Habakuk sagt, auf die Höhen führt, und wiederum den in den Worten liegenden Sinn ausfindig zu machen suchen, damit wir erfahren welcher Art von Trauer der Trost des heiligen Geistes bestimmt ist. Betrachten wir demnach zuerst im menschlichen Leben was die Traurigkeit an sich ist, und woraus sie entsteht. Da ist denn Allen das klar daß die Traurigkeit eine trübe Stimmung der Seele ist, welche ihren Ursprung in dem Verlust eines uns theuren und lieben Gegenstandes hat. Diese hat keine Gelegenheit bei denen einzutreten welche in Fröhlichkeit ihr Leben hinbringen. Zum Beispiel, es geht Einem wohl im Leben, alle Angelegenheiten gehen ihm nach Wunsch und wie von selbst, er hat Freude an seiner Gattin, ist stolz auf seine Kinder, er hat in seinen Brüdern einen schützenden Beistand, er ist geachtet im öffentlichen Leben, geehrt bei den Machthabern, bei seinen Untergebenen wohl in Achtung, Freunden zugänglich, in der Fülle des Reichthums genußfähig, behaglich, ohne Veranlassung zur

πολαυστικὸς, ἡδὺς, ἄλυπος, σθεναρὸς τῷ σώματι, πάντα ἔχων ὅσα τίμια κατὰ τὸν κόσμον τοῦτον εἶναι δοκεῖ, ὁ τοιοῦτος πάντως ἐν εὐφροσύνῃ [8] βιώσεται, ἑκάστῳ τῶν παρόντων ἐπιγαννύμενος. Εἰ δέ τις μεταβολὴ τῆς εὐημερίας ταύτης καθάψαιτο, ἢ διάζευξιν τῶν φιλτάτων, ἢ ζημίαν τῶν προσόντων, ἢ τινα πήρωσιν τῆς σωματικῆς εὐκληρίας
p. 78[illegible] ἐκ πονηρᾶς τινος συντυχίας ἐπάγουσα, τότε τῇ ὑπεξαιρέ-
A σει τοῦ εὐφραίνοντος ἡ ἐναντία διάθεσις γίνεται, ἣν πένθος προσαγορεύομεν. Οὐκοῦν ἀληθὴς ὁ ἀποδεδομένος περὶ αὐτοῦ λόγος, ὅτι πένθος ἐστὶν αἴσθησίς τις ἀλγεινὴ τῆς τῶν εὐφραινόντων στερήσεως. Εἰ δὴ νενόηται ἡμῖν τὸ ἀνθρώπινον πένθος, γενέσθω τις ὁδηγία τῶν ἀγνοουμένων τὰ πρόδηλα, ὡς ἂν φανερὸν γένοιτο τί τὸ μακαριζόμενόν ἐστι πένθος ᾧ ἐπακολουθεῖ ἡ παράκλησις. Εἰ γὰρ ἡ τῶν προσόντων ἀγαθῶν στέρησις ἐνταῦθα τὸ πέν-
B θος ποιεῖ, οὐκ ἂν δέ τις τοῦ ἀγνοουμένου τὴν ζημίαν [9] ἀπολοφύροιτο, γνῶναι προσήκει πρότερον αὐτὸ τὸ ἀγαθὸν ὅ τι ποτέ ἐστι κατὰ ἀλήθειαν, εἶθ' οὕτως τὴν ἀνθρωπίνην φύσιν κατανοῆσαι· διὰ γὰρ [10] τούτου συμβήσεται τὸ μακαριζόμενον πένθος κατορθωθῆναι. Οἷον γάρ ἐστιν ἐπὶ τῶν ἐν σκότῳ βιωτευόντων, ὅταν ὁ μὲν ἐντεχθῇ τῷ ζόφῳ, ὁ δὲ τῇ ἀπολαύσει τοῦ ἔξω φωτὸς συνειθισμένος ἐξ ἐπηρείας τινὸς κατάκλειστος γένηται, οὐχ ὁμοίως ἀμφοτέρων ἡ τῶν παρόντων καθάπτεται συμφορὰ (ὁ μὲν γὰρ εἰδὼς οὗ ἐστέρηται βαρεῖαν ποιεῖται τοῦ φωτὸς τὴν
C ζημίαν, ὁ δὲ μηδὲ ὅλως ἐγνωκὼς τὴν τοιαύτην χάριν ἀλύπως διαβιώσεται, διὰ τὴν συντροφίαν τοῦ ζόφου μηδενὸς ἐκπεπτωκέναι τῶν ἀγαθῶν λογιζόμενος, ἐκ δὲ τούτου τὸν μὲν ἡ ἐπιθυμία τῆς τοῦ φωτὸς ἀπολαύσεως εἰς πᾶσαν ἄξει μηχανὴν καὶ ἐπίνοιαν τοῦ πάλιν ἰδεῖν οὗ ἐξ ἐπηρείας ἀπεστερήθη, ὁ δὲ καταγηράσει τῷ ζόφῳ διαβιῶν, διὰ τὸ μὴ ἐγνωκέναι τὸ βέλτιον ἀγαθὸν ἑαυτῷ τὸ παρὸν

---

8. βιώσεται fehlt in den Ausg. — 9. M. ἀπολοφύραιτο. — 10) M. τοῦτο.

Mißstimmung, von kräftigem Körper, im Besitz von Allem was in dieser Welt für werthvoll gilt, — ein Solcher wird in Frohsinn und heiterem Genusse aller Dinge leben welche die Gegenwart bietet. Trifft ihn aber ein Wechsel dieser guten Tage, und führt entweder eine Trennung von denen welche ihm die Liebsten sind, oder Verlust seiner Habe, oder eine Verletzung seiner Körperkraft und Gesundheit durch irgend welchen bösen Zufall herbei, dann tritt mit Hinwegnahme dessen was ihn erfreute die entgegengesetzte Stimmung ein, welche wir Traurigkeit nennen. Es ist also die davon gegebene Erklärung wahr, daß Traurigkeit ein schmerzliches Gefühl der Beraubung dessen sei was uns erfreut. Wissen wir nun was die menschliche Traurigkeit ist, so soll uns nun das was klar ist auf das hinleiten was uns noch unverständlich ist, auf daß deutlich werde was das seliggepriesene Leidtragen sei, welchem die Verheißung folgt. Wenn nämlich die Beraubung der Güter des gegenwärtigen Lebens hier das Leidtragen bewirkt, Niemand aber wohl den Verlust einer Sache beklagen dürfte welche er nicht kennt, so muß man folglich erst das Gut selbst kennen und wissen worin es in Wahrheit besteht, und dann so die menschliche Natur in Betrachtung ziehen; denn dadurch wird es uns gelingen die selige Traurigkeit zu erreichen. Denn wie es mit denen der Fall ist welche in der Finsterniß leben daß, wenn der Eine in Blindheit geboren, der Andere, welcher an den Genuß des äußeren Lichts gewöhnt gewesen war, in Folge irgend welcher Verletzung eingesperrt worden ist, das gegenwärtige Mißgeschick nicht beide in gleicher Weise affiziert (denn der Eine weiß wessen er beraubt ist und empfindet den Verlust des Lichtes schwer, während der Andere, welcher diese Gnadengabe überhaupt gar nicht kennt, ohne Trauer sein Leben hinbringen wird, bedenkend daß ihm durch das angeborene und gewohnte Dunkel kein Gut entgangen sei; und aus diesem Grunde wird das Verlangen nach dem Genuß des Lichtes den Einen auf alle Mittel und Wege führen, um dasjenige wieder zu sehen dessen er in Folge seiner Verletzung verlustig gegangen war, während der Andere, weil er den besseren Zustand nicht kennt, den ihm beschiedenen gegenwärtigen als einen für ihn guten halten, und in ununterbrochener Finsterniß

κρίνων)· οὕτω καὶ ἐπὶ τοῦ προκειμένου νοήματος ὁ τὸ ἀληθῶς ἀγαθὸν κατιδεῖν ἰσχύσας, ἔπειτα τὴν πτωχείαν
D τῆς ἀνθρωπίνης φύσεως κατανοήσας, ἐν συμφορᾷ τὴν ψυχὴν πάντως ἕξει, τῷ μὴ εἶναι ἐν τῷ ἀγαθῷ ἐκείνῳ τὸν παρόντα βίον πένθος ποιούμενος. Οὐκοῦν οὐ τὴν λύπην μοι δοκεῖ μακαρίζειν ὁ λόγος, ἀλλὰ τὴν εἴδησιν τοῦ ἀγαθοῦ, ᾗ τὸ τῆς λύπης πάθος ἐπισυμβαίνει, διὰ τὸ μὴ παρεῖναι τῷ βίῳ τὸ ζητούμενον. Ἀκόλουθον τοίνυν ἐξετάσαι τί ποτε ἄρα ἐστὶν ἐκεῖνο τὸ φῶς ᾧ τὸ ζοφῶδες τοῦτο
p. 784. τῆς ἀνθρωπίνης φύσεως σπήλαιον ἐν τῷ παρόντι βίῳ οὐ
A καταυγάζεται. Ἢ τάχα οὐ πρὸς τὸ ἀνήνυτόν τε καὶ ἀκατάληπτον ἡ ἐπιθυμία βλέπει; Τίς γὰρ ἐν ἡμῖν λογισμὸς τοιοῦτος ὡς ἀνιχνεῦσαι τοῦ ζητουμένου τὴν φύσιν; τις ἐξ ὀνομάτων τε καὶ ῥημάτων σημασία τοιαύτη ὡς ἀξίαν ἡμῖν ἔννοιαν τοῦ ὑπερκειμένου φωτὸς ἐμποιῆσαι; πῶς ὀνομάσω τὸ ἀθέατον; πῶς παραστήσω τὸ ἄϋλον; πῶς δείξω τὸ ἀειδές; πῶς διαλάβω τὸ ἀμέγεθες, τὸ ἄποσον, τὸ ἄποιον, τὸ ἀσχημάτιστον; τὸ μήτε τόπῳ, μήτε χρόνῳ εὑρισκόμενον; τὸ ἐξώτερον παντὸς περασμοῦ καὶ πάσης
B ὁριστικῆς φαντασίας; οὗ ἔργον ζωὴ καὶ ἡ πάντων τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων ὑπόστασις; περὶ ὃ πᾶν ὑψηλὸν νόημά τε καὶ ὄνομα θεωρεῖται, θεότης, βασιλεία, δύναμις, ἀϊδιότης, ἀφθαρσία, χαρά τε καὶ [11] ἀγαλλίασις, καὶ πᾶν ὅτιπέρ ἐστιν ἐν ὕψει νοούμενόν τε καὶ λεγόμενον; πῶς τοίνυν ἔστιν καὶ διὰ ποίων λογισμῶν τὸ τοιοῦτον ἡμῶν ἀγαθὸν ὑπ' ὄψιν ἐλθεῖν, τὸ θεώμενον καὶ μὴ βλεπόμενον; τὸ πᾶσι τοῖς οὖσι τὸ εἶναι παρεχόμενον, αὐτὸ
C δὲ ἀεὶ ὂν καὶ τοῦ γενέσθαι οὐ προσδεόμενον; Ἀλλ' ὡς ἂν μὴ μάτην ὁ λόγος κάμνοι τοῖς ἀχωρήτοις ἑαυτὸν ἐπεκτείνων, τῶν μὲν ὑπερκειμένων ἀγαθῶν τὴν φύσιν, ὡς ἀμήχανον ὂν τὸ τοιοῦτον ὑπὸ κατάληψιν ἐλθεῖν, πολυπραγμονοῦντες πανσώμεθα, τοσοῦτον μόνον ἐκ τῶν ζητη-

11) M. ἀγαλλίαμα.

bis zum Greisenalter weiterleben wird), derselbe Fall ist es auch mit dem was wir gegenwärtig bedenken, und wer im Stande ist das wahrhaft Gute zu erkennen, und dann die Armseligkeit der menschlichen Natur betrachtet, der wird in seiner Seele jedenfalls unglücklich werden, und Leid tragen daß das gegenwärtige Leben sich nicht in jenem Zustande der Vollkommenheit befindet. Sonach scheint mir das Wort des Herrn nicht sowohl den Schmerz selig zu preisen, sondern die Erkenntniß des Guten, welche von der Leidenschaft des Schmerzes betroffen wird, weil das sehnlich Erstrebte in dem Leben nicht vorhanden ist. Demzufolge steht also zu untersuchen, worin nun jenes Licht besteht durch welches im gegenwärtigen Leben diese finstere Höhle der menschlichen Natur nicht erleuchtet wird. Oder geht das Verlangen vielleicht nicht auf etwas Unerfüllbares und Unbegreifliches? Denn welcher Gedanke in uns ist von der Kraft daß er die Natur dessen wonach wir streben zu erforschen vermöchte? welcher Name und Ausdruck hat eine solche Bedeutung daß er uns eine würdige Vorstellung von dem allerhabenen Lichte beibrächte? wie soll ich das Unsichtbare nennen? wie das Immateriale beweisen? wie das Gestaltlose vor Augen führen? wie erfassen das was ohne Größe, ohne Quantität, ohne Qualität, was formlos ist und sich weder in der Zeit, noch im Raume auffinden läßt, was über alle Schranke und alle begrenzende Vorstellung hinausliegt? dessen Wirken Leben und Gewährung alles Guten was nur gedacht werden kann ist? an dem wir jeden erhabenen Gedanken und Namen haften sehen, Gottheit, Königthum, Kraft, Ewigkeit, Unvergänglichkeit, Freude und Lust, und alles was man nur Erhabneres denkt und nennt? auf welche Weise also, und vermittelst welcher Gedanken ist es möglich eine solche Vollkommenheit sich vor Augen zu führen, welche man wohl schaut, aber nicht siehet, welche allem was ist das Dasein gewährt, selbst aber ewig ist und des Werdens nicht bedarf? Damit meine Rede nicht vergeblich sich abmühe das Unerfaßliche zu erreichen, so wollen wir ablassen die Natur der allerhabenen Vollkommenheiten zu erforschen zu suchen, da ein solches Wesen unmöglicher Weise begriffen werden kann, nachdem wir aus der bisherigen Untersuchung allein diesen Gewinn gezogen

θέντων κερδάναντες ὅσον δι' αὐτοῦ τοῦ μὴ δυνηθῆναι κατιδεῖν τὸ ζητούμενον ἔννοιάν τινα τοῦ μεγέθους τῶν ζητουμένων ἀνατυπώσασθαι. Ὅσῳ δὲ τῆς γνώσεως ἡμῶν ὑψηλότερον εἶναι τὸ ἀγαθὸν τῇ φύσει πιστεύομεν, τοσούτῳ μᾶλλον τὸ πένθος [12] ἑαυτοῖς ἐπιτείνωμεν, ὅτι τοιοῦ-
D τόν ἐστι καὶ τοσοῦτον τὸ ἀγαθὸν οὗ διεζευγμένοι τυγχάνομεν, ὡς μηδὲ τὴν γνῶσιν αὐτοῦ χωρεῖν δύνασθαι. Τούτου μέντοι τοῦ ὑπεραίροντος πᾶσαν δύναμιν καταληπτικὴν ἐν μετουσίᾳ ποτὲ ἦμεν οἱ ἄνθρωποι, καὶ τοσοῦτον ἦν ἐν τῇ φύσει ἡμῶν ἐκεῖνο τὸ ἀγαθὸν τὸ ὑπὲρ πᾶν νόη-
p. 785. μα, ὡς ἄλλο ἐκεῖνο τὸ ἀνθρώπινον εἶναι δοκεῖν, τῇ ἀ-
A κριβεστάτῃ ὁμοιώσει κατὰ τὴν εἰκόνα τοῦ πρωτοτύπου μεμορφωμένον. Ἃ γὰρ νῦν περὶ ἐκείνου στοχαστικῶς θεωροῦμεν, ταῦτα πάντα καὶ περὶ τὸν ἄνθρωπον ἦν, [13] ἀφθαρσία τε καὶ μακαριότης, καὶ τὸ αὐτοκρατὲς καὶ τὸ ἀδέσποτον, τό τε ἄλυπον καὶ ἀπραγμάτευτον τῆς ζωῆς, καὶ ἡ ἐν θειοτέροις διαγωγή, καὶ τὸ γυμνῇ τε καὶ καθαρᾷ παντὸς προκαλύμματος τῇ διανοίᾳ πρὸς τὸ ἀγαθὸν βλέπειν. Ταῦτα γὰρ πάντα δι' ὀλίγων ῥημάτων ὁ τῆς κοσμογενείας ἡμῖν ὑπαινίττεται λόγος, κατ' εἰκόνα θεοῦ
B λέγων πεπλάσθαι τὸν ἄνθρωπον, καὶ ἐν τῷ παραδείσῳ ζῆν, καὶ τῶν ἐκεῖ πεφυτευμένων κατατρυφᾶν. Τῶν δὲ φυτῶν ἐκείνων καρπὸς ζωὴ καὶ γνῶσις καὶ τὰ τοιαῦτά ἐστιν. Εἰ δὲ ταῦτα ἐν ἡμῖν ἦν, πῶς οὐκ ἔστι διὰ συγκρίσεως ἀντιπαραθεωροῦντα τῇ τότε μακαριότητι τὴν παροῦσαν νῦν ἀθλιότητα μὴ ἐπιστενάζειν τῇ συμφορᾷ; τὸ ὑψηλὸν τεταπείνωται, τὸ κατ' εἰκόνα τοῦ ἐπουρανίου γενόμενον [14] ἀπεγαιώθη, τὸ βασιλεύειν τεταγμένον κατεδου-
C λώθη, τὸ εἰς ἀθανασίαν κτισθὲν κατεφθάρη θανάτῳ, τὸ ἐν τρυφῇ τοῦ παραδείσου διάγον εἰς τὸ νοσῶδες καὶ ἐπίπονον τοῦτο μετῳκίσθη χωρίον, τὸ τῇ ἀπαθείᾳ σύντροφον τὸν ἐμπαθῆ καὶ ἐπίκηρον ἀντηλλάξατο βίον, τὸ ἀδέσπο-

---

12) M. ἐν αὐτοῖς. — 13) M. ἀφθαρσίᾳ τε καὶ μακαριότητι. — 14) M. ἀπεγεώθη.

haben daß wir eben darum weil wir den Gegenstand derselben nicht zu erkennen vermochten, uns auch keine Vorstellung von der Größe desselben gemacht haben. Um wie viel erhabener jedoch über unserer Erkenntniß nach unserem Glauben das seiner Natur nach Gute steht, zu um so größerer Ausdehnung und Geltung wollen wir für uns die Traurigkeit bringen; weil das Gut von welchem wir getrennt sind ein solches und so großes ist daß unsere Erkenntniß es nicht einmal zu fassen vermag. Allerdings waren wir Menschen einst dieses alle Kraft des Begriffs übersteigenden Gutes theilhaftig, und es war in unserer Natur in solcher Mächtigkeit vorhanden daß jenes Menschengeschlecht ein anderes zu sein schien, weil es mit schärffster Aehnlichkeit nach dem Bilde seines Originals gestaltet war. Denn was wir jetzt auf dem Wege der Vermuthung an diesem erblicken, das besaß der Mensch Alles auch, Unvergänglichkeit und Seligkeit, er herrschte unumschränkt selbst und gehorchte keinem anderen Herrn, er besaß ein durch keinen Schmerz noch Mühsal gestörtes Leben, er weilte in mehr göttlichen Regionen, und hatte die Macht mit nacktem und von jeder Hülle reinem Geistesblick zu dem Allguten aufzuschauen. Denn das deutet uns alles in wenigen Worten die Erzählung von der Welterschaffung an, welche sagt daß der Mensch nach dem Ebenbilde Gottes gebildet worden sei, und im Paradiese lebte und in dem Genusse dessen was dort gepflanzt war sich es wohl sein ließ. Die Frucht jener Gewächse aber ist Leben und Erkenntniß, und was dem sonst ähnlich ist. Besaßen wir also diese Güter, wie ist es dann möglich daß wir im vergleichenden Hinblick auf das jetzt gegenwärtige Mühsal gegenüber der damaligen Glückseligkeit unser Unglück nicht beseufzen? Das Erhabene ist erniedrigt, das nach dem Ebenbilde des Himmlischen Gemachte zu Erde geworden, was mit königlicher Macht zu herrschen bestimmt war ist in Knechtschaft gekommen, was zur Unsterblichkeit geschaffen war ist durch den Tod vernichtet, was im Paradiese sich aufhielt ist in dieses von Krankheit und Mühsal heimgesuchte Land versetzt worden, was mit der Freiheit von Leid und Leidenschaft verbunden war hat das der Herrschaft dieser unterworfene und hinfällige Leben dafür eingetauscht, was keinem fremden

τόν τε καὶ αὐτεξούσιον νῦν ὑπὸ τοιούτων καὶ τοσούτων κακῶν κυριεύεται ὡς μηδὲ ῥᾴδιον εἶναι τοὺς τυράννους ἡμῶν ἀπαριθμήσασθαι. Ἕκαςον γὰρ τῶν ἐν ἡμῖν παθῶν, ὅταν ἐπικρατήσῃ, δεσπότης τοῦ δουλωθέντος γίνεται, καὶ καθάπερ τις τύραννος καταλαβὼν τῆς ψυχῆς τὴν
D ἀκρόπολιν δι' αὐτῶν τῶν ὑποχειρίων κακοῖ τὸ ὑπήκοον, ὑπηρέταις τοῖς ἡμετέροις λογισμοῖς πρὸς τὸ δοκοῦν ἑαυτῷ καταχρώμενος. Οὕτως ὁ θυμὸς, οὕτως ὁ φόβος, ἡ δειλία, τὸ θράσος, τὸ κατὰ λύπην τε καὶ τὸ καθ' ἡδονὴν πάθος, μῖσος, [15] ἔρως, ἀνέλεος, ἀπήνεια, φθόνος, κολα-
p. 786. κεία, μνησικακία τε καὶ ἀναλγησία, καὶ πάντα τὰ κατὰ τὸ
A ἐναντίον ἐν ἡμῖν νοούμενα πάθη, τυράννων ἐςί τινων καὶ δεσποτῶν ἀπαρίθμησις, τῶν πρὸς τὸ ἴδιον κράτος τὴν ψυχὴν οἷόν τινα δορυάλωτον καταδουλούντων. Εἰ δέ τις καὶ τὰς περὶ τὸ σῶμα συμφορὰς ἀναλογίζοιτο, τὰς τῇ φύσει ἡμῶν συμπεπλεγμένας τε καὶ [16] συντρεφομένας, τὰς ποικίλας λέγω καὶ πολυτρόπους τῶν νοσημάτων ἰδέας, ὧν πάντων τὸ κατ' ἀρχὰς ἀπείρατον ἦν τὸ ἀνθρώπινον, πολὺ μᾶλλον πλεονάσει τὸ δάκρυον, ἐκ παραλλήλου θεωρῶν ἀντὶ τῶν ἀγαθῶν τὰ λυπηρὰ, καὶ ἀντιπαρατιθεὶς τὰ
B κακὰ τοῖς βελτίοσιν. Τοῦτο οὖν ἔοικεν ἐν ἀποῤῥήτῳ διδάσκειν ὁ μακαρίζων τὸ πένθος, τὸ πρὸς τὸ ἀληθινὸν ἀγαθὸν τὴν ψυχὴν βλέπειν, [17] καὶ μὴ τῇ παρούσῃ ἀπάτῃ τοῦ βίου καταβαπτίζεσθαι· οὐ γὰρ ἔςιν οὔτε ἀδακρυτὶ ζῆν τὸν ἐπεσκεμμένον δι' ἀκριβείας τὰ πράγματα, οὔτε [18] μὴ ἐν λυπηροῖς εἶναι νομίζειν τὸν ταῖς βιωτικαῖς ἡδοναῖς ἐμβαθύνοντα. Καθάπερ ἐπὶ τῶν ἀλόγων τὸ τοιοῦτον ἔςιν ἰδεῖν, οἷς ἐλεεινὴ μὲν ἡ τῆς φύσεώς ἐςι κατασκευὴ (τί γὰρ ἐλεεινότερον τῆς τοῦ λόγου ςερήσεως;), αἴσθησις δὲ τῆς συμφορᾶς αὐτοῖς οὐδεμία, ἀλλὰ κατά τινα
C ἡδονὴν κἀκείνοις ἡ ζωὴ διεξάγεται, καὶ ὁ ἵππος γαυριᾷ, καὶ ὁ ταῦρος κονίζεται, καὶ ὁ σῦς φρίσσει τὴν λοφιὰν,

---

15) M. ἔρις. — 16) M. συςρεφομένας. — 17) M. μηδὲ. — 18) μὴ fehlt in den Ausg.

Gebot unterworfen und von selbständiger Macht war wird nun von so vielen und so großen Uebeln tyrannisirt daß es nicht einmal leicht sein möchte unsere Tyrannen alle aufzuzählen. Denn jegliche Leidenschaft in uns wird, wenn sie die Oberhand gewinnt, zur Herrin über ihren Sclaven, und indem sie wie ein Machthaber der Burg der Seele sich bemächtigt, kränkt und beschädigt sie durch die eigenen Unterthanen die welche ihr gehorchen, indem sie sich unserer Vernunft als Schergen ihrer Willkühr bedient. So bilden der Zorn, so die Furcht, die Feigheit, die Keckheit, die Leidenschaft des Schmerzes und der Lust, Haß, Liebe, Mitleidslosigkeit, unmenschliche Härte, Neid, Schmeichelei, Rachsucht und Gleichgiltigkeit, sammt allen den ihnen entgegengesetzten Leidenschaften in uns, eine Schaar von Tyrannen und Herren, welche die Seele wie einen Kriegsgefangenen geknechtet ihrer Macht unterwerfen wollen. Wollte man aber auch die Zufälle welchen der Körper ausgesetzt ist, und welche mit unserer Natur verwachsen sind, in Anschlag bringen, ich meine die verschiedenen und mannichfaltigen Krankheitsarten, von welchen allen das anfängliche Menschengeschlecht unangefochten war, so wird man seine Zähren noch reichlicher strömen lassen, wenn man an Stelle der Güter die traurigen Gaben des Unglücks erblickt, und den Uebeln die besseren Zustände vergleichend gegenüberstellt. Diese Art von Traurigkeit scheint also der Herr mit seiner Seligpreisung im Geheimen anzudeuten, welche darin besteht daß die Seele ihren Blick auf das wahrhafte Gut gerichtet hält, und in den Trug des gegenwärtigen Lebens sich nicht hinabziehen läßt; denn wer die Dinge aufmerksam betrachtet hat, der kann nicht ohne Thränen leben, noch vermag er von dem welcher in den Lüsten des Lebens versinkt zu glauben daß er sich nicht in einem traurigen Zustand befindet. Gleichwie wir an den unvernünftigen Thieren diese Wahrnehmung machen können, deren natürliche Begabung und Ausstattung eine erbarmenswerthe ist (denn was ist erbarmenswerther als der Mangel der Vernunft?), die aber gleichwohl ihr Mißgeschick nicht fühlen, sondern ihr Leben ebenfalls in vergnüglicher Lust hinbringen (denn das Pferd hat seinen muthigen Stolz, der Stier wälzt sich im Staube, und der Eber sträubt seinen borstigen Nacken, die jungen

καὶ οἱ σκύλακες παίζουσι, καὶ διασκιρτῶσιν οἱ μόσχοι,
καὶ ἕκαϛον τῶν ζώων ἔϛιν ἰδεῖν διά τινων τεκμηρίων τὴν
ἡδονὴν ἐνδεικνύμενον, οἷς εἴ τις κατανόησις ἦν τῆς τοῦ
λόγου χάριτος, οὐκ ἂν τὸν κωφὸν αὐτῶν καὶ ταλαίπωρον
βίον ἐν ἡδονῇ διετίθεντο, — οὕτως καὶ ἐπὶ τῶν ἀνθρώ-
πων οἷς οὐδεμία τῶν ἀγαθῶν ἐϛὶ γνῶσις ὧν ἡ φύσις ἡ-
μῶν ἀπεϛέρηται· τούτοις καθ' ἡδονὴν ἡ τῆς παρούσης
D ζωῆς διαγωγή. Ἀκολουθεῖ δὲ τῷ τοῖς παροῦσιν ἥδεσθαι
τὸ μὴ ζητεῖν τὰ βελτίω· ὁ δὲ μὴ ζητῶν οὐκ ἂν εὕροι τὸ
μόνοις [19]τοῖς ζητοῦσι [20]παραγινόμενον. Οὐκοῦν διὰ τοῦ-
το ὁ λόγος μακαρίζει τὸ πένθος, οὐ δι' ἑαυτὸ κρίνων
εἶναι μακάριον, ἀλλὰ διὰ τὸ ἐξ ἐκείνου [21]παραγινόμενον.
Δείκνυσι δὲ τοῦ λόγου ἡ συζυγία [22]ὅτι διὰ τὴν πρὸς
τὴν παράκλησιν ἀναφορὰν τὸ πενθεῖν ἐϛὶ μακάριον. Μα-
p. 787. κάριοι γὰρ, φησὶν, οἱ πενθοῦντες, καὶ οὐκ ἔϛησεν ἐν τού-
A τῳ τὸν λόγον, ἀλλὰ προςέθηκεν, Ὅτι αὐτοὶ παρακληθή-
σονται. Ὅ μοι δοκεῖ προκατανενοηκὼς ὁ μέγας Μωϋσῆς
(μᾶλλον δὲ ὁ ἐν ἐκείνῳ ταῦτα διατάσσων λόγος) ἐν ταῖς
μυϛικαῖς τοῦ πάσχα παρατηρήσεσιν ἄζυμον μὲν αὐτοῖς
ἄρτον ἐν ταῖς ἑορτασίμοις ἡμέραις νομοθετῆσαι, ὄψον δὲ
Exod. 12, 8. τῇ βρώσει πικρίδας ποιήσασθαι, ὡς ἂν διὰ τῶν τοιού-
Num. 9, 11. των μάθοιμεν αἰνιγμάτων ὅτι οὐκ ἔϛι τῆς μυϛικῆς ἐκεί-
νης ἑορτῆς μετασχεῖν ἄλλως, εἰ μὴ αἱ πικρίδες τοῦ βίου
B τούτου τῇ ἁπλῇ καὶ ἀζύμῳ ζωῇ ἑκουσίως καταμιγνύ-
οιντο. Διὰ τοῦτο καὶ ὁ μέγας Δαβὶδ, καίτοι τὸ ἀκρό-
Psalm. 120, 5. τατον τῆς ἀνθρωπίνης εὐκληρίας μέτρον, λέγω δὴ τὴν
βασιλείαν, περὶ ἑαυτὸν βλέπων, δαψιλῶς ἐπιβάλλει τῶν
πικρίδων τῇ ἑαυτοῦ ζωῇ ϛενάζων ἐν οἰμωγῇ καὶ θρη-
νῶν τὴν παράτασιν τῆς ἐν σαρκὶ παροικίας, καὶ, ἐκλείπων
ὑπὸ τῆς τῶν μειζόνων ἐπιθυμίας, φησὶν, Οἴμοι ὅτι ἡ
Psalm. 84, 11. παροικία μου ἐμακρύνθη. Ἑτέρωθι δὲ πρὸς τὸ κάλλος
τῶν θείων σκηνωμάτων ἀτενὲς ἀποβλέπων [23]ἐκλείπειν
C ὑπὸ τῆς ἐπιθυμίας φησὶ, τὸ ἐν ἐσχάτοις ἐκεῖ τετάχθαι

19) τοῖς fehlt in den Ausg. — 20) M. παραγενόμενον. — 21) M. παραγενόμενον. — 22) M. ὅτι τῆς πρὸς τ. π. ἀναφορᾶς τὸ πενθεῖν αὐτοῖς ἐϛὶ μακάριον. — 23) M. ἐκλιπεῖν.

Hunde spielen, die Kälber springen, kurz man kann an jeglichem Thiere sehen wie es durch gewisse Merkmale sein Vergnügen zu erkennen giebt), wohingegen, hätten sie Erkenntniß von der Gnadengabe der Vernunft, sie in Bezug auf dieses stumpfe und elende Leben schwerlich zum Vergnügen gestimmt werden würden), — eben so steht es auch mit den Menschen welche keine Erkenntniß derjenigen Güter haben welcher unsere Natur verlustig gegangen ist: sie bringen ihr gegenwärtiges Leben in Lust hin. Die natürliche Folge aber der Lust an der Gegenwart ist daß man das Vollkommenere nicht aufsucht; wer aber nicht sucht, der wird auch wohl nicht finden was nur denen zu Theil werden kann die danach suchen. Also deßhalb preist der Herr die Traurigkeit selig, nicht weil er sie an sich für etwas Seliges hielte, sondern um dessen willen was uns aus ihr zu Theil wird. Der im Zusammenhang stehende zweite Satz des Ausspruchs zeigt aber daß das Leidtragen rücksichtlich des Trostes ein seliges sei. Denn er sagt, Selig sind die da Leid tragen, und beendet damit nicht seine Rede, sondern fügt noch hinzu, denn sie werden getröstet werden. Dies scheint mir der große Moses schon früher im Sinne gehabt (oder vielmehr das in ihm diese Anordnung treffende Wort) und darum bei den mystischen Beobachtungen des Paschas ungesäuertes Brot zur Speise an den Fasttagen, und als Zukost bittren Lattich geboten zu haben, damit wir durch solche Gleichnisse lernen daß man an jenem mystischen Feste auf keine andere Weise Theil nehmen kann als wenn der bittere Lattich dieser Zeit dem einfältigen und ungesäuerten Leben aus freiem Antrieb zugemischt wird. Deßhalb fügt auch der große David, obgleich er das höchste Maß des menschlichen Glücks, nämlich die Königskrone, in seinen Händen sah, seinem Leben reichlich von dem Bitterlattich zu, und beseufzt wehklagend und beweint die lange Dauer des Wohnens im Fleische, und vor Sehnsucht nach dem Erhabeneren vergehend spricht er, Wehe mir, daß sich mein Wohnen in die Länge gezogen hat! An einer anderen Stelle aber, wo er seine Augen auf die Schönheit der himmlischen Hütten gerichtet hält, sagt er auch, er vergehe vor Sehnsucht, und zieht es vor dort unter die Letzten gestellt zu sein als

τοῦ πρωτεύειν ἐν τοῖς παροῦσιν προτιμότερον ἑαυτῷ κρί-
νων. Εἰ δέ τις ἀκριβέςερον κατανοῆσαι βούλοιτο τοῦ
μακαριζομένου τούτου πένθους τὴν δύναμιν, ἐπισκεψά-
σθω [24] ἐν τῷ κατὰ τὸν Λάζαρον καὶ τὸν πλούσιον διη-
γήματι, ἐν ᾧ γυμνότερον τὸ τοιοῦτον ἡμῖν σαφηνίζεται.
Μνήσθητι γὰρ, φησὶν ὁ Ἀβραὰμ πρὸς τὸν πλούσιον, ὅτι
ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, ὁμοίως δὲ καὶ ὁ
Luc. 16,25. Λάζαρος τὰ κακά· διὰ τοῦτο οὗτος μὲν παρακαλεῖται,
σὺ δὲ ὀδυνᾶσαι. Ἔοικε γὰρ, ἐπειδὴ τῆς ἀγαθῆς τοῦ
D θεοῦ περὶ τὸν ἄνθρωπον οἰκονομίας ἀπέςησεν ἡμᾶς ἡ
ἀβουλία, μᾶλλον δὲ ἡ κακοβουλία. Τοῦ γὰρ θεοῦ ἀμι-
γὲς τοῦ κακοῦ τὸ ἀγαθὸν ἐν τῇ ἀπολαύσει ἡμῶν νομο-
θετήσαντος, καὶ καταμιγνύναι τῷ καλῷ τὴν τοῦ κακοῦ
πεῖραν ἀπαγορεύσαντος, ἐπειδὴ ἡμεῖς ὑπὸ λαιμαργίας
ἑκουσίως τοῦ ἐναντίου ἐνεφορήθημεν, λέγω δὲ τῆς τοῦ
θείου λόγου παρακοῆς, ἀπογευσάμενοι, διὰ τοῦτο χρὴ
p. 788. πάντως ἐν ἀμφοτέροις γενέσθαι τὴν ἀνθρωπίνην φύσιν,
A καὶ μετασχεῖν ἐν μέρει τοῦ τε λυποῦντος καὶ τοῦ εὐφραί-
νοντος. Δύο δὲ ὄντων βίων, καὶ διπλῆς τῆς ζωῆς καθ'
ἑκάτερον τῶν βίων ἰδιαζόντως θεωρουμένης, ὡςαύτως δὲ
καὶ εὐφροσύνης διπλῆς, τῆς μὲν ἐν τῷ βίῳ τούτῳ, τῆς
δὲ ἐν τῷ κατ' ἐλπίδας ἡμῖν προκειμένῳ, μακαριςὸν ἂν
εἴη τὴν τῆς εὐφροσύνης μοῖραν τοῖς ἀληθινοῖς ἀγαθοῖς
εἰς τὸν ἀΐδιον ἀποθέσθαι βίον, τῆς δὲ λύπης ἐκπληρῶ-
σαι τὴν λειτουργίαν ἐν τῇ βραχείᾳ ταύτῃ καὶ προςκαίρῳ
B ζωῇ, ζημίαν ποιούμενον οὐ τὸ ςερηθῆναί τινος τῶν κατὰ
τὸν βίον τοῦτον ἡδέων, ἀλλὰ τὸ διὰ τῆς ἀπολαύσεως τού-
των ἐν ἀποπτώσει τῶν ἀμεινόνων γενέσθαι. Οὐκοῦν εἰ
μακαριςόν ἐςιν τὸ ἐν τοῖς ἀπείροις αἰῶσιν ἀτέλεςόν τε
καὶ εἰς ἀεὶ παρατεινομένην τὴν εὐφροσύνην ἔχειν, δεῖ δὲ
πάντως γεύσασθαί καὶ τῶν ἐναντίων τὴν ἀνθρωπίνην φύ-
σιν, οὐκέτι χαλεπόν ἐςι συνιδεῖν τοῦ λόγου τὸ βούλημα
διὰ τί μακάριοι οἱ νῦν πενθοῦντες· αὐτοὶ γὰρ εἰς τοὺς
ἀπείρους αἰῶνας παρακληθήσονται. Ἡ δὲ παράκλησις

24) M. ἑαυτῷ ἐν τῷ.

jetzt hier zu den Ersten zu zählen. Will aber Jemand die Kraft dieser selig gepriesenen Traurigkeit noch genauer kennen lernen, der denke über die Erzählung von Lazarus und dem Reichen nach, in welcher uns diese Lehre in unverhüllterer Gestalt deutlich gemacht wird. Erinnere dich, spricht nämlich Abraham zu dem Reichen, daß du dein Gutes in deinem Leben empfangen hast, eben so wie Lazarus das Böse; darum wird dieser getröstet, du aber wirst gepeinigt. Denn das ist billig, nachdem uns die Thorheit, oder vielmehr der böse Rath, dem guten Vorhaben Gottes mit den Menschen fern gerückt hat. Denn nachdem Gott das Gute ohne alle Beimischung des Schlechten uns zu genießen befohlen, und mit dem Guten das Böse zu kosten verboten hatte, so muß, da wir in unserer Gier aus freiem Entschluß das Gegentheil, das ist den Ungehorsam gegen das Wort Gottes, gekostet und uns darin übernommen haben, aus diesem Grunde die menschliche Natur auch beiden angehören, und somit abwechselnd ihren Theil bekommen an dem was Schmerz und an dem was Fröhlichkeit bringt. Da es nun zwei Leben giebt, und eine zwiefache Art von Existenz, die eine in diesem, die andere in jenem, sich beobachten läßt, da ingleichen es ferner auch eine doppelte Art von Freude giebt, die in diesem gegenwärtigen, und die in dem von uns gehofften Leben, so kann man es wohl Seligkeit nennen, wenn man den Antheil an Freude für die wahrhaften Güter bis in das ewige Leben aufspart, und in diesem kurzen und vergänglichen Leben hingegen seine ihm auferlegte Leistung an dem Leid abträgt, indem man nicht das als einen Verlust ansieht daß man in diesem Leben der Freuden verlustig geht, sondern das daß man durch den Genuß derselben sich den Verlust der höheren Güter zuzieht. Wenn es demnach als Seligkeit zu preisen ist in den unendlichen Ewigkeiten im Besitz unbegrenzter und immerdauernder Freude zu sein, ferner aber auch die menschliche Natur das Entgegengesetzte kosten muß, so ist es keine Schwierigkeit mehr den Sinn des Ausspruchs zu verstehen, und warum diejenigen welche jetzt Leid tragen selig sind; denn sie sollen ja bis in die unendlichen Ewigkeiten getröstet werden. Der Trost aber entspringt aus der Gemeinschaft mit dem Tröster; denn

ἐκ τῆς τοῦ παρακλήτου μετουσίας γίνεται· ἰδία γὰρ τοῦ πνεύματος ἐνέργεια ἡ τῆς παρακλήσεως χάρις ἐςίν· ἧς καὶ ἡμεῖς ἀξιωθείημεν χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ δ'.

D Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Τοὺς ςομαχοῦντας καὶ κακοσίτους φασὶν οἱ τῆς ἰατρικῆς ἐπιςήμονες πονηρῶν τινων χυμῶν τε καὶ περιττωμάτων ἐπὶ τὴν ἄνω γαςέρα συῤῥέντων ἀεὶ δοκεῖν πλήρεις τε καὶ διακορεῖς εἶναι, καὶ διὰ τοῦτο πρὸς τὴν ὠφέλιμον
p. 789. τροφὴν ἀλλοτρίως ἔχειν, τῆς φυσικῆς αὐτοῖς ὀρέξεως ἐν
A τῇ νόθῳ πλησμονῇ μαρανθείσης· εἰ δέ τις αὐτοῖς ἐξ ἰατρικῆς ἐπιμέλεια προσαχθείη, διά τινος τμητικῆς φαρμακοποσίας ἀποκλυσθέντων τῶν ἐναπειλημμένων ταῖς τοῦ ςομάχου κοιλότησιν, οὕτως συμβαίνειν, τοῦ ἀλλοτρίου μηκέτι διοχλοῦντος τὴν φύσιν τῆς ὠφελούσης τε καὶ τροφίμου βρώσεως, αὐτοῖς ἐπανιέναι τὴν ὄρεξιν, καὶ τοῦτο τῆς ὑγιείας εἶναι σημεῖον, τὸ μηκέτι κατηναγκασμένως, ἀλλὰ
B μετ' ἐπιθυμίας τε καὶ ὁρμῆς τὴν βρῶσιν προσίεσθαι. Τί οὖν μοι βούλεται τὸ προοίμιον; Ἐπειδὴ προϊὼν δι' ἀκολουθίας ὁ πρὸς τὰ ὑψηλότερα τῆς τῶν μακαρισμῶν κλί-
Psalm. 84, 5. μακος χειραγωγῶν ἡμᾶς λόγος, ὁ κατὰ τὴν τοῦ προφήτου φωνὴν τὰς καλὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ ἡμῶν διατιθέμενος, τοιαύτην ἡμῖν μετὰ τὰς προδιανυσθείσας ἀνόδους τετάρτην προδείκνυσιν ἄλλην ἀνάβασιν, λέγων, Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται, καλῶς ἔχειν οἶμαι τὸ διακορές τε καὶ [1] πλήσμιον τῆς ψυχῆς ἐκκαθάραντας, ὡς ἔςι δυνατὸν, τῆς
C τοιαύτης βρώσεώς τε καὶ πόσεως τὴν μακαριςὴν ὄρεξιν ἡμῖν αὐτοῖς ἐμποιῆσαι· οὔτε γὰρ ἰσχῦσαι δυνατόν ἐςι τὸν ἄνθρωπον μὴ τῆς ἀρκούσης τροφῆς ὑποςηριζούσης τὴν

1) M. πλησμονικόν.

die Gnadenspende des Trostes ist die dem heiligen Geiste eigenthümliche Wirksamkeit. Mögen auch wir ihrer für würdig erachtet werden, durch die Gnade unseres Herrn Jesu Christi, welchem gehört die Herrlichkeit bis in Ewigkeit. Amen.

Vierte Rede.

Selig sind die da hungert und dürstet nach der Gerechtigkeit, denn sie sollen satt werden.

Von den an der Verdauung und Mangel an Eßlust Leidenden sagen die der Heilkunst Kundigen daß sie in Folge eines Zusammenflusses schlechter Säfte und Ausscheidungen nach dem Magen sich immer voll und satt vorkämen, und deßhalb, weil ihr natürlicher Appetit durch die krankhafte scheinbare Uebersättigung verkümmert werde, eine Abneigung gegen die ihnen dienliche Nahrung besäßen; wenn ihnen jedoch eine ärztliche Behandlung zu Theil würde, so daß vermittelst eines scharfen Heiltrankes das in den Höhlungen des Magens Enthaltene ausgespült wird, dann trete der Fall ein daß, weil der fremde Stoff die Natur nun nicht mehr belästigt, ihnen der Appetit nach dienlicher und nahrhafter Speise zurückkehre, und es sei dabei dies ein Zeichen der Genesung, daß man nicht ferner mit Zwang, sondern mit Lust und Begierde die Nahrung zu sich nimmt. Was will nun diese Einleitung? Da das in richtiger Folge vorschreitende göttliche Wort, welches uns den höheren Stufen der Seligkeit zuführt, und welches nach dem Ausspruch des Propheten schöne Leitern in unseren Herzen aufstellt, uns nach den bereits vorher überschrittenen Stufen nunmehr eine andere vierte sehen läßt, und sagt, Selig sind die da hungert und dürstet nach der Gerechtigkeit, denn sie sollen satt werden, so scheint es mir gut zu sein die Sattheit und Ueberfüllung der Seele nach Kräften auszuräumen, und uns dadurch ein solch seliges Verlangen nach solcher Speise und Trank zu bewirken; denn es ist unmöglich daß der Mensch Kraft besitzt, wenn nicht die hinreichende Nahrung seine Stärke aufrecht erhält,

δύναμιν, οὔτε δίχα τοῦ φαγεῖν ἐμπλησθῆναι τροφῆς, οὔτε τραφῆναι χωρὶς ὀρέξεως. Ἐπεὶ οὖν ἀγαθόν τι κατὰ τὴν ζωήν ἐςιν ἡ δύναμις, αὕτη δὲ τῷ ἀρκοῦντι συντηρεῖται κόρῳ, ὁ δὲ κόρος διὰ βρώσεως γίνεται, τὸ δὲ φαγεῖν ἐξ ὀρέξεως, μακαριςὸν ἂν εἴη τοῖς ζῶσιν ἡ ὄρεξις, ἀρχή τε καὶ αἰτία τῆς ἐν ἡμῖν γινομένη δυνάμεως. Ὥςπερ δὲ κατὰ τὴν [2]αἰσθητὴν τροφὴν οὐ τῶν αὐτῶν πάντες ἐφίεν-
D ται, ἀλλὰ μερίζεται πολλάκις πρὸς τὰ εἴδη τῶν ἐδωδίμων ἡ τῶν μετεχόντων ἐπιθυμία, καὶ ὁ μέν τις ἐπιτέρπεται τοῖς γλυκαίνουσιν, ἄλλος πρὸς τὰ δριμύσσοντά τε καὶ θερμαίνοντα τὴν ὁρμὴν ἔχει, ἕτερος δὲ τοῖς ἁλμώδεσιν, καὶ ἄλλος τοῖς παραςύφουσιν ἥδεται, συμβαίνει δὲ πολλάκις μὴ κατὰ τὸ λυσιτελοῦν ἐγγίνεσθαι τὴν ὁρμὴν ἑκάςῳ τῆς βρώσεως (κατὰ γάρ τινα κράσεως ἰδιότητα πρός τι πάθος ἐπιῤῥεπῶς τις ἔχων τρέφει τὴν νόσον τῇ τῶν
p. 790. A [3]καταλλήλων βρωμάτων ποιότητι, εἰ δὲ πρὸς τὰ ὠφελοῦντα τὴν ὁρμὴν σχοίη, πάντως ἐν ὑγιείᾳ βιώσεται, τῆς τροφῆς αὐτῷ συντηρούσης τὴν εὐεξίαν), οὕτως καὶ ἐπὶ τῆς ψυχῆς τροφῆς οὐ πάντων πρὸς τὸ αὐτὸ ῥέπουσιν αἱ ἐπιθυμίαι. Οἱ μὲν γὰρ δόξης, ἢ πλούτου, ἤ τινος κοσμικῆς περιφανείας ὀρέγονται, ἄλλοις περὶ τὴν τράπεζαν ἄσχολός ἐςιν ἡ ὄρεξις, ἕτεροι τὸν φθόνον ὥς τι δηλητηριώδη τροφὴν προθύμως ἀναλαμβάνουσιν· εἰσὶν δέ τινες οἷς τὸ τῇ φύσει καλὸν ἐν ὀρέξει γίνεται. Φύσει δὲ καλὸν ἀεὶ καὶ πᾶσιν [4]τοιοῦτόν ἐςιν ὃ μὴ ἄλλου τινὸς ἕνε-
B κέν ἐςιν αἱρετὸν, ἀλλ᾽ αὐτὸ δι᾽ ἑαυτὸ ἐπιθυμητὸν, ἀεὶ ὡσαύτως ἔχον, καὶ οὐδέποτε ἀμβλυνόμενον κόρῳ. Διὰ τοῦτο μακαρίζει ὁ λόγος οὐ τοὺς ἁπλῶς πεινῶντας, ἀλλ᾽ οἷς πρὸς τὴν ἀληθῆ δικαιοσύνην ἡ ἐπιθυμία τὴν ῥοπὴν ἔχει. Τίς οὖν ἡ δικαιοσύνη; τοῦτο γὰρ οἶμαι δεῖν πρότερον ἀνακαλυφθῆναι διὰ τοῦ λόγου, ὡς ἂν τοῦ κατ᾽ αὐτὴν κάλλους φανερωθέντος οὕτως ἐν ἡμῖν κινηθείη πρὸς τὴν ὥραν τοῦ φανέντος ἡ ὄρεξις· οὐδὲ γάρ ἐςι δυνατὸν

---

2) 𝔐. αἰσθητὴν ταύτην τὴν τροφὴν ἔχομεν, οὐ. — 3) 𝔐. κατ᾽ ἀλλήλων. — 4) 𝔐. τοῦτό.

noch daß er ohne Essen der Speise voll werden, oder ohne Verlangen danach genährt werden kann. Da nun die Stärke etwas Gutes im Leben ist, diese aber durch die ausreichende Sättigung bewahrt wird, die Sättigung aber durch Essen geschieht, das Essen aber in Folge von Eßlust, so dürfte die Eßlust den Lebendigen als ein selig Ding zu preisen sein, welche zu einem Anfang und einer Ursache der Stärke in uns wird. Wie es aber mit dieser sinnlichen Speise geht, daß nicht Alle nach der gleichen verlangt, sondern daß die Begierde der Tischgäste sich oft nach den Arten der Speisen theilt, und der Eine sich an den süßen ergötzt, ein Anderer nach den scharfen und hitzigen Verlangen trägt, wieder ein Anderer an salzigen, und ein Vierter an sauren sich vergnügt, daß es aber sich oft trifft daß das Verlangen nach Speise nicht Jedem gerade ersprießlich ist (denn wenn Jemand nach der Eigenthümlichkeit der Säftemischung seines Körpers zu einem Leiden hinneigt, so nährt er die Krankheit durch die Qualität der ihr angemessenen Nahrungsmittel, während, wenn er nach denen welche ihm dienlich sind Verlangen trüge, er durchaus in Gesundheit leben würde, weil die Nahrung ihm sein Wohlbefinden aufrecht erhielte), so neigen sich bei der Speise der Seele nicht Aller Begierden dem Gleichen zu. Die Einen verlangt nach Ruhm, oder Reichthum, oder nach einer glänzenden weltlichen Stellung, Anderer Neigung beschäftigt sich mit der Tafel, noch Andere nehmen den Neid wie eine giftige Speise mit Lust zu sich, endlich giebt es auch solche die nach dem wahrhaften und seiner Natur nach Guten trachten. Das seiner Natur nach Gute ist aber allezeit und für Alle dasjenige wonach man nicht um eines Anderen Willen greift, sondern was um seiner selbst Willen erstrebt wird, was immer sich gleich bleibt und niemals durch Sättigung seinen Reiz verliert. Darum preist das Wort des Herrn nicht die einfach Hungernden selig, sondern diejenigen deren Verlangen sich der wahren Gerechtigkeit zuneigt. Welche Gerechtigkeit ist das nun? Denn dies, glaube ich, müssen wir durch unsere Rede zunächst klar machen, damit wenn ihre Schönheit enthüllt sein wird, so in uns die Begierde nach der Lieblichkeit des Enthüllten rege gemacht werde. Denn es ist ein unmöglich Ding nach Etwas zu begehren

πρὸς τὸ μὴ φαινόμενον ἐπιθυμητικῶς ἔχειν, ἀλλ' ἀργή
πως ἐπὶ τὸ ἄγνωστόν ἐστιν ἡ φύσις ἡμῶν καὶ ἀκίνητος, εἰ
μὴ δι' ἀκοῆς ἢ ὄψεως ἔννοιάν τινα τοῦ ἐπιθυμητοῦ λά-
C βοι. Φασὶ τοίνυν τῶν ἐξητακότων τὰ τοιαῦτά τινες δι-
καιοσύνην εἶναι ἕξιν ἀπονεμητικὴν τοῦ ἴσου καὶ τοῦ κατ'
ἀξίαν ἑκάστῳ. Οἷον εἴ τις χρημάτων διανομῆς γένοιτο
κύριος, ὁ πρὸς τὸ ἴσον βλέπων καὶ συμμετρῶν τῇ χρείᾳ
τῶν μετεχόντων τὴν δόσιν δίκαιος λέγεται· καὶ εἴ τις τοῦ
κρίνειν τὴν ἐξουσίαν λαβὼν μὴ πρὸς χάριν τινὰ καὶ ἀπέχ-
θειαν τὴν ψῆφον φέροι, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων
ἑπόμενος τιμωροῖ τό τε τοὺς ἀξίους καὶ τὴν σώζουσαν
ψῆφον πρὸς τοὺς ἀνευθύνους φέροι, καὶ τῶν λοιπῶν ἀμ-
D φισβητημάτων ἐν ἀληθείᾳ ποιοῖτο τὴν κρίσιν, καὶ οὗτος
δίκαιος λέγεται· καὶ ὁ τοὺς φόρους τοῖς ὑποχειρίοις τάσ-
σων, ὅταν σύμμετρον ἐπιβάλῃ τῇ δυνάμει τὸν φόρον, καὶ
οἰκίας δεσπότης, καὶ πόλεως ἄρχων, καὶ ἐθνῶν βασιλεὺς,
εἰ καταλλήλως ἡγοῖτο τῶν ὑποτεταγμένων ἕκαστος τούτων,
μὴ ὁρμαῖς ἀλόγοις ὑπ' ἐξουσίας κινούμενος, ἀλλ' εὐθύ-
p. 791. τητι τὸ ὑπήκοον κρίνων, καὶ πρὸς τὰς προαιρέσεις τῶν
A ὑποχειρίων τῇ γνώμῃ συναρμοζόμενος, — πάντα τὰ τοι-
αῦτα τῷ λόγῳ τῆς δικαιοσύνης ἀνατιθέασιν οἱ τῇ τοιαύτῃ
ἕξει τὸ δίκαιον ὁριζόμενοι. Ἐγὼ δὲ πρὸς τὸ ὕψος βλέ-
πων τῆς θείας νομοθεσίας πλέον τι τῶν εἰρημένων ἐν
τῇ δικαιοσύνῃ ταύτῃ νοεῖσθαι στοχάζομαι. Εἰ γὰρ κοινὸς
μὲν πρὸς πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ὁ σωτήριος λόγος,
οὐ παντὸς δέ ἐστιν ἀνθρώπου τὸ ἐν τοῖς εἰρημένοις εἶναι
(ὀλίγων γὰρ τὸ βασιλεύειν, τὸ ἄρχειν, τὸ δικάζειν, τὸ ἐν
ἐξουσίᾳ χρημάτων, ἤ τινος ἄλλης οἰκονομίας γενέσθαι),
B τὸ δὲ πλῆθος ἐν τοῖς ὑποχειρίοις τε καὶ οἰκονομουμένοις
ἐστὶν, πῶς ἄν τις δέξαιτο τὴν ἀληθῆ δικαιοσύνην ἐκείνην

was wir nicht sehen, und unsere Natur verhält sich dem Unbekannten gegenüber gewissermaßen träge und regungslos, so lange sie nicht durch Gehör oder Gesicht eine Vorstellung von dem worauf sie ihr Begehren richten soll empfangen hat. Da behaupten also Einige die diese Dinge einer eingehenderen Untersuchung unterworfen haben, Gerechtigkeit sei die Eigenschaft das zuzutheilen was billig ist und einem Jeden nach Verdienst zukommt. Zum Beispiel, wenn Jemand bevollmächtigt wird Geld zu vertheilen, so wird der welcher sein Augenmerk dabei auf die gleiche und billige Vertheilung gerichtet hält und die Gabe nach dem Bedürfniß der Empfänger abmißt, gerecht genannt; und wenn Jemand richterliche Macht empfängt, und nicht nach Gunst und Haß entscheidet, sondern, der Natur der Dinge folgend, die Schuldigen bestraft und die Unschuldigen freispricht, und die Entscheidung sonstiger Streithändel so trifft wie es die Wahrheit fordert, so wird auch der gerecht genannt werden; und wer den Unterthanen die Steuern anordnet, wird, wenn er die Abgabe in richtigem Verhältniß zur Kraft auferlegt, und eben so ein Hausherr, der Gebieter einer Stadt, ein König über Nationen, wenn ein Jeder von ihnen über die ihm Untergebenen in entsprechender Weise sein Herrscheramt ausübt, und nicht, bethört von seiner Machtstellnng, sich von unvernünftigen Gelüsten bewegen läßt, sondern mit ehrlicher Geradheit über die ihm Untergebenen das Richteramt vollzieht und seine Entschließungen in richtigen Einklang mit deren Wünschen zu bringen weiß, — all Dieses legen diejenigen in den Begriff der Gerechtigkeit welche diesem Verfahren das Prädicat gerecht zuerkennen. Wenn ich aber meinen Blick auf die Höhe des göttlichen Gesetzes richte, so komme ich auf die Vermuthung daß außer dem Gesagten noch Etwas mehr unter dieser Gerechtigkeit verstanden werde. Denn wenn die Rede des Heilandes sich gemeinsam auf die gesammte menschliche Natur bezieht, es aber nicht allen Menschen gegeben ist sich unter den Genannten zu befinden (denn Wenige sind Könige, obere Staatsbeamte, Richter, Wenige haben über vieles Geld zu verfügen, oder gelangen zu irgend welcher anderen Verwaltung), vielmehr die große Menge aus Unterthanen und Regierten besteht, wie sollte man

εἶναι ἢ μὴ πᾶσι πρόκειται ὁμοτίμως τῇ φύσει; εἰ γὰρ ὁ σκοπὸς τῷ δικαίῳ κατὰ τοὺς ἔξωθεν λόγους τὸ ἴσον ἐςὶν, ἡ δὲ ὑπεροχὴ τὸ ἄνισον ἔχει, οὐκ ἔςι τὸν ἀποδεδομένον τῆς δικαιοσύνης λόγον ἀληθῆ νομίσαι, εὐθὺς τῷ κατὰ τὸν βίον ἀνίσῳ διελεγχόμενον. Τίς οὖν ἡ δικαιοσύνη ἡ εἰς πάντας φθάνουσα, ἧς ἡ ἐπιθυμία κοινὴ πρό-
C κειται παντὶ τῷ κατὰ τὴν εὐαγγελικὴν τράπεζαν βλέποντι, κἂν πλούσιός τις ᾖ, κἂν πένης, κἂν δουλεύῃ, κἂν κυριεύῃ, κἂν εὐπατρίδης, κἂν ἀργυρώνητος, οὐδεμιᾶς περιςάσεως οὔτε πλεοναζούσης, οὔτε ὑποςελλούσης τοῦ δικαίου τὸν λόγον; Εἰ γὰρ ἐν μόνῳ τῷ προήκοντι κατ' ἐξουσίαν τινὰ καὶ ὑπεροχὴν τὸ τοιοῦτον εὑρίσκοιτο, πῶς δίκαιος ὁ τῷ πυλῶνι τοῦ πλουσίου παρεῤῥιμμένος Λάζαρος, ὁ μηδεμίαν ὕλην πρὸς τὴν τοιαύτην δικαιοσύνην ἔχων, οὐκ ἀρχὴν, οὐκ ἐξουσίαν, οὐκ οἶκον, οὐ τράπεζαν, οὐκ
D ἄλλην τινὰ πρὸς τὸν βίον παρασκευὴν δι' ἧς ἔςι τὴν δικαιοσύνην ἐκείνην ἐργάζεσθαι; εἰ γὰρ ἐν τῷ ἀρχεῖν, ἢ διανέμειν, ἤ τι ὅλως οἰκονομεῖν τὸ δίκαιόν ἐςιν εἶναι, ὁ μὴ ὢν ἐν ἐκείνοις ἔξω τοῦ δικαίου πάντως ἐςίν. Πῶς οὖν ἀξιοῦται τῆς ἀναπαύσεως ὁ μηδὲν ἐσχηκὼς τούτων δι' ὧν ἡ δικαιοσύνη κατὰ τὸν τῶν πολλῶν λόγον χαρακτη-
p. 792. ρίζεται; οὐκοῦν ζητητέα ἡμῖν ἡ δικαιοσύνη ἐκείνη ἧς ὁ
A ἐπιθυμήσας ἐν ἐπαγγελίᾳ τὴν ἀπόλαυσιν ἔχει. Μακάριοι γὰρ, φησὶν, οἱ πεινῶντες [5] καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Πολλῶν καὶ παντοδαπῶν προκειμένων εἰς μετουσίαν, ἐφ' ἃ ἡ ἀνθρωπίνη φύσις τὴν ὀρεκτικὴν ὁρμὴν ἔχει, πολλῆς ἡμῖν χρεία τῆς ἐπιςήμης, ὥςτε ἡμῖν διακρίνειν ἐν τοῖς τοιούτοις ἐδωδίμοις τὸ τρόφιμόν τε καὶ δηλητήριον, ὡς ἂν μὴ τὸ δοκοῦν ὑπὸ τῆς ψυχῆς ἐν τροφῆς μέρει παραλαμβάνεσθαι θάνατον ἡμῖν καὶ διαφθορὰν ἀντὶ τῆς ζωῆς ἐνεργήσειεν. Οὐκ ἄκαιρον δὲ ἴσως διά τινος ἑτέρου τῶν κατὰ τὸ εὐαγγέλιον ζητου-

5) καὶ διψῶντες fehlt in den Ausg.

da zu der Annahme kommen daß die wahre Gerechtigkeit jene sei zu welcher nicht Allen von Natur der gleiche Zutritt erlaubt ist? Denn wenn nach den Behauptungen derer welche außerhalb der christlichen Kirche stehen der Gerechte die Gleichheit zum Ziele hat, die Auszeichnung aber mit Ungleichheit verbunden ist, so kann man die von der Gerechtigkeit gegebene Definition nicht für eine wahre halten, sofern sie sich ja sofort durch die Ungleichheit im Leben widerlegt. Welches ist also die Gerechtigkeit welche auf Alle paßt? nach welcher das gemeinsame Verlangen eines jeden steht welcher auf den Tisch des Evangeliums blickt, gleichviel ob Jemand reich oder arm ist, ob er ein Knecht oder ein Herr, ob er von Adel oder ein für Geld erkaufter Sclave, dergestalt daß kein Verhältniß den Begriff von Gerecht weder erweitert, noch beschränkt? Denn wenn sie allein bei dem welcher uns an Macht und vornehmer Stellung voraus ist angetroffen wird, wie ist dann der vor der Thüre des Reichen verachtet daliegende Lazarus ein Gerechter, dem alle Unterlage für eine solche Gerechtigkeit abgeht, Herrschaft, Macht, ein Haus, ein Tisch, kurz jede Ausstattung für das Leben wodurch man jene Gerechtigkeit ausüben kann? Denn wenn die Gerechtigkeit von dem Herrschen, oder Austheilen, oder überhaupt von irgend welcher Verwaltung bedingt sein kann, so muß nothwendiger Weise derjenige welcher nicht in jener Lage sich befindet außerhalb der Gerechtigkeit stehen. Mit welchem Recht wird nun der welcher Nichts von dem hat wodurch nach der Ansicht der Menge die Gerechtigkeit sich kennzeichnet der Erquickung gewürdigt? Wir müssen also die Gerechtigkeit aufsuchen deren Genuß dem versprochen ist welcher nach ihr Verlangen trägt. Denn, heißt es, selig sind die da hungert und dürstet nach der Gerechtigkeit, denn sie sollen satt werden! Wenn uns Viel und von allerlei Art zu unserem Gebrauch vorliegt, wonach die menschliche Natur begehrt, so haben wir große Einsicht nöthig um unter diesen Speisen das zu unterscheiden was zur Nahrung dienlich und was schädlich ist, damit nicht etwa das was die Seele an Nahrungs Statt aufnehmen zu können scheint uns Tod und Verderben an Stelle des Lebens wirke. Vielleicht ist es nicht unpassend das Verständniß hierüber durch eine

μένων τὴν περὶ τούτου διαρθρῶσαι διάνοιαν. Ὁ κατὰ
B πάντα κοινωνήσας ἡμῖν χωρὶς ἁμαρτίας, καὶ συμμετασχὼν
ἡμῖν τῶν αὐτῶν παθημάτων, τὴν πεῖναν οὐκ ἔκρινεν ἁμαρτίαν, οὐδὲ ἀπώσατο τῆς ἑαυτοῦ πείρας τὸ κατ' αὐτὴν πάθος, ἀλλ' ἐδέξατο τὴν ὀρεκτικὴν ὁρμὴν τῆς φύσεως
Matth. 4, 2. τὴν ἐπὶ τῇ τροφῇ γινομένην. Ἀπόσιτος γὰρ τεσσαράκοντα ἡμερῶν διαμείνας ὕστερον ἐπείνασεν· ἔδωκε γὰρ ὅτε ἐβούλετο τῇ φύσει καιρὸν τὰ ἑαυτῆς ἐνεργῆσαι. Ἀλλ' ὁ τῶν πειρασμῶν εὑρετὴς, ὅτε ἔγνω τὸ κατὰ πεῖναν πάθος καὶ ἐν ἐκείνῳ γενόμενον, συνεβούλευσε λίθοις τὴν ὄρεξιν δεξιώσασθαι, τοῦτο δέ ἐστι τὸ παρατρέψαι τὴν ἐπιθυμίαν
C ἐκ τῆς κατὰ φύσιν τροφῆς ἐπὶ τὰ ἔξω τῆς φύσεως. Εἰπὲ γὰρ, φησὶν, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Τί γὰρ ἠδίκησεν ἡ γεωργία; τίνος δὲ χάριν ἐβδελύχθη τὰ σπέρματα, ὡς τὴν ἀπὸ τούτων ἀτιμασθῆναι τροφήν; τί δὲ καταγινώσκεται ἡ τοῦ δημιουργοῦ σοφία, ὡς οὐ δεόντως διὰ τῶν σπερμάτων τὸ ἀνθρώπινον τρέφουσα; εἰ γὰρ ὁ λίθος εἰς τροφὴν οἰκειότερος νῦν ἀναφαίνεται, ἄρα τῆς δεούσης περὶ τὴν ἀνθρωπίνην ζωὴν προμηθείας ἡ τοῦ θεοῦ
D σοφία διήμαρτεν. Εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ταῦτα λέγει μέχρι τοῦ νῦν τοῖς ὑπὸ τῆς ἰδίας πειραζομένοις ὀρέξεως, καὶ λέγων ὡς ἐπὶ τὸ πολὺ πείθει [6] ἐκ λίθων σιτοποιεῖσθαι τοὺς πρὸς αὐτὸν βλέποντας. Ὅταν γὰρ ἐκβαίνῃ τοὺς ἀναγκαίους ὅρους τῆς χρείας ἡ ὄρεξις, τί ἄλλο καὶ οὐχὶ διαβόλου ἐστὶ συμβουλὴ, τοῦ τότε τὴν ἐκ σπερμάτων παραγραφομένου τροφὴν, καὶ ἐπὶ τὰ ἔξω τῆς φύσεως προκαλουμένου τὴν ὄρεξιν; Ἐκ λίθων ἐσθίουσιν οἱ τὸν τῆς πλεονεξίας ἄρτον παρατιθέμενοι,
p. 793. οἱ τὰς πολυταλάντους [7] τε καὶ φλεγμαινούσας τραπέζας
A ἑαυτοῖς ἐξ ἀδικιῶν ἑτοιμάζοντες, ὧν ἡ παρασκευὴ τῶν δείπνων πομπή τίς ἐστι μεμηχανημένη πρὸς ἔκπληξιν, ἔξω τῶν ἀναγκαίων τῇ ζωῇ [8] παρεμπίπτουσα. Τί γὰρ κοινὸν ἔχει πρὸς τὴν τῆς φύσεως χρείαν ἡ ἄβρωτος ὕλη τοῦ ἀργύρου, ἐν βαρεῖ τε καὶ δυσβαστάκτῳ προτιθεμένη

6) M. ἐπὶ. — 7) τε fehlt in den Ausg. — 8) M. παραπίπτουσα.

anderweitige dem Evangelium entnommene Frage ins Klare zu setzen. Der welcher Alles mit Ausnahme der Sünde mit uns getheilt und mit uns dieselben Affecte angenommen hat, der hat den Hunger für keine Sünde erachtet und es nicht von sich abgewiesen sich auch seinem Affecte zu unterziehen, sondern hat das Verlangen der Natur nach Nahrung angenommen. Nachdem er vierzig Tage gefastet hatte, hungerte ihn nachher; denn er gab der Natur, wann er wollte, Gelegenheit das Ihrige zu wirken. Als aber der Erfinder der Versuchungen sah daß der Affect des Hungers auch in ihm auftrat, gab er den Rath dem Appetit mit Steinen zu begegnen, das heißt die Begierde von der natürlichen Nahrung nach der außernatürlichen zu verkehren. Denn, sagt er, Sprich daß diese Steine Brote werden. Was hat denn der Ackerbau verbrochen? warum sind die Körner verworfen worden, daß die von ihnen bereitete Nahrung mißachtet wird? Was beschuldigt man die Weisheit des Schöpfers als ob sie in nicht ausreichendem Maße das Menschengeschlecht durch das Korn nährte? Denn wenn gegenwärtig der Stein zur Nahrung passender erscheint, so hat also die Weisheit Gottes der nöthigen Fürsorge für das menschliche Leben ermangelt. Sprich daß diese Steine Brote werden! So spricht er noch jetzt zu denen welche von ihrer Eßlust versucht werden, und beredet durch seine Worte die zu ihm Aufblickenden meistentheils dazu aus Steinen sich Speise zu bereiten. Denn wenn der Appetit die Grenzen der Nothdurft überschreitet, was Anderes ist dies als ein Rath des Teufels der damals die aus Korn bereitete Nahrung verachtete, und die Eßlust auf außernatürliche Dinge zu reizen und hinzulenken versuchte? Aus Steinen nehmen sie ihre Nahrung welche sich das Brot des Geizes aufsparen, ferner die welche die schweres Geld kostenden und üppigen Mahlzeiten sich aus ungerechten Handlungen herrüsten, deren Tafelgepränge eine Schaustellung ist, ersonnen um in Staunen zu versetzen, und für das Leben über die Grenze der Nothwendigkeit hinausgehend. Was hat denn zu schaffen mit der Nothdurft der Natur der ungenießbare Stoff des Silbers, ausgestellt auf seinem schweren und kaum zu tragenden Fußgestelle?

τῷ ςαθμῷ; Τί ἐςι τὸ τῆς πείνης πάθος; οὐχὶ τοῦ ἐν-
δέοντος ἔφεσις; διαπνευσθείσης γὰρ τῆς δυνάμεως πάλιν
ἀναπληροῦται τὸ λεῖπον τῇ καταλλήλῳ προςθήκῃ. Ἄρ-
B τος γάρ ἐςιν ἢ ἄλλο τι τῶν ἐδωδίμων οὗ ἡ φύσις ἐφίε-
ται. Εἰ οὖν τις προςαγάγοι χρυσίον ἀντὶ [9] τοῦ ἄρτου τῷ
σώματι, ἆρα θεραπεύει τὴν ἔνδειαν; Ὅταν οὖν τὰς ἀβρώ-
τους τις ὕλας πρὸ τῶν ἐδωδίμων ἐπιζητῇ, ἐν λίθοις ἄν-
τικρυς ἔχει τὴν ἀσχολίαν, ἄλλο ζητούσης τῆς φύσεως ἐν
ἄλλῳ καταγινόμενος. Λέγει ἡ φύσις διὰ τοῦ κατὰ τὴν
πεῖναν πάθους μονονουχὶ φωνὴν ἀφιεῖσα τὸ ἐν χρείᾳ νῦν
εἶναι βρώσεως διὰ τὸ δεῖν ἀντειςαγαγεῖν πάλιν τῷ σώ-
ματι τὸ διαπνευσθὲν τῆς δυνάμεως, σὺ δὲ οὐκ ἀκούεις
C τῆς φύσεως· οὐ γὰρ ὃ ζητεῖ δίδως, ἀλλ' ὅπως ἂν πολύ
σοι γένοιτο τοῦ ἀργύρου τὸ ἄχθος ἐπὶ τῆς τραπέζης φρον-
τίζεις, καὶ τοὺς χαλκευτὰς τῆς ὕλης ἀναζητεῖς, καὶ τὴν
[10] τορείαν τῶν ἐγγλυφομένων ταῖς ὕλαις εἰδώλων περιερ-
γάζῃ, ὅπως ἂν δι' ἀκριβείας τοῖς γλύμμασι τὰ πάθη τε
καὶ τὰ ἤθη διὰ τῆς τέχνης εἰςενεχθείη, ὡς ἐπιγνῶναί τε
τὸν θυμὸν τοῦ ὁπλίτου ὅταν τὸ ξίφος πρὸς τὴν σφαγὴν
ἀνατείνηται, καὶ τὴν ἀλγηδόνα τοῦ τραυματίου ὅταν πρὸς
τὴν καιρίαν συνεςαλμένος οἰμώζειν δόξῃ διὰ τοῦ σχήμα-
D τος, καὶ τὴν ὁρμὴν τοῦ θηρεύοντος, καὶ τοῦ θηρίου τὴν
ἀγριότητα, καὶ ὅσα ἄλλα διὰ τῆς τοιαύτης περιεργίας ἐν
ταῖς ἐπιτραπεζίοις ὕλαις φιλοτεχνοῦσιν οἱ μάταιοι. Πι-
εῖν ἡ φύσις ἐζήτησεν, σὺ δὲ τοὺς πολυταλάντους τρίποδας
εὐτρεπίζεις, πλυνοὺς τε καὶ κρατῆρας καὶ ἀμφορέας, καὶ
ἄλλα μυρία, μηδὲν ἔχοντα πρὸς τὴν ἐπιζητουμένην χρείαν
κοινόν. Ἆρα οὐχὶ φανερῶς ἀκούεις δι' ὧν ποιεῖς τοῦ
πρὸς τὸν λίθον σοι συμβουλεύοντος βλέπειν; Τί δ' ἄν
τις τὰ λοιπὰ τῆς λιθώδους ταύτης διεξίοι τροφῆς, τὰ
p. 794. αἰσχρὰ θεάματα, τὰ ἐμπαθῆ ἀκροάματα, δι' ὧν ὁδοποι-
A οῦσιν ἑαυτοῖς τὴν τῶν κακῶν ἀκολουθίαν, τοῖς ὑπεκκαύ-

9) τοῦ fehlt in den Ausg. — 10) M. ἱςορίαν.

Worin besteht der Affect des Hungers? Nicht in dem Verlangen nach dem was mangelt? Denn wenn die Kraft verraucht ist, wird das was fehlt durch entsprechenden Zuwachs wiederergänzt. Brot ist es ja, oder etwas anderes Eßbares, wonach die Natur verlangt. Wollte demnach Jemand Gold anstatt Brot dem Munde zuführen, hilft er dann dem Mangel ab? Wenn man also nach ungenießbaren Stoffen anstatt der Nahrungsmittel strebt, so müht man sich geradezu mit Steinen, weil man sich mit einem Anderen abgiebt als wonach die Natur verlangt. Die Natur läßt durch den Affect des Hungers gleichsam ihre Stimme vernehmen und spricht es aus daß sie jetzt das Bedürfniß nach Nahrung habe, weil der verrauchte Theil von Kraft dem Körper wiederum zugeführt werden müsse: du aber hörst nicht auf die Natur, denn du giebst nicht was sie verlangt, sondern denkst darauf wie dir nur eine recht große Last von Silber auf den Tisch beschafft werden möge, suchst die Schmiede für den Stoff auf und mühst dich eifrig um die Ciselierung der auf den Stoffen eingearbeiteten Götzenbilder, damit auf die in getriebener Arbeit dargestellten Bilder die Leidenschaften und der Character durch die Kunst mit Genauigkeit übertragen werden, so daß man den zornigen Muth des schwerbewaffneten Kriegers erkennt, wenn das Schwert zum tödtlichen Schlage ausholt, und den Schmerz des Verwundeten, wenn er bei dem Todesstoße entmuthigt und hoffnungslos, wie seine Miene und Haltung es ausdrückt, zu wehklagen scheint, und das Ungestüm des Jägers und die Wildheit des Thieres, und was sonst die eitlen Menschen auf den zu Tafelaufsätzen dienenden Stoffen mit solch unnützem Fleiß kunstvoll herstellen lassen. Zu trinken verlangt die Natur, du aber läßt kostbare Dreifüße und Spülnäpfe und Mischbowlen, und Henkelkrüge, und tausenderlei Anderes was mit der geheischten Befriedigung des Bedürfnisses nichts gemein hat herrichten. Gehorchst du nicht offenbar durch das was du thust dem der dir räth deine Blicke auf den Stein zu richten? Was soll aber Jemand noch die übrigen Arten von dieser Steinspeise aufzählen, die schändlichen Schauspiele, die leidenschaftlichen Declamationen und Musikaufführungen, durch welche sie sich für später nachfolgende Uebel den Weg bahnen, indem sie mit den

μασι τῆς ἀκολασίας τὴν τροφὴν ἐπαρτίοντες; αὕτη τοῦ ἀντικειμένου περὶ τῆς τροφῆς [11] ἐςὶν ἡ συμβουλὴ, ταῦτα διὰ τοῦ πρὸς τοὺς λίθους βλέπειν ἀντὶ τῆς νενομισμένης τοῦ ἄρτου χρήσεως ὑποτίθεται. Ἀλλ' ὁ τῶν πειρασμῶν καθαιρέτης οὐχὶ τὴν πεῖναν ἐξορίζει τῆς φύσεως ὡς κακῶν αἰτίαν, ἀλλὰ τὴν περιεργίαν τὴν ἐκ συμβουλῆς τοῦ ἀντικειμένου συνεισιοῦσαν τῇ χρείᾳ μόνην ἀποπεμψάμενος ἀφῆκεν τοῖς ἰδίοις ὅροις οἰκονομεῖσθαι τὴν φύσιν. Ὥςπερ γὰρ οἱ διηθοῦντες τὸν οἶνον οὐκ ἀτιμάζουσιν αὐ-
B τοῦ τὸ χρήσιμον διὰ τὴν καταμιχθεῖσαν ἄχνην αὐτῷ, ἀλλὰ τῷ [12] ἠθμῷ τὰ περιττὰ διακρίναντες τοῦ καθαροῦ τὴν χρῆσιν οὐκ ἀποβάλλουσιν, οὕτως ὁ θεωρητικός τε καὶ διακριτικὸς τῶν ἀλλοτρίων τῆς φύσεως λόγος τῇ λεπτότητι τῆς ἀκριβοῦς θεωρίας τὴν μὲν πεῖναν ὡς συντηρητικὴν οὖσαν τῆς ζωῆς ἡμῶν οὐκ ἐξώρισεν, τὰς δὲ συμπλεκομένας τῇ χρείᾳ περιεργίας διήθησέν τε καὶ ἀπέῤῥιψεν, εἰπὼν ἐκεῖνον εἰδέναι τρόφιμον ἄρτον ὃς τῷ ῥήματι τοῦ θεοῦ πρὸς τὴν φύσιν ᾠκείωται. Εἰ οὖν ἐπείνασεν ὁ Ἰησοῦς, μακαριςὸν ἂν εἴη τὸ πεινᾶν, ὅταν κατὰ
C μίμησιν ἐκείνου ἐνεργῆται καὶ ἐν ἡμῖν. Εἰ τοίνυν ἔγνωμεν τί ἐςιν οὗ πεινᾷ [13] ὁ κύριος, γνωσόμεθα πάντως τοῦ μακαρισμοῦ τοῦ νῦν ἡμῖν προκειμένου τὴν δύναμιν. Ποία οὖν ἐςιν ἡ βρῶσις ἧς ὁ Ἰησοῦς τὴν ἐπιθυμίαν οὐκ ἐπαισχύνεται; Φησὶ πρὸς τοὺς μαθητὰς, μετὰ τὸν πρὸς τὴν
Ioann. 4, 34. Σαμαρεῖτιν διάλογον ὅτι, Ἐμὸν βρῶμά ἐςιν ἵνα ποιῶ τὸ
1 Tim. 2, 4. θέλημα τοῦ πατρός μου. Φανερὸν δὲ τοῦ πατρός ἐςι τὸ θέλημα, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Οὐκοῦν εἰ ἐκεῖνος ὀρέγεται τοῦ
D ἡμᾶς σωθῆναι, καὶ τροφὴ αὐτοῦ γίνεται ἡ ἡμετέρα ζωὴ, μεμαθήκαμεν εἰς ὅ τι χρηςέον ἂν εἴη τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει. Τί οὖν τοῦτό ἐςι; Πεινάσωμεν τὴν ἑαυτῶν σωτηρίαν, διψήσωμεν τοῦ θείου θελήματος, ὅπερ ἐςὶ τὸ ἡμᾶς σωθῆναι. Πῶς οὖν ἔςι τὴν τοιαύτην ἡμῖν

---

11) M. ἐςὶ συμβουλή. — 12) M. ἰθμῷ. — 13) ὁ fehlt bei M., obgleich es in der Ausg. von 1615. sich vorfindet.

Reizmitteln der Zügellosigkeit die Speise würzen? Das ist der Rath des Feindes über die Speise; Solches giebt er uns an die Hand dadurch daß er uns unsere Blicke auf die Steine richten heißt, anstatt des herkömmlichen Gebrauchs des Brotes. Aber der welcher den Versuchungen ein Ende macht, der verbannt den Hunger nicht aus der Natur als Ursache des Bösen, sondern er weist nur das Unnütze und Ueberflüssige, welches sich auf den Rath des Feindes zugleich mit dem Nöthigen Eingang verschafft, zurück und überläßt der Natur sich innerhalb ihrer Grenzen zu regieren. Denn gleichwie diejenigen welche den Wein durchseihen darum nicht seinen Nutzen verachten weil er mit Hefen vermischt ist, sondern vermittelst des Seihers das nicht dazu Gehörige ausscheiden und den so geläuterten zu benutzen nicht verschmähen, so hat auch das scharfblickende und das Fremdartige aus der Natur ausscheidende Wort des Herrn durch den Scharfsinn seiner gründlichen Erkenntniß den Hunger als einen Erhalter unseres Lebens nicht verbannt, aber den mit der Nothdurft sich verflechtenden unnützen Ueberfluß abgeseihet und fortgeworfen, wenn er sagte daß er jenes Brot als das Nahrung gebende kenne welches durch das Wort Gottes der Natur angewiesen und zu eigen gegeben sei. Hat also Jesus gehungert, so kann das Hungern wohl selig gepriesen werden, wenn es in Nachahmung seines Hungerns auch in uns gewirkt wird. Haben wir demnach erkannt was das ist wonach den Herrn hungert, so werden wir nothwendiger Weise auch die Bedeutung der uns jetzt vorliegenden Seligkeit erkennen. Welches ist also die Speise nach welcher zu begehren Jesus sich nicht schämt? Er spricht zu den Jüngern nach der Unterredung mit der Samariterin, Meine Speise ist daß ich thue den Willen meines Vaters. Offenbar aber ist der Wille des Vaters der daß er will daß alle Menschen gerettet werden und zur Erkenntniß der Wahrheit kommen. Verlangt also Jener danach daß wir gerettet werden und ist unser Leben seine Speise, so haben wir damit gelernt welche Anwendung wir von diesem Zustand der Seele machen sollen. Welche ist nun diese? Laßt uns hungrig sein nach unserer Rettung und dürsten nach dem Willen Gottes, welcher der ist daß wir gerettet werden. Wie wir uns

κατορθωθῆναι πεῖναν, νῦν παρὰ τοῦ μακαρισμοῦ μεμαθήκαμεν. Ὁ γὰρ τὴν δικαιοσύνην τοῦ Θεοῦ ποθήσας εὗρεν τὸ ἀληθῶς ὀρεκτόν· οὗ τὴν ἐπιθυμίαν οὐχ ἑνὶ τρό-
p. 795. πῳ τῶν κατὰ τὴν ὄρεξιν ἐνεργουμένων ἐπλήρωσεν. Οὐ γὰρ
A μόνον ὡς βρῶσιν τὴν τοῦ δικαίου μετουσίαν ἐπόθησεν· ἡμιτελὴς γὰρ ἂν ἦν ἐπὶ ταύτης μόνης τῆς διαθέσεως ςᾶσα ἡ ὄρεξις. Νυνὶ δὲ καὶ πότιμον τὸ ἀγαθὸν τοῦτο ἐποίησεν, ἵνα τὸ ἔνθερμόν τε καὶ διακαὲς τῆς ἐπιθυμίας τῷ πάθει τῆς δίψης ἐνδείξηται. Ξηροὶ γὰρ τρόπον τινὰ καὶ φλογώδεις ἐν τῷ καιρῷ τοῦ δίψους γινόμενοι ὡς θεραπευτικὸν τῆς τοιαύτης διαθέσεως τὸ ποτὸν μεθ᾽ ἡδονῆς προςφερόμεθα. Ἐπεὶ οὖν μία μὲν τῷ γένει ἡ ὄρεξις ἐπὶ
B βρώσεώς τε καὶ πόσεως, [14] διάφορος δὲ ἡ πρὸς ἑκάτερον τούτων διάθεσις, ὡς ἂν τὸ ἀκρότατον τῆς πρὸς τὸ ἀγαθὸν ἐπιθυμίας ὁ λόγος ἡμῖν νομοθετήσειεν, μακαρίζει τοὺς τὰ δύο ταῦτα πρὸς τὴν δικαιοσύνην πάσχοντας, τὴν πεῖνάν τε καὶ τὴν δίψαν, ὡς ἱκανοῦ ὄντος τοῦ ποθουμένου πρὸς ἑκατέραν ἁρμοσθῆναι καταλλήλως τὴν ὄρεξιν, καὶ ςεῤῥὰν μὲν τῷ πεινῶντι [15] γενέσθαι τροφὴν, πότιμον δὲ τῷ διψητικῶς ἐφελκυσαμένῳ τὴν χάριν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.
C Ἆρ᾽ οὖν τὸ μὲν πρὸς τὴν δικαιοσύνην ὀρεκτικῶς ἔχειν μακαριςὸν, εἰ δέ τις πρὸς τὴν σωφροσύνην, ἢ τὴν σοφίαν, ἢ τὴν φρόνησιν, ἢ εἴ τι ἄλλο τῆς ἀρετῆς εἶδός ἐςιν, ὁμοίως ἔχει, τοῦτον οὐ μακαρίζει ὁ λόγος; Ἀλλὰ τοιοῦτόν τινα τάχα νοῦν τὸ λεγόμενον ἔχει. Ἓν τῶν κατ᾽ ἀρετὴν νοουμένων ἡ δικαιοσύνη ἐςίν. Συνήθως δὲ πολλάκις ἡ θεία γραφὴ διὰ τῆς τοῦ μέρους μνήμης περιλαμβάνει τὸ ὅλον, ὡς ὅταν τὴν θείαν φύσιν δι᾽ ὀνομάτων τινῶν ἑρμηνεύῃ. Λέγει γὰρ, Ἐγὼ κύριος, ὡς ἐκ προσώπου
Esai. 42, 8. D τοῦ θεοῦ ἡ προφήτεια, τοῦτό μοι ὄνομα αἰώνιον· καὶ μνημόσυνον γενεῶν γενεαῖς· καὶ πάλιν ἑτέρωθί φησιν,

---

14) M. διάφορον. — 15) M. γίνεσθαι.

nun diesen Hunger bewirken können, das haben wir von der Seligpreisung erfahren. Denn wer sich nach der Gerechtigkeit Gottes sehnt, der hat das gefunden wonach man in Wahrheit Verlangen tragen muß. Die Begierde danach stillt er nicht nur nach einer der beiden Seiten hin nach welchen der Appetit in uns wirkt, sofern ihn nicht bloß zum Essen nach der Gewährung der Gerechtigkeit verlangt; würde doch, wenn bei diesem Zustand allein das Begehren stehen bliebe, es nur ein halbvollkommenes sein. So aber hat er dieses Gut auch trinkbar gemacht, auf daß die Hitze und das Feuer der Begierde durch den Affect des Durstes angedeutet würde. Denn wenn wir zur Zeit des Durstes gedörrt sind und brennen, dann nehmen wir mit Lust den Trank zur Beseitigung dieses Zustandes. Ist nun wohl der Art nach das Begehren nach Speise und das Begehren nach Trank ein und dasselbe, verschieden aber der Zustand welcher jenem von dem welcher diesem entspricht, so preist das Wort des Herrn, um die höchste Begierde nach dem Guten uns zum Gesetz zu machen, diejenigen selig welche beides, nämlich Hunger und Durst nach der Gerechtigkeit empfinden, sofern das Ersehnte geeignet ist beiderlei Begehren passend zu entsprechen, sowohl eine feste Speise zu werden für den welchen hungert, als ein Trank für den welcher durstig die Gnade in sich zieht. Selig sind die da hungert und dürstet nach der Gerechtigkeit, denn sie sollen satt werden! Also ist es wohl selig zu preisen daß man nach der Gerechtigkeit Begehren trägt, wenn aber Jemand ein Gleiches thut mit der Besonnenheit, mit der Weisheit, oder mit der Klugheit, oder was sonst für Arten der Tugend es noch giebt, den preist wohl das Wort des Herrn nicht selig? Der Ausspruch hat vielleicht folgenden Sinn. Ein Attribut der Tugend ist die Gerechtigkeit. Oft aber pflegt die göttliche Schrift durch Erwähnung des Theils das Ganze mitzuumfassen, wie zum Beispiel wenn sie die Natur Gottes durch den einen oder anderen Namen erklärt. Denn der Prophet sagt gleichsam aus der Person Gottes heraus, Ich, der Herr, das ist mein ewiger Name, und ein Gedächtniß den Geschlechtern der Geschlechter; und wiederum an einer anderen Stelle heißt es, Ich bin der ich bin; und

Exod. 3, 14. Jerem. 3, 12 Ἐγώ εἰμι ὁ ὤν· καὶ ἐν ἑτέρῳ ὅτι, Ἐλεήμων εἰμί. Καὶ μυρίοις ἄλλοις ὀνόμασιν τοῖς τὸ ὑψηλόν τε καὶ θεοπρεπὲς διασημαίνουσιν οἶδεν ὀνομάζειν αὐτὸν ἡ ἁγία γραφὴ, ὥςτε διὰ τούτων μαθεῖν ἀκριβῶς ὅτι, ὅταν ἕν τι εἴπῃ, πᾶς ὁ τῶν ὀνομάτων κατάλογος κατὰ τὸ σιωπώμενον τῷ ἑνὶ συνεκφωνεῖται. Οὐ γὰρ ἐνδέχεται, ἐὰν κύριος λέγηται, μὴ καὶ τὰ ἄλλα εἶναι, ἀλλὰ πάντα δι' ἑνὸς ὀνόματος ὀνομάζεται. Διὰ τούτων οὖν μεμαθήκαμεν ὅτι διὰ μέρους τινὸς πολλὰ περιλαμβάνειν οἶδεν p. 796. ὁ θεόπνευςος λόγος. Οὐκοῦν καὶ ἐνταῦθα τὴν δικαιο-A σύνην τοῖς μακαριςῶς πεινῶσιν προκεῖσθαι ὁ λόγος εἰπὼν πᾶν εἶδος ἀρετῆς διὰ ταύτης [16] ὑποσημαίνει, ὡς ἐπίσης μακαριςὸν εἶναι τὸν καὶ φρόνησιν, καὶ ἀνδρείαν, καὶ σωφροσύνην πεινῶντα, καὶ εἴ τι ἕτερον ἐν τῷ αὐτῷ τῆς ἀρετῆς λόγῳ καταλαμβάνεται. Οὐδὲ γάρ ἐςι δυνατὸν ἕν τι τῆς ἀρετῆς εἶδος τῶν λοιπῶν διεζευγμένον αὐτὸ καθ' ἑαυτὸ τελείαν τὴν ἀρετὴν εἶναι. Ὧι γὰρ ἂν μὴ συνθεωρῆταί τι τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων, ἀνάγκη πᾶσα τὸ ἀντιδιαςελλόμενον ἐπ' αὐτοῦ χώραν ἔχειν· ἀντι-B διέςηκε δὲ τῇ σωφροσύνῃ μὲν τὸ ἀκόλαςον, τῇ φρονήσει δὲ ἡ ἀφροσύνη, καὶ ἑκάςῳ τῶν πρὸς τὸ κρεῖττον ὑπειλημμένων [17] ἔςι τι πάντως τὸ ἐκ τοῦ ἐναντίου νοούμενον. Εἰ οὖν μὴ πάντα τῇ δικαιοσύνῃ συνθεωροῖτο, ἀμήχανον ἂν εἴη τὸ λειπόμενον ἀγαθὸν εἶναι. Οὐκ ἂν γάρ τις εἴποι ἄφρονα δικαιοσύνην, ἢ θρασεῖαν, ἢ ἀκόλαςον, ἢ ἄλλο τι τῶν ἐν κακίᾳ θεωρουμένων. Εἰ δὲ παντὸς τοῦ χείρονος ἀμιγὴς ὁ τῆς δικαιοσύνης λόγος ἐςὶν, ἅπαν ἐν ἑαυτῷ πάντως τὸ ἀγαθὸν περιείληφεν· ἀγαθὸν δὲ πᾶν τὸ κατ' ἀρετὴν θεωρούμενον. Οὐκοῦν πᾶσα ἀρετὴ τῷ ὀνόματι C τῆς δικαιοσύνης ἐνταῦθα διασημαίνεται· ἧς τοὺς πεινῶντάς τε καὶ διψῶντας μακαρίζει ὁ λόγος, τὴν πλησμονὴν αὐτοῖς τῶν ἐπιθυμουμένων ἐπαγγελλόμενος. Μακάριοι γὰρ, φησὶν, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην,

16) M. ἀποσημαίνει. — 17) M. ἐςί.

Uebrigen das Gebot der Kraft derer welche es empfangen entsprechend ist, und zu Nichts zwingt was über die Natur hinausgeht, so wollen wir auf Grund dessen auch durchaus erkennen daß wir an dem nicht verzweifeln dürfen was uns durch die Seligpreisung in Aussicht gestellt wird, daß vielmehr auch Johannes und Paulus und Moses, und wer sonst ihnen ähnlich ist, dieser erhabenen Seligkeit nicht verlustig gegangen sind welche aus dem Schauen Gottes erwächst, weder der welcher gesagt hat, Mir ist aufbewahrt die Krone der Gerechtigkeit, welche mir der gerechte Richter geben wird, noch der welcher an der Brust Jesu gelegen hatte, noch der welcher von der Stimme Gottes die Worte vernommen hatte, Ich habe dich erkannt vor Allen. Wenn demnach nicht gezweifelt wird daß jene von denen das Anschauen Gottes als ein über unsere Kraft hinausgehend Ding gepredigt worden ist selig sind, die Seligkeit aber aus dem Schauen Gottes kommt, dieses aber daraus daß man reinen Herzens wird, so ist also die Reinheit des Herzens, wodurch wir selig zu werden vermögen, keine Unmöglichkeit. Wie kann man also sagen daß Paulus die Wahrheit spricht, wenn er erklärt daß Gott zu schauen über unsere Kraft gehe, und daß die Stimme des Herrn nichts dem Entgegengesetztes lehre, wenn sie verspricht daß Gott in der Reinheit geschaut werden solle? Mir scheint es passend zu sein erst hierüber eine kurze Auseinandersetzung zu geben, damit die Betrachtung der Hauptfrage auf geordnetem Wege von uns unternommen werden kann. Was die göttliche Natur an sich selbst ihrem Wesen nach ist, das liegt über unser Fassungsvermögen hinaus, sofern sie allen Vermuthungen unzugänglich und unnahbar ist, und von den Menschen noch keine Möglichkeit entdeckt worden ist das Unbegreifliche zu erkennen, noch ein Mittel ersonnen das was sich unseren Fähigkeiten entzieht zu fassen. Deßhalb nennt auch der große Apostel seine Wege unerforschlich, und deutet durch dies Wort an daß jener Weg welcher zur Erkenntniß des göttlichen Wesens führt von unseren Gedanken nicht betreten werden kann, weil noch keiner von denen welche den Weg des Lebens vor uns gegangen sind nur eine Spur

δευκότων τὸν βίον ἴχνος τι καταληπτικῆς ἐπινοίας σημαινομένου τῇ γνώσει τοῦ ὑπὲρ γνῶσιν πράγματος. Τοιοῦτος δὲ ὢν κατὰ τὴν φύσιν ὁ ὑπὲρ πᾶσαν φύσιν ἄλλῳ λόγῳ καὶ ὁρᾶται καὶ καταλαμβάνεται, ὁ ἀόρατός τε καὶ
p. 814. [28] ἀκατάληπτος. Πολλοὶ δὲ οἱ τῆς τοιαύτης κατανοήσεως
A τρόποι. Ἔςι γὰρ καὶ διὰ τῆς ἐμφαινομένης τῷ παντὶ σοφίας τὸν ἐν σοφίᾳ πάντα πεποιηκότα ςοχαςικῶς ἰδεῖν, καθάπερ καὶ ἐπὶ τῶν [29] ἀνθρωπίνων δημιουργημάτων ὁρᾶται τρόπον τινὰ τῇ διανοίᾳ ὁ δημιουργὸς τοῦ προκειμένου κατασκευάσματος, τὴν τέχνην τῷ ἔργῳ ἐναποθέμενος, ὁρᾶται δὲ οὐχ ἡ φύσις τοῦ τεχνιτεύσαντος, ἀλλὰ μόνον ἡ τεχνικὴ ἐπιςήμη ἣν ὁ τεχνίτης τῇ κατασκευῇ ἐναπέθετο, οὕτω καὶ πρὸς τὸν ἐν τῇ κτίσει βλέποντες κόσμον ἔννοιαν οὐ τῆς οὐσίας, ἀλλὰ τῆς σοφίας τοῦ [30] τὰ πάντα σοφῶς
B πεποιηκότος ἀνατυπούμεθα. Κἂν τῆς ἡμετέρας ζωῆς τὴν αἰτίαν λογισώμεθα, ὅτι οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐξ ἀγαθῆς προαιρέσεως ἦλθεν εἰς τὸ κτίσαι τὸν ἄνθρωπον, πάλιν καὶ διὰ τούτου τοῦ τρόπου καθεωρακέναι λέγομεν τὸν θεὸν, τῆς ἀγαθότητος, οὐ τῆς οὐσίας ἐν περινοίᾳ γενόμενοι. Οὕτω καὶ τὰ ἄλλα πάντα, ὅσα πρὸς τὸ κρεῖττόν τε καὶ ὑψηλότερον ἀνάγει τὴν ἔννοιαν, θεοῦ κατανόησιν τὰ τοιαῦτα κατονομάζομεν, ἑκάςου τῶν ὑψηλῶν νοημάτων τὸν θεὸν ἡμῖν εἰς ὄψιν ἄγοντος. Ἡ γὰρ δύναμις, καὶ ἡ καθαρότης, καὶ τὸ ὡςαύτως ἔχειν, καὶ τὸ ἀμιγὲς τοῦ ἐναντίου, καὶ πάντα τὰ τοιαῦτα, θείας τινὸς καὶ ὑψηλῆς
C [31] ἐννοίας ἐντυποῖ ταῖς ψυχαῖς τὴν φαντασίαν. Οὐκοῦν δείκνυται διὰ τῶν εἰρημένων πῶς καὶ ὁ κύριος ἀληθεύει, ὀφθήσεσθαι τὸν θεὸν [32] τοῖς καθαροῖς τὴν καρδίαν ἐπαγγειλάμενος, καὶ ὁ Παῦλος οὐ ψεύδεται, μήτε ἑωρακέναι τινὰ τὸν θεὸν, μήτ' ἰδεῖν δύνασθαι διὰ τῶν [33] ἰδίων λόγων ἀποφηνάμενος· ὁ γὰρ τῇ φύσει ἀόρατος ὁρατὸς ταῖς ἐνεργίαις γίνεται, ἔν τισι τοῖς περὶ αὐτὸν [34] ἰδιώμασι καθορώμενος. Ἀλλ' οὐ πρὸς τοῦτο βλέπει μόνον τοῦ μα-

---

28) M. ἀπερίγραπτος. — 29) M. ἀνθρώπων. — 30) M. κατὰ πάντα. — 31) Die Ausg. von 1615. hat den gewöhnlichen Druckfehler εὐ-

eines die Erkenntniß des über die Erkenntniß hinausliegenden Gegenstandes begreiflich machenden Mittels andeutet. Während aber der welcher alle Natur überragt seiner Natur nach so beschaffen ist, wird er, der Unsichtbare und Unbegreifliche, dennoch auf andere Weise sowohl geschaut als auch begriffen. Es giebt aber viele Wege dieses Schauens und Erkennens. Denn man kann den welcher in seiner Weisheit alle Dinge gemacht hat muthmaßend auch erblicken durch die in dem All uns sichtbar entgegentretende Weisheit. Gleichwie auch bei menschlichen Werken der Verfertiger des vorliegenden Erzeugnisses gewissermaßen geistig gesehen wird, weil er seine Kunst in dem Werke niedergelegt hat, nicht aber die Natur des verfertigenden Künstlers gesehen wird, sondern nur das künstlerische Geschick was er in seiner Schöpfung niedergelegt hat, so prägen wir uns auch beim Anblick der in der Schöpfung bestehenden Ordnung eine Vorstellung ein, nicht von dem Wesen, aber von der Weisheit dessen der das All weise geschaffen hat. Und wenn wir die Ursache unseres Lebens bedenken, daß er nicht aus Nothwendigkeit, sondern aus gutem Willen dazu schritt den Menschen zu schaffen, so sagen wir daß wir auch auf diesem Wege Gott gesehen haben, wenn schon wir eben nur zum Erkennen seiner Güte, nicht seines Wesens, gekommen sind. So nennen wir auch alles Andere was den Geist zum Besseren und Erhabeneren emporführt Erkenntniß Gottes, weil jeder erhabene Gedanke uns Gott vor Augen führt. Denn die Kraft, und die Lauterkeit, und die Unveränderlichkeit, und die Freiheit von dem Gegentheiligen, und alles Derartige, prägt den Seelen das Bild einer göttlichen und erhabenen Vorstellung ein. Das Gesagte beweist also inwiefern sowohl der Herr die Wahrheit spricht, wenn er denen die reinen Herzens sind verheißt daß sie Gott schauen sollen, als auch Paulus nicht lügt, wenn er seinerseits erklärt daß Niemand Gott gesehen hat, noch sehen kann; denn der seiner Natur nach Unsichtbare wird durch sein Wirken sichtbar, und läßt sich in einzelnen ihn umgebenden Eigenschaften erkennen. Allein nicht bloß darauf geht der Sinn der Seligpreisung, daß der Wir-

νοίας. — 32) M. τοῖς καρδίαν ἔχουσι καθαρὰν. — 33) M. οἰκείων. — 34) ἰδιώμασι fehlt in den Ausg.

θείσης ἐν καθαρᾷ τῇ τῆς καρδίας αἰθρίᾳ τηλαυγῶς βλέπεις τὸ μακάριον θέαμα. Τοῦτο δέ ἐςι τί; [42] ἡ καθαρότης, ὁ ἁγιασμὸς, ἡ ἁπλότης, πάντα τὰ τοιαῦτα τὰ φωτοειδῆ τῆς θείας φύσεως ἀπαυγάσματα δι᾽ ὧν ὁ θεὸς ὁρᾶται. Ἀλλὰ τὸ μὲν ταῦτα οὕτως ἔχειν· ἐκ τῶν εἰρημένων οὐκ ἀμφιβάλλομεν. Ἔτι δὲ ἡμῖν ὁ λόγος τὸ ἐξ ἀρχῆς ἀπο-
D ρηθὲν ἐπὶ τῆς αὐτῆς ἀμηχανίας βλέπει. Ὡς γὰρ ὁ ἐν οὐρανῷ γενόμενος ἐν μετουσίᾳ τῶν οὐρανίων θαυμάτων ἐςὶν, ὁ δὲ τῆς ἀνόδου τρόπος ἀμήχανος [43] ὧν οὐδὲν ἡμῖν τῶν διωμολογημένων κέρδος ποιεῖ, οὕτως ἐκ τοῦ καθαρθῆναι τὴν καρδίαν τὸ μακάριον γενέσθαι οὐκ ἀμφιβάλλεται, τὸ δ᾽ ὅπως ἄν τις αὐτὴν τῶν μολυνθέντων ἀποκαθάρειεν ἴσον ἀντικρὺς εἶναι δοκεῖ τῆς ἐπὶ τὸν οὐρανὸν ἀναβάσεως. Ποία τοίνυν κλίμαξ τοῦ Ἰακὼβ, ποῖον εὑρε-
p. 817. θήσεται πύρινον ἅρμα καθ᾽ ὁμοιότητα τοῦ τὸν προφήτην
A Ἠλίαν πρὸς οὐρανὸν ἀνυψώσαντος, ᾧ πρὸς τὰ ἄνω θαύματα ἡ καρδία ἡμῶν ἐπαρθεῖσα τὸ γήϊνον τοῦτο βάρος ἀποτινάξεται; Εἰ γάρ τις ἐν περινοίᾳ γένοιτο τῶν ἀναγκαίων τῆς ψυχῆς παθημάτων, ἄπορον οἰήσεται καὶ ἀμήχανον τὴν τῶν συνεζευγμένων κακῶν ἀναχώρησιν. Εὐθὺς ἐκ πάθους ἡμῖν ἡ γένεσις ἄρχεται, καὶ διὰ πάθους ἡ αὔξησις πρόεισιν, καὶ εἰς τὸ πάθος ἡ ζωὴ καταλήγει· [44] ἀνακέκραταί πως τὸ κακὸν πρὸς τὴν φύσιν διὰ τῶν ἐξ
B ἀρχῆς παραδεξαμένων τὸ πάθος, τῶν διὰ τῆς παρακοῆς εἰςοικισαμένων τὴν νόσον. Ὥςπερ δὲ τῇ διαδοχῇ τῶν ἐπιγινομένων καθ᾽ ἕκαςον εἶδος τῶν ζώων ἡ φύσις συνδιεξέρχεται, ὡς ταὐτὸν εἶναι τὸ γενόμενον κατὰ τὸν τῆς φύσεως λόγον [45] τῷ ἐξ οὗ γέγονεν, οὕτως ἐξ ἀνθρώπου ἄνθρωπος γίνεται, ἐξ ἐμπαθοῦς ἐμπαθὴς, ἐξ ἁμαρτωλοῦ τοιοῦτος. Οὐκοῦν συνυφίςαται τρόπον τινὰ τοῖς γινομένοις ἡ ἁμαρτία, συναποτικτομένη τε καὶ συναύξουσα, καὶ τῷ τῆς ζωῆς ὅρῳ συγκαταλήγουσα. Ἀλλὰ δυςεπίτευκτον ἡμῖν εἶναι τὴν ἀρετὴν μυρίοις ἱδρῶσι καὶ πόνοις,

---

42) ἡ fehlt in den Ausg. — 43) M. ὧν. — 44) M. καὶ ἀνακέκραται. — 45) M. τοῦ.

reiner Aetherklarheit des Herzens den seligen Anblick ungetrübt vor dir hast. Was ist dies aber für ein Anblick? Es ist die Lauterkeit, die Heiligung, die Einfalt, es sind alle diese leuchtenden Abstrahlungen der göttlichen Natur wodurch Gott gesehen wird. Doch, wir zweifeln nach dem Gesagten nicht daß sich dieses so verhält. Unsere Untersuchung erblickt aber die anfängliche Frage noch in derselben ungelösten Schwierigkeit. Denn gleichwie der welcher in den Himmel kommt sich in dem Genuß der himmlischen Wunder befindet, aber die Unmöglichkeit dort hinaufzusteigen uns keinen Gewinn dessen bringt worüber unter uns gar kein Zweifel obwaltet, so zweifeln wir nicht daß aus der Reinigung des Herzens die Seligkeit entspringt, wie man aber dasselbe von seinen Besudelungen reinigen könne, damit scheint es sich offenbar ähnlich zu verhalten wie mit dem Hinaufsteigen in den Himmel. Was für eine Jakobsleiter also, was für ein Feuerwagen, ähnlich dem welcher den Propheten Elias zum Himmel emporgeführt hat, wird sich auffinden lassen, auf welchem unser Herz zu den Wundern da droben sich emporheben und diese irdische Schwere von sich abschütteln wird? Denn wenn man an die Verkettung der Leiden denkt, so wird man es für ganz und gar unmöglich halten den eins mit dem andern zusammenhängenden Uebeln zu entgehen. Mit Leiden beginnt gleich unsere Geburt, unser Wachsthum schreitet durch Leiden vorwärts, und im Leiden endet das Leben; es ist das Leiden gewissermaßen mit unserer Natur gemischt, durch die welche von Anfang die Leidenschaft in sich aufgenommen und durch den Ungehorsam der Krankheit Eingang verschafft haben. Wie aber die Natur durch die Nachfolge des neuen Zuwachses in jeder Art von lebenden Geschöpfen mit vorwärts schreitet, dergestalt daß nach ihrem eigenen Gesetz das Geborene dasselbe mit dem ist aus welchem es entstanden ist, so wird auch aus einem Menschen ein Mensch, aus einem den Leidenschaften Unterworfenen ein den Leidenschaften Unterworfener, und aus einem Sündhaften wieder ein solcher. Sonach entsteht die Sünde gewissermaßen zugleich mit denen welche in das Leben eintreten, wird zugleich mitgeboren und wächst mit auf und endet mit an der Grenze des Lebens. Daß aber die Tugend ein schwer zu erlangendes Gut sei, welches sich

C σπουδῇ καὶ καμάτῳ μόγις κατορθουμένην, πολλαχῇ παρὰ τῆς θείας γραφῆς ἐδιδάχθημεν, τεθλιμμένην καὶ διὰ στενοῦ προϊοῦσαν τὴν ὁδὸν τῆς βασιλείας ἀκούσαντες, πλατείαν [46] δὲ καὶ κατάντη καὶ ἐπίδρομον, τὴν διὰ κακίας τὸν βίον ἐπὶ τὴν ἀπώλειαν ἀπάγουσαν. Οὐ μὴν καθόλου ἀμήχανον τὴν ὑψηλὴν ζωὴν ἡ γραφὴ διωρίσατο, ἡ τοσούτων ἀνδρῶν ἐν ταῖς ἱεραῖς βίβλοις ἐκθεμένη τὰ θαύματα. Ἀλλ' ἐπειδὴ διπλῆς οὔσης τῆς διανοίας ἐν τῇ τοῦ ἰδεῖν τὸν θεὸν ἐπαγγελίᾳ, μιᾶς μὲν τοῦ γνῶναι τὴν τοῦ παντὸς ὑπερκειμένην φύσιν, ἑτέρας δὲ τοῦ ἀνακραθῆναι πρὸς αὐτὸν διὰ τῆς κατὰ τὴν ζωὴν καθαρότητος, τὸ μὲν πρότερον τῆς κατανοήσεως εἶδος ἀμήχανον εἶναι ἡ τῶν ἁγίων
D φωνὴ διορίζεται, τὸ δὲ δεύτερον ὑπισχνεῖται τῇ ἀνθρωπίνῃ φύσει διὰ τῆς παρούσης διδασκαλίας ὁ κύριος εἰπών. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Τὸ δ' ὅπως ἔστι καθαρὸν γενέσθαι, διὰ πάσης σχεδὸν τῆς εὐαγγελικῆς διδασκαλίας ἔξεστί σοι τὸ τοιοῦτον μαθεῖν. Τοῖς γὰρ ἐφεξῆς ἐπιδραμὼν παραγγέλμασιν
p. 318. σαφὲς εὑρήσεις τὸ τῆς καρδίας καθάρσιον. Εἰς δύο γὰρ
A διελὼν τὴν κακίαν, τήν τε διὰ τῶν ἔργων καὶ τὴν ἐν νοήμασιν συνισταμένην, πρότερον μὲν διὰ τοῦ ἀρχαίου νόμου τὴν διὰ τῶν ἔργων φανερουμένην ἀδικίαν ἐκόλασεν, νῦν δὲ περὶ τὸ ἕτερον τῆς ἁμαρτίας εἶδος βλέπειν τὸν νόμον ἐποίησεν, οὐ τὸ ἔργον τὸ πονηρὸν τιμωρούμενος, ἀλλ' ὅπως ἂν μηδὲ τὴν ἀρχὴν γένοιτο τὸ [47] κακὸν προμηθούμενος. Τὸ γὰρ τῆς προαιρέσεως ἐξελεῖν τὴν κακίαν ἐκ πολλοῦ τοῦ περιόντος ἐστὶν ἀλλότριον τῶν πονηρῶν ἔργων τὸν βίον ἐργάσασθαι. Πολυμεροῦς δὲ καὶ πολυειδοῦς τῆς
B κακίας οὔσης, ἑκάστῳ τῶν ἀπηγορευμένων ἰδίαν τὴν διὰ τῶν παραγγελμάτων θεραπείαν ἀντέθηκεν· καὶ ἐπειδὴ πρόχειρον ὡς ἐπὶ πολὺ παρὰ πάντα τὸν βίον τὸ κατὰ τὴν ὀργὴν ἐστιν ἀῤῥώστημα, ἐκ τοῦ μᾶλλον ἐπικρατοῦντος τῆς θεραπείας ἄρχεται, τὸ ἀόργητον ἐν πρώτοις νομοθετήσας. Ἐδιδάχθης, φησί, παρὰ τοῦ ἀρχαιοτέρου νόμου τὸ

Matth. 7, 13. 14.

46) M. τε. — 47) κακὸν fehlt in der Ausg. v. 1615., τὸ κακὸν in der Ausg. v. 1638.

durch tausend und aber tausend Mühen und Anstrengungen, durch Eifer und Arbeit kaum gewinnen läßt, das wissen wir aus vielen Stellen der göttlichen Schrift, und wir vernahmen daß der Weg zum Reich eng und schmal sei, breit dagegen und leicht und betreten der welcher durch Schlechtigkeit das Leben dem Verderben entgegenführt. Dennoch erklärt die Schrift das erhabene Leben nicht für ganz und gar unmöglich, wenn sie uns in den heiligen Büchern die Wunder so vieler Männer erzählt. Allein wenn in der Verheißung daß man Gott schauen werde ein zwiefacher Sinn liegt, einmal der daß man das über dem All thronende Wesen erkennen werde, dann zweitens daß man durch die Reinheit des Lebens mit ihm sich vermischen werde, so erklärt die Stimme der Heiligen wohl die erste Art des Schauens für unmöglich, die zweite hingegen verspricht der Herr der menschlichen Natur durch die gegenwärtige Belehrung, indem er sagt, Selig sind die reinen Herzens sind, denn sie werden Gott schauen! Auf welche Weise man aber rein werden könne, darüber belehrt dich beinahe das ganze Evangelium; denn wenn du die folgenden Aussprüche überliest, so wirst du das Reinigungsmittel des Herzens deutlich entdecken. Indem der Herr nämlich das Böse zwiefach theilt, in solches was durch die Werke, und solches was in den Gedanken sein Entstehen hat, züchtigt er ersteres, nämlich die Missethat welche sich in den Werken zu erkennen giebt durch das alte Gesetz, läßt aber nun das Gesetz auf die andere Art von Sünde sich beziehen, und straft nicht die böse That, sondern trifft Fürsorge daß überhaupt gar kein Böses geschehe. Denn das Böse aus dem Willen entfernen heißt das Leben von der großen Menge der bösen Thaten abziehen. Bei der vielfachen Verschiedenheit des Bösen aber stellt er jedem Verbotenen durch seine Vorschriften sein besonderes Heilverfahren gegenüber, und da die Krankheit des Zorns eine solche ist in welche man meist das ganze Leben hindurch mit Leichtigkeit verfällt, so beginnt er mit der Heilung dessen was die größere Macht und Verbreitung hat, und stellt das Gebot sich vom Zorn frei zu halten oben an. Du hast gehört, spricht er, von dem älteren Gesetz, Du sollst nicht tödten, lerne jetzt den

μὴ φονεῦσαι, νῦν μάθε τὸ χωρίσαι τῆς ψυχῆς τὴν κατὰ τῶν ὁμοφύλων ὀργήν· οὐ γὰρ καθόλου τὴν ὀργὴν ἀπεῖπεν (ἔςι γὰρ καὶ ἐπὶ καλῷ ποτε τῇ τοιαύτῃ τῆς ψυχῆς χρήσασθαι ὁρμῇ), ἀλλὰ τὸ πρὸς τὸν ἀδελφὸν ὀργιςικῶς ποτε σχεῖν ἐπὶ
C μηδενὶ ἀγαθῷ, τοῦτο ἡ παραγγελία κατέσβεσεν. Πᾶς γὰρ
Matth. 5, 22. ὁ [48] ὀργιζόμενος, φησὶ, τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ. Ἡ γὰρ προςθήκη τοῦ Εἰκῇ δείκνυσι τὸ εὔκαιρον πολλάκις τῆς τοῦ θυμοῦ χρήσεως, ὅταν ἐπὶ τῇ κολάσει τῆς ἁμαρτίας ζέσῃ τὸ πάθος. Τοῦτο τὸ εἶδος τῆς ὀργῆς τῷ Φινεὲς ὁ τῆς γραφῆς λόγος [49] προςεμαρτύρησεν, ὅτε τῇ σφαγῇ τῶν παρανομούντων τὴν κατὰ τοῦ λαοῦ κινηθεῖσαν [50] ἀγανάκτησιν τοῦ θεοῦ ἱλεώσατο. Πάλιν μεταβαίνει τῇ θεραπείᾳ πρὸς τὰ διὰ τῆς ἡδονῆς πλημμελούμενα, καὶ τῆς μοιχείας τὴν ἄτοπον ἐπιθυμίαν ἐξαιρεῖ τῆς καρδίας διὰ τοῦ παραγγέλματος. Οὕτω καὶ τὰ καθ' ἕκαςον πάντα
D εὑρήσεις ἐν τοῖς ἐφεξῆς διορθοῦντα τὸν κύριον, πρὸς ἕκαςον τὸν τῆς κακίας εἰδῶν ταῖς νομοθεσίαις ἱςάμενον. Κωλύει τὸ ἄρχειν ἀδίκων χειρῶν διὰ [51] τοῦ μηδὲ ἀμύνεσθαι συγχωρῆσαι. Ὑπερορίζει τὸ κατὰ πλεονεξίαν πάθος διὰ τοῦ [52] προςαποδύνεσθαι τῷ ἀφελομένῳ καὶ τὸ ὑπολειφθὲν προςτάξαι. Θεραπεύει τὴν δειλίαν καταφρονητικῶς πρὸς τὸν θάνατον ἔχειν [53] ἐγκελευσάμενος· καὶ ὅλως δι' ἑκάςου
p. 819. τῶν παραγγελμάτων εὑρήσεις ἀρότρου δίκην τὸν [54] ἀνα-
A τμητικὸν λόγον τὰς πονηρὰς τῶν ἁμαρτιῶν ῥίζας ἐκ τοῦ βάθους τῆς καρδίας ἡμῶν ἀνορύσσοντα, δι' ὧν ἔςι τῆς ἀκανθόδους καθαρθῆναι καρποφορίας. Οὐκοῦν δι' ἀμφοτέρων [55] εὐεργετεῖ τὴν φύσιν, οἷς τε τὸ ἀγαθὸν ἐπαγγέλλεται, οἷς τε τὴν πρὸς τὸ προκείμενον διδασκαλίαν ἡμῖν ὑποτίθεται. Εἰ δὲ ἐπίπονος τῶν ἀγαθῶν σπουδὴ σοι νομίζεται, σύγκρινον τῷ ἐναντίῳ βίῳ, καὶ εὑρήσεις ὅσο ἐπιπονοτέρα ἐςὶν ἡ κακία, εἰ μὴ πρὸς τὸ παρὸν,
B ἀλλὰ πρὸς τὸ μετὰ [56] τοῦτο βλέποις. Ὁ γὰρ [57] γεέννης

48) M. ὀργιζόμενος τῷ ἀδελφῷ ἐκ τοῦ εἰκῇ. — 49) M. προεμαρτύρησεν. — 50) M. ἀπειλὴν. — 51) M. τὸ. — 52) M. πρὸς τὸ ἀποδύνεσθαι. — 53) M. ἐκκελευόμενος. — 54) M. ἀροτριακὸν. — 55) M. εὐεργετεῖται. — 56) M. ταῦτα. — 57) M. γεέννας.

Zorn gegen deine Nächsten aus der Seele scheiden. Er verbietet den Zorn nicht ganz und gar (denn wir können zuweilen auch einen Gebrauch zum Guten von diesem Trieb der Seele machen), sondern je gegen seinen Bruder Zorn zu fassen zu keinem guten Zwecke, das verwirft sein Gebot. Denn er sagt, Jeder der mit seinem Bruder zürnt ohne Grund. Der Zusatz des „ohne Grund“ giebt Beweis für den oft angemessenen Gebrauch des Zorns, wenn diese Leidenschaft zur Züchtigung der Sünde auflodert. Diese Art des Zorns bezeugt die Schrift von Phinees, da wo er durch die Tödtung der Frevelnden den gegen sein Volk rege gewordenen göttlichen Unwillen besänftigte. Dann geht er in der Heilung wiederum über zu den Versündigungen durch die Lust, und reißt durch sein Verbot die frevelhafte Begierde auf Ehebruch aus dem Herzen. So wirst du den Herrn auch alles Uebrige im Folgenden ordnend finden, indem er jeder Art von Schlechtigkeit durch seine Gebote entgegentritt. Er verbietet die Hände zuerst zum Unrecht aufzuheben dadurch daß er nicht einmal gestattet daß man sich vertheidigt. Er verbannt die Leidenschaft des Geizes durch den Befehl dem welcher uns beraubt hat auch noch das Uebriggelassene hinzugeben und von uns zu thun. Er heilt die Furchtsamkeit, indem er gebietet den Tod zu verachten, und so wirst du überhaupt finden daß das scharf wie ein Pflug einschneidende Gotteswort durch jede seiner Vorschriften, durch welche wir von der Dornenfrucht gereinigt werden können, die bösen Wurzeln der Sünden aus der Tiefe unseres Herzens ausgräbt. Durch Beides wird er zum Wohlthäter an der Natur, sowohl dadurch daß er das Gute verheißt, als dadurch daß er uns über den Weg belehrt zu diesem vorgehaltenen Ziel zu gelangen. Erscheint dir der Eifer nach den Gütern mühevoll, so stelle einen Vergleich mit dem entgegengesetzten Lebenswandel an, und du wirst finden wie viel mehr Mühsal das Böse bereitet, wenn du deine Augen nicht auf die Gegenwart, sondern auf das was nachher kommt richtest. Denn wer von der Hölle gehört hat, der wird nicht mehr mit

ἀκούσας οὐκέτι πόνῳ τινὶ καὶ σπουδῇ τῶν κατὰ τὴν ἁμαρτίαν ἡδονῶν χωρισθήσεται, ἀλλ' ἀρκέσει μόνος ὁ φόβος τοῖς λογισμοῖς ἐγγενόμενος ἐξορίσαι τὰ πάθη. Μᾶλλον δὲ καλῶς ἔχει [58] τὸ τῷ σιωπωμένῳ συνυπακουόμενον κατανοήσαντας σφοδροτέραν ἐντεῦθεν τὴν ἐπιθυμίαν λαβεῖν. Εἰ γὰρ μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ἐλεεινοὶ πάντως οἱ κατεῤῥυπωμένοι τὸν νοῦν, ὅτι πρὸς τὸ τοῦ ἀντικειμένου πρόςωπον βλέπουσιν. Καὶ εἰ αὐτὸς ὁ θεῖος
C χαρακτὴρ τῷ κατ' ἀρετὴν ἐντυποῦται βίῳ, δῆλον ὅτι ἡ κατὰ κακίαν ζωὴ μορφὴ καὶ πρόςωπον τοῦ ἀντικειμένου γίνεται. Ἀλλὰ μὴν εἰ κατὰ διαφόρους ἐπινοίας ὁ θεὸς ἑκάςῳ τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων ἐπονομάζεται, φῶς, καὶ ζωὴ, καὶ ἀφθαρσία, καὶ ὅσα τοῦ τοιούτου γένους ἐςὶν, πάντως ἐκ τοῦ ἀντιςρόφου τὸ [59] ἑκάςῳ τούτων ἀντικείμενον [60] ὁ τῆς κακίας εὑρετὴς ὀνομασθήσεται, σκότος, καὶ θάνατος, καὶ φθορὰ, καὶ ὅσα τούτοις ὁμογενῆ καὶ ὁμόφυλα. Οὐκοῦν μαθόντες διὰ τίνων ἥ τε κακία καὶ ὁ κατ' ἀρετὴν μορφοῦται βίος, ἐξουσίας ἡμῖν πρὸς ἑκάτερον τούτων κατὰ τὸ αὐτεξούσιον τῆς προαιρέσεως προ-
D κειμένης, φύγωμεν τὴν τοῦ διαβόλου μορφὴν, ἀποθώμεθα τὸ πονηρὸν προςωπεῖον, ἀναλάβωμεν τὴν θείαν εἰκόνα, γενώμεθα καθαροὶ τῇ καρδίᾳ, ἵνα γενώμεθα μακάριοι, τῆς θείας εἰκόνος ἐν ἡμῖν μορφωθείσης, διὰ τῆς καθαρᾶς πολιτείας, ἐν Χριςῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα [61] καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

p. 820.

ΛΟΓΟΣ ζ'.

A *Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.*

Τῆς ἱερᾶς τοῦ μαρτυρίου σκηνοπηγίας, ἣν κατὰ τὸν
B ἐν τῷ ὄρει παρὰ τοῦ θεοῦ δειχθέντα τύπον ὁ νομοθέτης τοῖς Ἰσραηλίταις κατεσκευάσατο, πάντα μὲν ἅγιά τε καὶ ἱερὰ καθ' ἕκαςον ἦν ὅσα τῷ περισχοινίσματι κατὰ τὸ ἐντὸς περιείληπτο, τὸ δὲ ἐνδότατον ἐν τούτοις ἄδυτόν τε

58) τὸ fehlt in den Ausg. — 59) M. ἑκάςου. — 60) M. τῷ τῆς κακίας εὑρέτῃ. — 61) Die Worte καὶ τὸ κράτος fehlen in den Ausg.

Mühe und Anstrengung sich von den sündigen Lüsten trennen, sondern die in seinen Gedanken rege gewordene Furcht allein schon wird genügen die Leidenschaften zu verbannen. Noch besser ist es wenn man sein Augenmerk auf dasjenige richtet was man im Stillen mit heraushört, und dadurch ein noch heftigeres Verlangen gewinnt. Denn wenn diejenigen welche reinen Herzens sind selig sind, so sind jedenfalls diejenigen elend welche unsauberen Sinnes sind, denn sie blicken auf das Antlitz des Widersachers, und wenn sich in dem tugendhaften Leben das Bild Gottes ausprägt, so gewinnt das Leben im Bösen offenbar Gestalt und Antlitz des Widersachers. Wird nun aber Gott nach verschiedenen Beziehungen hin nach Allem was man mit dem Begriff von Gut verbindet benannt, Licht, und Leben, und Unvergänglichkeit, und was sonst der Art ist, so wird im Gegentheil das was jeder einzelnen dieser Eigenschaften entgegengesetzt ist zum Namen des Erfinders des Bösen dienen, Finsterniß, und Tod, und Verderben, und Alles was dem ähnlich und gleichartig ist. Haben wir also gelernt wodurch das böse und das tugendhafte Leben zur Gestaltung kommt, so wollen wir, da uns nach der Selbständigkeit unseres Willens der Weg zu dem einen wie zu dem anderen völlig freisteht, die Gestalt des Teufels fliehen, ablegen die Larve des Bösen, und das Ebenbild Gottes wieder annehmen, wollen reinen Herzens werden, damit wir, nachdem das Ebenbild Gottes in uns Gestaltung gewonnen haben wird, selig werden mögen durch den reinen Wandel in Christo Jesu, unserem Herrn, dem die Herrlichkeit und die Macht gehört bis in alle Ewigkeit. Amen.

Siebente Rede.

Selig sind die Friedfertigen, denn sie werden Gottes Kinder heißen.

Von dem heiligen Zelte des Zeugnisses, welches der Gesetzgeber an der von Gott bezeichneten Stelle auf dem Berg den Israeliten errichtete, war alles und jedes Stück heilig und geweiht was innerhalb der Umzäunung eingeschlossen war, der in der innersten Mitte davon liegende Theil aber war das nicht

καὶ ἄβατον ἦν, ἅγιον ἁγίων λεγόμενον, δεικνύσης, οἶμαι,
τῆς ἐπιτατικῆς ταύτης ὀνοματοποιΐας τὸ μὴ κατὰ τὸ ὁμό-
τιμον τοῖς ἄλλοις μετέχειν κἀκεῖνο τῆς ἁγιότητος, ἀλλ'
ὅσον διέφερεν τοῦ κοινοῦ καὶ βεβήλου τὸ ἀφιερωμένον
C καὶ ἅγιον, τοσοῦτον ἐκεῖνο τὸ ἄδυτον τῶν περὶ αὐτὸ ἁ-
γίων ἱερώτερόν τε καὶ καθαρώτερον εἶναι. Οἶμαι τοίνυν
ἐγὼ κατὰ τὸν αὐτὸν τρόπον τῶν ἐν τῷ ὄρει τούτῳ προ-
δειχθέντων ἡμῖν μακαρισμῶν πάντα μὲν ἱερά τε καὶ ἅγια
καθ' ἕκαςον εἶναι ὅσα προλαβὼν ὁ θεῖος κατεσκεύασε
λόγος, τὸ δὲ νῦν τῇ θεωρίᾳ προκείμενον ἄδυτον ὡς ἀλη-
θῶς καὶ ἅγιον ἁγίων εἶναι. Εἰ γὰρ τὸ ἰδεῖν τὸν θεὸν
ὑπερβολὴν ἐν τῷ ἀγαθῷ οὐκ ἔχει, τὸ υἱὸν γενέσθαι θεοῦ
ὑπὲρ πᾶσαν εὐκληρίαν πάντως ἐςίν. Ποία γὰρ ῥημάτων
ἐπίνοια, τίς ἐξ ὀνομάτων σημασία τῆς τηλικαύτης ἐπαγγε-
D λίας τὴν δωρεὰν περιλήψεται; Ὅπερ ἂν τις [1] ἐνταθεὶς
τῇ διανοίᾳ [2] νοήσει, ὑπὲρ ἐκεῖνο πάντως ἐςὶ τὸ δηλού-
μενον· ἐὰν ἀγαθὸν, ἢ τίμιον, ἢ ὑψηλὸν ὀνομάσῃς τὸ κατὰ
τὸν μακαρισμὸν τοῦτον δι' ἐπαγγελίας προκείμενον, πλέον
ἢ κατὰ τὴν ἔμφασιν τῶν ὀνομάτων ἐςὶ [3] τὸ δηλούμενον· ὑπὲρ
εὐχὴν ἡ ἐπιτυχία, ὑπὲρ ἐλπίδα τὸ δῶρον, ὑπὲρ τὴν φύ-
σιν ἡ χάρις. Τί ἐςιν ἄνθρωπος ὡς πρὸς τὴν θείαν φύ-
p. 821. A σιν κρινόμενος; τίνος εἴπω [3] τῶν ἁγίων φωνὴν, δι' ἧς ἐξευ-
Gen. 18, 27. τελίζεται τὸ ἀνθρώπινον; κατὰ τὸν Ἀβραὰμ γῆ καὶ
Esai. 40, 6. σποδὸς, κατὰ τὸν Ἡσαΐαν χόρτος, κατὰ τὸν Δαβὶδ οὐδὲ
Psalm. 103, 15. χόρτος, ἀλλ' ἐοικὸς χόρτῳ (ὁ μὲν γὰρ λέγει, Πᾶσα σὰρξ
Eccles. 1. 14. χόρτος, οὗτος δέ φησιν, Ἄνθρωπος ὡςεὶ χόρτος), κατὰ
Rom. 7, 24. τὸν Ἐκκλησιαςὴν ματαιότης, κατὰ τὸν Παῦλον ταλαι-
πωρία. Οἷς γὰρ ἑαυτὸν ὁ ἀπόςολος κατωνόμασεν, τού-
τοις ἅπαν κατοικτίζεται τὸ ἀνθρώπινον. Ταῦτα ὁ ἄν-
θρωπος. Ὁ δὲ θεὸς τί; Πῶς εἴπω τὸ τί ὃ μήτε ἰδεῖν
δυνατὸν, μήτε ἀκοῇ χωρῆσαι, μήτε καρδίᾳ λαβεῖν; Ποί-
B αις φωναῖς ἐξαγγείλω τὴν φύσιν; τί εὕρω τοῦ ἀγαθοῦ
τούτου ἐν τοῖς γινωσκομένοις ὑπόδειγμα; ποίας καινο-
τομήσω φωνὰς πρὸς τὴν τοῦ ἀφράςου τε καὶ ἀνεκφω-

1) ἐνταθεὶς fehlt in den Ausg. — 2) M. νοήσῃ. — 3) τὸ fehlt in der Ausg. v. 1615. — Im Folgenden haben beide Ausg. den Druckfehler τὸν ἁγίων φωνὴν für τῶν ἁγίων φ.

zu betretende Allerheiligste; welche steigernde Benennung meiner Meinung nach zeigt daß jener Theil nicht den gleichen Grad von Heiligkeit mit den übrigen besitze, sondern in welchem Maße das Geweihte und Heilige von dem Gewöhnlichen und nicht Geweihten sich unterscheide, in solchem Maße sei jenes Allerheiligste heiliger und reiner als die es umgebenden geweihten Theile. Auf dieselbe Weise glaube ich also auch daß von den auf diesem Berge uns vordem geoffenbarten Seligkeiten wohl alle die eine wie die andere geweiht und heilig seien, so viel ihrer die göttliche Rede im Früheren aufstellte, daß aber was jetzt der Betrachtung vorliegt in Wahrheit die geheimste, von Niemand zu betretende Tempelstelle, und das Allerheiligste sei. Denn wenn es kein höheres Gut giebt als Gott zu schauen, so übertrifft es alles Glück Gottes Kind zu werden. Denn welche Wörter können erdacht werden, und welche Bedeutung der Namen reicht aus, das Geschenk einer so großen Verheißung zu umfassen? Zu welchem Gedanken man sich auch im Geiste emporheben wird, immer ist das was du damit deutlich machen willst erhabener als das was du denkst; wenn du die Verheißung dieser Seligkeit eine gute, eine köstliche, oder eine erhabene nennen willst, so übersteigt das damit Gemeinte dennoch die Bedeutung deiner Worte; über das Gebet geht die Gewährung, über die Hoffnung das Geschenk, über die Natur die Gnade. Was ist der Mensch verglichen mit der göttlichen Natur? Welchen heiligen Ausspruch, wodurch das Menschengeschlecht gering gemacht wird, soll ich anführen? Nach Abraham ist er Erde und Asche, nach Esaias Heu, nach David nicht Gras, sondern ähnlich dem Gras (denn jener sagt, Alles Fleisch ist Heu, dieser hingegen, Der Mensch ist wie Gras), nach dem Prediger Eitelkeit, nach Paulus Elend; denn mit welchen Namen der Apostel sich selbst nennt, mit diesen bejammert er das gesammte Menschengeschlecht. Das ist also der Mensch. Was ist aber Gott? Wie soll ich dieses Was bezeichnen, welches man weder sehen kann, noch mit dem Ohr erfassen, noch durch sein Herz ergreifen? Mit welchen Worten soll ich seine Natur aussprechen? Was finde ich für ein Gleichniß und Beispiel dieses Gutes unter den Dingen welche man kennt? Was für neue Wörter soll ich schaffen zur Bezeich-

νήτου σημασίαν; Ἤκουσα τῆς θεοπνεύςου γραφῆς μεγάλα περὶ τῆς ὑπερκειμένης φύσεως διεξιούσης, ἀλλὰ τί ταῦτα πρὸς αὐτὴν τὴν φύσιν; ὅσον γὰρ ἐγὼ ἐχώρουν δέξασθαι, τοσοῦτον εἶπεν ὁ λόγος, οὐχ ὅσον ἐςὶ τὸ δηλούμενον. Ὡς γὰρ οἱ ἀναπνέοντες τὸν ἀέρα κατὰ τὴν ἐν ἑαυτῷ ἕκαςος εὐρυχωρίαν ὁ μὲν πλεῖον, ὁ δὲ ἔλαττον τοῦ
C ἀέρος ἀνέλαβεν, οὐ μὴν ὁ πολὺν ἐν ἑαυτῷ κατασχὼν τὸν ἀέρα ἅπαν τὸ ςοιχεῖον ἐντὸς ἑαυτοῦ πεποίηται, ἀλλὰ καὶ οὗτος ἔλαβεν ἐκ τοῦ ὅλου ὅσον ἠδύνατο, καὶ τὸ ὅλον [4]ὅλον ἐςὶν, οὕτως καὶ αἱ τῆς ἁγίας γραφῆς θεολογίαι, αἱ παρὰ τῶν τῷ ἁγίῳ πνεύματι θεοφορουμένων ἡμῖν ἐκτεθεῖσαι, πρὸς μὲν τὸ ἡμέτερον τῆς διανοίας μέτρον ὑψηλαὶ καὶ μεγάλαι καὶ ὑπὲρ πᾶν εἰσι μέγεθος, τοῦ δὲ ἀληθινοῦ μεγέθους οὐ προσαπτόμεναι. Τίς ἐμέτρησε, φησὶ, τὸν οὐρανὸν σπιθαμῇ, καὶ τῇ χειρὶ τὸ ὕδωρ, καὶ πᾶσαν
Esai. 40, 12. τὴν γῆν δρακί; Ὁρᾷς τὴν μεγαλοφυΐαν τοῦ τὴν ἄφραςον
D διαγράφοντος δύναμιν; ἀλλὰ τί ταῦτα πρὸς τὸ ὄντως ὄν; Μέρος γάρ [5]τι τῆς θείας ἐνεργείας ἐν ταῖς τοιαύταις μεγαληγορίαις ὁ προφητικὸς ἐνεδείξατο λόγος, αὐτὴν δὲ τὴν δύναμιν ἀφ᾽ ἧς ἡ ἐνέργεια, ἵνα μὴ εἴπω τὴν φύσιν, ἀφ᾽ ἧς ἡ δύναμις, οὔτε εἶπεν, οὔτε [6]ἐμέλησεν, ἀλλὰ καὶ καθάπτεται τῷ λόγῳ τῶν ςοχασμοῖς τισι τὸ θεῖον ἀπεικονιζόντων, ὡς ἐκ προσώπου τοῦ θεοῦ τὸ τοιοῦτον διεξιών·
Esai. 40, 18. Τίνι με ὡμοιώσατε; λέγει κύριος. Τὴν ἴσην δὲ συμβου-
Ibid. 46, 5. λὴν καὶ ὁ Ἐκκλησιαςὴς τοῖς ἰδίοις ἐγκατατίθεται λόγοις,
Eccl. 5, 2. Μὴ σπεύσῃς ἐξενεγκεῖν ῥῆμα [7]πρὸ προσώπου τοῦ θεοῦ,
p. 822. A ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω, δεικνὺς, οἶμαι, διὰ τῆς τῶν ςοιχείων πρὸς ἄλληλα διαςάσεως ὅσῳ τῷ μέτρῳ ἡ θεία φύσις τῶν λογισμῶν [8]τῶν γηΐνων ὑπερανέςηκεν. Τούτῳ μέν τοι τῷ τοιούτῳ

4) Das zweite ὅλον fehlt in den Ausg. u. Handschriften. — 5) M. τοι. — 6) M. ἐμέλλησεν. — 7) πρὸ fehlt in den Ausg. — 8) τῶν fehlt in den Ausg.

nung dessen was unsagbar und unaussprechlich ist? Wohl habe ich von der göttlichen Schrift große Dinge von der über dem All thronenden Natur erzählen hören, aber was will das im Vergleich zu dieser Natur selbst? So viel ich zu fassen im Stande war, so viel sprach das göttliche Wort aus, nicht aber so viel als das ist was erklärt werden soll. Denn gleichwie die welche die Luft athmen, ein Jeder entsprechend seiner größeren oder geringeren Aufnahmefähigkeit, der Eine mehr, der Andere weniger Luft einzieht, der aber welcher viel Luft in sich aufgenommen hat doch keineswegs damit das ganze Element in sich trägt, sondern einerseits dieser eben nur so viel aus dem Ganzen entnommen hat als er vermochte, andererseits das Ganze ein Ganzes ist, so sind auch die in der heiligen Schrift enthaltenen Belehrungen über Gott, welche uns von Männern die mit dem heiligen Geiste erfüllt waren mitgetheilt werden, gegenüber dem Maß unseres Verstandes erhaben, groß und über jegliche Größe hinaus, ohne gleichwohl die wahrhafte Größe zu erreichen. Wer hat, heißt es, den Himmel mit der Spanne gemessen, und mit der Hand das Wasser, und die ganze Erde mit der Fläche der Hand? Du fühlst die majestätische Erhabenheit dessen der die unnennbare Macht beschreiben will. Was ist das aber gegenüber dem was wirklich ist? Denn das Wort des Propheten macht in solchen erhabenen Aussprüchen nur einen Theil der Kraft Gottes deutlich, die Macht selbst aber von der diese Kraft ist, um nicht zu sagen die Natur von der die Macht ist, die sprach er damit weder aus, noch wollte er sie aussprechen, sondern er tadelt in seiner Rede sogar diejenigen welche durch Vermuthungen ein Bild von der Gottheit entwerfen, indem er wie aus der Person Gottes heraus also spricht: Mit wem habt ihr mich verglichen? spricht der Herr. Den gleichen Rath legt auch der Prediger in seine Worte, Sei nicht schnell zu bringen eine Rede vor das Antlitz Gottes; denn Gott ist im Himmel oben, und du bist auf der Erde hier unten! und will, wie ich glaube, durch die Entgegenstellung der beiden Weltkörper zeigen um wie viel die göttliche Natur die irdischen Gedanken überragt. Zu diesem so beschaffenen und so erha-

νήτου σημασίαν; Ἤκουσα τῆς θεοπνεύςου γραφῆς μεγάλα περὶ τῆς ὑπερκειμένης φύσεως διεξιούσης, ἀλλὰ τί ταῦτα πρὸς αὐτὴν τὴν φύσιν; ὅσον γὰρ ἐγὼ ἐχώρουν δέξασθαι, τοσοῦτον εἶπεν ὁ λόγος, οὐχ ὅσον ἐςὶ τὸ δηλούμενον. Ὡς γὰρ οἱ ἀναπνέοντες τὸν ἀέρα κατὰ τὴν ἐν ἑαυτῷ ἕκαςος εὐρυχωρίαν ὁ μὲν πλεῖον, ὁ δὲ ἔλαττον τοῦ
C ἀέρος ἀνέλαβεν, οὐ μὴν ὁ πολὺν ἐν ἑαυτῷ κατασχὼν τὸν ἀέρα ἅπαν τὸ ςοιχεῖον ἐντὸς ἑαυτοῦ πεποίηται, ἀλλὰ καὶ οὗτος ἔλαβεν ἐκ τοῦ ὅλου ὅσον ἠδύνατο, καὶ τὸ ὅλον [4] ὅλον ἐςὶν, οὕτως καὶ αἱ τῆς ἁγίας γραφῆς θεολογίαι, αἱ παρὰ τῶν τῷ ἁγίῳ πνεύματι θεοφορουμένων ἡμῖν ἐκτεθεῖσαι, πρὸς μὲν τὸ ἡμέτερον τῆς διανοίας μέτρον ὑψηλαὶ καὶ μεγάλαι καὶ ὑπὲρ πᾶν εἰσι μέγεθος, τοῦ δὲ ἀληθινοῦ μεγέθους οὐ προσαπτόμεναι. Τίς ἐμέτρησε, φησὶ, τὸν οὐρανὸν σπιθαμῇ, καὶ τῇ χειρὶ τὸ ὕδωρ, καὶ πᾶσαν
Esai. 40, 12. τὴν γῆν δρακί; Ὁρᾷς τὴν μεγαλοφυΐαν τοῦ τὴν ἄφραςον
D διαγράφοντος δύναμιν; ἀλλὰ τί ταῦτα πρὸς τὸ ὄντως ὄν; Μέρος γάρ [5] τι τῆς θείας ἐνεργείας ἐν ταῖς τοιαύταις μεγαληγορίαις ὁ προφητικὸς ἐνεδείξατο λόγος, αὐτὴν δὲ τὴν δύναμιν ἀφ᾽ ἧς ἡ ἐνέργεια, ἵνα μὴ εἴπω τὴν φύσιν, ἀφ᾽ ἧς ἡ δύναμις, οὔτε εἶπεν, οὔτε [6] ἐμέλησεν, ἀλλὰ καὶ καθάπτεται τῷ λόγῳ τῶν ςοχασμοῖς τισι τὸ θεῖον ἀπεικονιζόντων, ὡς ἐκ προσώπου τοῦ θεοῦ τὸ τοιοῦτον διεξιών·
Esai. 40, 18. Ibid. 46, 5. Τίνι με ὡμοιώσατε; λέγει κύριος. Τὴν ἴσην δὲ συμβουλὴν καὶ ὁ Ἐκκλησιαςὴς τοῖς ἰδίοις ἐγκατατίθεται λόγοις,
Eccl. 5, 2. Μὴ σπεύσῃς ἐξενεγκεῖν ῥῆμα [7] πρὸ προσώπου τοῦ θεοῦ,
p. 822. A ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω, δεικνὺς, οἶμαι, διὰ τῆς τῶν ςοιχείων πρὸς ἄλληλα διαςάσεως ὅσῳ τῷ μέτρῳ ἡ θεία φύσις τῶν λογισμῶν [8] τῶν γηΐνων ὑπερανέςηκεν. Τούτῳ μέν τοι τῷ τοιούτῳ

4) Das zweite ὅλον fehlt in den Ausg. u. Handschriften. — 5) M. τοι. — 6) M. ἐμέλλησεν. — 7) πρὸ fehlt in den Ausg. — 8) τῶν fehlt in den Ausg.

nung dessen was unsagbar und unaussprechlich ist? Wohl habe ich von der göttlichen Schrift große Dinge von der über dem All thronenden Natur erzählen hören, aber was will das im Vergleich zu dieser Natur selbst? So viel ich zu fassen im Stande war, so viel sprach das göttliche Wort aus, nicht aber so viel als das ist was erklärt werden soll. Denn gleichwie die welche die Luft athmen, ein Jeder entsprechend seiner größeren oder geringeren Aufnahmefähigkeit, der Eine mehr, der Andere weniger Luft einzieht, der aber welcher viel Luft in sich aufgenommen hat doch keineswegs damit das ganze Element in sich trägt, sondern einerseits dieser eben nur so viel aus dem Ganzen entnommen hat als er vermochte, andererseits das Ganze ein Ganzes ist, so sind auch die in der heiligen Schrift enthaltenen Belehrungen über Gott, welche uns von Männern die mit dem heiligen Geiste erfüllt waren mitgetheilt werden, gegenüber dem Maß unseres Verstandes erhaben, groß und über jegliche Größe hinaus, ohne gleichwohl die wahrhafte Größe zu erreichen. Wer hat, heißt es, den Himmel mit der Spanne gemessen, und mit der Hand das Wasser, und die ganze Erde mit der Fläche der Hand? Du fühlst die majestätische Erhabenheit dessen der die unnennbare Macht beschreiben will. Was ist das aber gegenüber dem was wirklich ist? Denn das Wort des Propheten macht in solchen erhabenen Aussprüchen nur einen Theil der Kraft Gottes deutlich, die Macht selbst aber von der diese Kraft ist, um nicht zu sagen die Natur von der die Macht ist, die sprach er damit weder aus, noch wollte er sie aussprechen, sondern er tadelt in seiner Rede sogar diejenigen welche durch Vermuthungen ein Bild von der Gottheit entwerfen, indem er wie aus der Person Gottes heraus also spricht: Mit wem habt ihr mich verglichen? spricht der Herr. Den gleichen Rath legt auch der Prediger in seine Worte, Sei nicht schnell zu bringen eine Rede vor das Antlitz Gottes; denn Gott ist im Himmel oben, und du bist auf der Erde hier unten! und will, wie ich glaube, durch die Entgegenstellung der beiden Weltkörper zeigen um wie viel die göttliche Natur die irdischen Gedanken überragt. Zu diesem so beschaffenen und so erha-

καὶ τοσούτῳ πράγματι, ὃ οὔτε ἰδεῖν ἔςιν, οὔτε ἀκοῦσαι,
οὔτε λογίσασθαι, ὁ ἀντ' οὐδενὸς ἐν τοῖς οὖσι λελογισμέ-
νος ἄνθρωπος, ἡ σποδὸς, ὁ χόρτος, ἡ ματαιότης, οἰκει-
οῦται εἰς υἱοῦ τάξιν παρὰ τοῦ θεοῦ τῶν ὅλων προςλαμ-
B βανόμενος. Τί τῆς χάριτος ταύτης ἔςιν εὑρεῖν εἰς εὐχα-
ριςίαν ἐπάξιον; ποίαν φωνὴν, ποίαν διάνοιαν, ποίαν ἐν-
θυμήσεως κίνησιν, δι' ἣν τὴν τῆς χάριτος ὑπερβολὴν ἀνυμ-
νήσει; Ἐκβαίνει τὴν ἑαυτοῦ φύσιν ὁ ἄνθρωπος, ἀθά-
νατος ἐκ θνητοῦ, καὶ ἐξ ἐπικήρου ἀκήρατος, καὶ ἐξ ἐφη-
μέρου αΐδιος, καὶ τὸ ὅλον θεὸς ἐξ ἀνθρώπου γινόμενος.
Ὁ γὰρ θεοῦ υἱὸς γενέσθαι ἀξιωθεὶς ἕξει πάντως ἐν ἑαυ-
τῷ τοῦ πατρὸς τὸ ἀξίωμα, καὶ πάντων γίνεται τῶν πα-
τρικῶν ἀγαθῶν κληρονόμος. Ὢ τῆς μεγαλοδωρέας τοῦ
C πλουσίου δεσπότου· ὢ τῆς πλατείας παλάμης· ὢ τῆς με-
γάλης χειρός· ἡλίκα τῶν ἀποῤῥήτων θησαυρῶν τὰ χαρίσ-
ματα· εἰς τὸ ὁμότιμον ἑαυτῷ σχεδὸν τὴν ἐξ ἁμαρτίας
ἀτιμωθεῖσαν φύσιν ὑπὸ φιλανθρωπίας ἄγει. Εἰ γὰρ ὅς-
περ αὐτός ἐςι κατὰ τὴν φύσιν, τούτου τὴν οἰκειότητα τοῖς
ἀνθρώποις χαρίζεται, τί ἄλλο ἢ οὐχὶ ὁμοτιμίαν τινὰ διὰ
τῆς συγγενείας κατεπαγγέλλεται; Τὸ μὲν οὖν ἔπαθλον
τηλικοῦτον, ὁ δὲ ἄθλος τίς; Ἐὰν εἰρηνοποιήσῃ, φησὶ,
τῇ τῆς υἱοθεσίας χάριτι ςεφανωθήσῃ. Ἐμοὶ δοκεῖ καὶ
τὸ ἔργον [9] αὐτὸ ἐφ' ᾧ τὸν τοσοῦτον μισθὸν ἐπαγγέλλεται
D ἕτερον δῶρον εἶναι. Τί γὰρ εἰς ἀπόλαυσιν τῶν κατὰ τὸν
βίον σπουδαζομένων τῆς εἰρηνικῆς ἐςι τῆς ἀνθρώποις γλυ-
κύτερον ζωῆς; Ὅ τιπερ ἂν εἴπῃς τῶν ἡδέων τῶν κατὰ
τὴν ζωὴν, εἰρήνης χρῄζει [10] πρὸς τὸ εἶναι ἡδύ. Εἰ γὰρ
πάντα εἴη ὅσα κατὰ τὸν βίον τετίμηται, πλοῦτος, εὐεξία,
γαμετὴ, παῖδες, οἰκία, [11] γένος, ὑπηρέται, φίλοι, γῆ, θά-
λασσα, τοῖς οἰκείοις ἑκάτερα πλουτίζουσα, παράδεισοι,
θῆραι, λουτρὰ, παλαίςραι, γυμνάσια, τρυφητήριά τε καὶ
p. 823. A ἡβητήρια, καὶ πάντα ὅσα ἔςι τῆς ἡδονῆς ἐφευρήματα,

9) αὐτὸ fehlt in den Ausg. — Für ἐφ' ᾧ hat die erste Pariser Ausg. mit einigen Handschriften ἐφ' ὅ. — 10) πρὸς fehlt in den Ausg. — 11) M. γονεῖς.

denen Wesen also, welches man weder sehen, noch hören, noch denken kann, wird der Mensch, welcher unter den Dingen für Nichts gerechnet wird, diese Asche, dies Gras, diese Eitelkeit, in nächstes Verhältniß gebracht und von dem Gott aller Dinge an Sohnes Stelle angenommen. Was kann man wohl auffinden was einen würdigen Dank für solche Gnade abgäbe? Welches Wort, welchen Gedanken, welche Regung des Herzens, wodurch er die Ueberschwenglichkeit der Gnade preisen und verherrlichen könnte? Es schreitet der Mensch aus seiner Natur heraus, und wird aus einem Sterblichen ein Unsterblicher, aus einem Vergänglichen ein Unvergänglicher, aus einem Zeitlichen ein Ewiger, und überhaupt aus einem Menschen wird er Gott. Denn wer gewürdigt worden ist Gottes Kind zu werden, der wird jedenfalls die Würde des Vaters auf sich selbst übertragen erhalten, und wird Erbe aller väterlichen Güter. O der herrlichen Gabe des reichen Herrn! O der weiten und großen Hand! Wie groß sind die Gnadenspenden seiner geheimen Schätze! Er führt in seiner Güte die von der Sünde geschändete Natur beinahe zu gleicher Ehre mit sich selbst. Denn wenn er den Menschen die Verwandtschaft mit dem was er selbst seiner Natur nach ist spendet, was verheißt er denn Anderes als einen auf der Verwandtschaft begründeten Stand gleicher Ehre? Der Kampfspreis ist also ein so herrlicher: welcher Art ist nun der Kampf? Wenn du friedfertig bist, spricht er, so sollst du die Gnadenkrone der Kindschaft erhalten. Mir scheint sogar das Werk um welches er so hohen Lohn verspricht selbst ein neues Geschenk zu sein. Denn was ist süßer für die Menschen zum Genuß der Dinge nach welchen man im Leben strebt als das friedliche Leben? Was du auch immer von angenehmen Dingen im Leben nennen magst, um angenehm zu sein bedürfen sie des Friedens. Denn wäre auch alles das vorhanden was im Leben Werth und Geltung hat, Reichthum, gute Gesundheit, ein Weib, Kinder, ein Haus, Familie, Diener, Freunde, Erde und Meer, beide mit den Spenden ihres Reichthums, Gärten, Jagden, Bäder, Ringplätze, Uebungsschulen, Orte der Schwelgerei und Jugendlust, sammt allen Erfindungen

προςκείσθω τούτοις τὰ ἡδέα θεάματα καὶ τὰ μουσικὰ ἀκροάματα, καὶ εἴ τι ἄλλο δι᾽ οὗ τοῖς τρυφῶσιν ὁ βίος ἡδύνεται, — εἰ ταῦτα μὲν εἴη πάντα, τὸ δὲ τῆς εἰρήνης ἀγαθὸν μὴ παρῇ, τί κέρδος ἐκείνων, πολέμου τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν ἐπικόπτοντος; Οὐκοῦν ἡ εἰρήνη αὕτη τε ἡδεῖά ἐςι τοῖς μετέχουσι καὶ πάντα καταγλυκαίνει τὰ ἐν τῷ βίῳ τιμώμενα. Ἀλλὰ κἂν τινα συμφορὰν κατὰ τὸ ἀνθρώπινον ἐν εἰρήνῃ πάθωμεν, ἀγαθῷ τὸ κακὸν συγ-
B κεκραμμένον ῥᾷον τοῖς πεπονθόσι γίνεται. Πολέμου δὲ τὴν ζωὴν συνέχοντος, ἀναισθητοῦμεν τρόπον τινὰ πρὸς τὰς τοιαύτας τῶν λυπηρῶν ἀφορμάς· ὑπερβάλλει γὰρ ταῖς ἀλγηδόσι τὰ καθ᾽ ἕκαςον ἡ κοινὴ συμφορά. Καὶ ὥςπερ οἱ ἰατροὶ περὶ τῶν σωματικῶν λέγουσι παθημάτων, εἰ δύο [12] κατὰ ταὐτὸν ἐν ἑνὶ σώματι πόνοι συμπέσοιεν, τοῦ ὑπερβάλλοντος μόνου τὴν αἴσθησιν γίνεσθαι, λανθάνειν δέ πως τοῦ ἐλάττονος κακοῦ τὴν ἀλγηδόνα, τῇ [13] ὑπερβολῇ τοῦ ἐπικρατοῦντος ἐκλεπτομένην, οὕτω τὰ τοῦ πο-
C λέμου κακὰ τοῖς ἀλγεινοῖς ὑπερβάλλοντα πρὸς τὰς ἰδίας συμφορὰς ἀναισθήτως ἔχειν τοὺς καθ᾽ ἕκαςον παρασκευάζει. Εἰ δὲ πρὸς τὴν τῶν κακῶν τῶν ἰδίων αἴσθησιν ἀποναρκᾷ πως ἡ ψυχὴ, τοῖς κοινοῖς τοῦ πολέμου κακοῖς ἐκπεπληγμένη, πῶς τῶν ἡδέων αἴσθησιν [14] ἕξει; Ὅπλα, καὶ ἵπποι, καὶ τεθηγμένος σίδηρος, καὶ σάλπιγξ ἤχουσα, καὶ φάλαγγες τοῖς δόρασι φρισσοῦσαι, καὶ ἀσπίδες συνερειδόμεναι, καὶ κράνη τοῖς λόφοις φοβερῶς ἐπινεύοντα, συμπτώσεις, ὠθισμοὶ, συμπλοκαὶ, μάχαι, ἀνδροκτασίαι, φυγαὶ, διώξεις, οἰμωγαὶ, ἀλαλαγμοὶ, γῆ τοῖς αἵμασιν ὑγραι-
D νομένη, νεκροὶ πατούμενοι, τραυματίαι καταλειπόμενοι, καὶ πάντα ὅσα τοῖς πικροῖς ἐςι τοῦ πολέμου συμπτώμασιν [15] θεάματα καὶ διηγήματα, — ἆρα ὁ ἐν τούτοις ὢν [16] σχολάσει ποτὲ πρὸς τὴν τοῦ εὐφραίνοντος μνήμην τὸν λογισμὸν [17] ἐπικλῖναι; εἰ δέ που καὶ ὑποδράμοι τὴν ψυ-

---

12) M. κατ᾽ αὐτόν. — 13) M. ἐπιβολῇ. — 14) M. ἕξει; ποῖ ὅπλα. — 15) θεάματα καὶ διηγήματα fehlt in den Ausg. — 16) M. σχέσει. — 17) M. ὑποκλῖναι.

des Vergnügens, dazu sollen kommen die genußreichen Schauspiele und die musikalischen Unterhaltungen, und alles Andere wodurch denen die herrlich und in Freuden leben das Leben versüßt wird: wenn dieses Alles vorhanden wäre, aber das Gut des Friedens fehlte, wenn Krieg den Genuß der Güter beeinträchtigte was hätte man für Gewinn von jenen Dingen? Dieser Frieden also ist eben so lieblich für die welche ihn genießen als er auch Alles worauf man in dem Leben Werth legt versüßt. Ja, selbst wenn uns ein Mißgeschick in dem Frieden trifft, wie es das Loos des Menschen mit sich bringt, so ist das Uebel mit Gutem gemischt, und wird dadurch leichter für die welchen es zugestoßen ist; wenn dagegen Krieg das Leben bedrängt, so sind wir gewissermaßen unempfindlich für solche Veranlassungen zu Traurigkeit; denn das gemeinsame Mißgeschick übertrifft an Schmerz das des Einzelnen. Und wie die Aerzte über körperliche Leiden sich dahin aussprechen daß, wenn zwei Krankheiten auf einmal in einem Körper auftreten, man nur von der stärkeren Empfindung habe, der Schmerz des minderen Uebels hingegen in das Unmerkbare zurücktrete, und durch das Uebermaß des stärkeren verdeckt werde, so bewirken auch die Uebel des Krieges, welche an Schmerzlichem das Mißgeschick des Einzelnen überwiegen, daß man gegen dieses unempfindlich bleibt. Wenn aber die Seele gegen die eigenen Uebel in ihrem Gefühl gewissermaßen stumpf ist, weil sie durch die gemeinsamen Uebel des Krieges in Schrecken gesetzt ist, wie soll sie dann eine Empfindung des Angenehmen gewinnen? Waffen, und Pferde, und gewetztes Eisen, und Trompetengetön, und von Lanzen starrende Phalangen, und Schilder an Schilder gelehnt, und schreckenvoll mit den Büschen nickende Helme, Zusammenstoß, Gedränge, Handgemenge, Schlachten, Metzeleien, Fluchten, Verfolgungen, Wehklagen, Siegesgeschrei, von den Blutbächen genetzte Erde, zertretene Leichen, verlassene Verwundete, und alle Schauspiele und Schilderungen welche den jammervollen Ereignissen des Krieges zugehören, — wird also der welcher sich inmitten dieser befindet wohl je Muße haben seine Gedanken auf eine fröhliche und heitere Erinnerung hinzulenken? Gesetzt aber es wandelte die Seele eine Erinnerung an-

ουσίᾳ. Ὡς γὰρ ὑγιείας ἐπιλαβούσης ἡ νόσος ἐξαφανίζεται, καὶ φωτὸς φανέντος οὐχ ὑπολείπεται σκότος, οὕτως καὶ τῆς εἰρήνης ἐπιφανείσης λύεται πάντα τὰ ἐκ τοῦ
D ἐναντίου συνιςάμενα πάθη. Τοῦτο δὲ ὅσον ἐςὶν ἀγαθὸν οὐδὲν οἶμαι χρῆναι διεξιέναι τῷ λόγῳ αὐτός· σὺ κατὰ σεαυτὸν [22] ἐπιλόγισαι οἷος ὁ βίος τῶν ἀλλήλους δι' ὑποψίας καὶ μίσους ἐχόντων. Ὧν δυςαντητοὶ μὲν αἱ συντυχίαι, βδελυκτὰ δὲ αὐτοῖς τὰ ἀλλήλων πάντα, ἄφθογγα δὲ τὰ ςόματα καὶ ἀπεςραμμένα τὰ βλέμματα, καὶ ἀκοὴ πεφραγμένη τῇ τοῦ μισοῦντος καὶ μισουμένου φωνῇ. Πᾶν δὲ φίλον ἑκατέρῳ αὐτῶν ὃ τῷ ἑτέρῳ μὴ φίλον, καὶ ἐκ τοῦ ἐναντίου πᾶν ἐχθρὸν καὶ πολέμιον ὃ τῷ δυςμενεῖ καταθύμιον. Ὥςπερ τοίνυν τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοΐας τὸν παρακείμενον ἀέρα πλήρη ποιεῖ, οὕτω σοι βούλεται κατὰ περιουσίαν πλεονάζειν τῆς εἰρήνης τὴν
p. 825. χάριν, ὥςτε τὸν σὸν βίον θεραπείαν εἶναι τῆς ἀλλοτρίας
A νόσου. Ὅσον δὲ τὸ τοιοῦτόν ἐςιν ἀγαθὸν ἀκριβέςερον ἂν ἐπιγνοίης, ἑκάςου τῶν ἐκ τῆς δυςμενοῦς προαιρέσεως ἐγγινομένων τῇ ψυχῇ παθημάτων τὰς συμφορὰς λογιζόμενος. Τίς ἂν διεξέλθοι πρὸς ἀξίαν τῆς ὀργῆς τὰ πάθη; τίς ὑπογράψει λόγος τὴν ἀσχημοσύνην τῆς τοιαύτης νόσου; Ὁρᾷς τὰ τῶν δαιμονούντων πάθη τοῖς ὑπὸ θυμοῦ κεκρατημένοις ἐπιφαινόμενα. Λόγισαι [23] παρ' ἄλληλα τοῦ τε δαίμονος καὶ τοῦ θυμοῦ τὰ συμπτώματα, καὶ
B τίς ἐν τούτοις ἡ διαφορά. Ὕφαιμος καὶ διάςροφος τῶν δαιμονούντων ὀφθαλμὸς, παράφορος ἡ γλῶσσα, τραχὺ τὸ φθέγμα, ὀξεία καὶ ὑλακώδης ἡ φωνὴ, κοινὰ ταῦτα καὶ τοῦ θυμοῦ καὶ τοῦ δαίμονος. Κλόνος κεφαλῆς, χειρῶν ἔμπληκτοι κινήσεις, βρασμὸς ὅλου τοῦ σώματος, ἄςατοι πόδες, μία τῶν δύο νοσημάτων ἡ διὰ τῶν τοιούτων ὑπογραφή. Τοσοῦτον μόνον παρήλλακται τοῦ ἑτέρου τὸ ἕτερον ὅσον τὸ μὲν ἑκούσιον εἶναι κακὸν, τὸ δὲ ἀβουλήτως προςπίπτειν οἷς ἂν ἐγγίνηται. Τὸ δὲ κατ' ἰδίαν ὁρμὴν ἐν συμφορᾷ γενέ-
C σθαι τοῦ παρὰ γνώμην παθεῖν ὅσον ἐλεεινότερον; Καὶ

---

22) M. ἐπιλελόγισαι. — 23) M. παράλληλα.

genehmster Art an, wird da nicht zur Zeit der Gefahren der den Geist beschleichende Gedanke an das was ihm am theuersten ist zu einem Zuwachs für das Unglück? Wer dir also Belohnung gewährt, wenn du dich von den Uebeln des Krieges fern hältst, der hat dich mit zwei Geschenken begnadigt. Ein Geschenk nämlich ist der Kampfpreis, das andere ist der Kampf selbst. Wenn daher auch die Hoffnung Nichts dafür zu erwarten hätte, so würde doch der Frieden an und für sich selbst für die Einsichtsvolleren höher als alles andere Streben anzuschlagen sein. Hierin also läßt sich die Ueberschwenglichkeit der Güte erkennen, daß sie ihre guten Gegengaben gnadenvoll nicht an Schweiß und Mühen, sondern gewissermaßen an Wohlergehen und behaglichen Lebensgenuß gebunden hat, sofern ja die Hauptsache von dem was Freude bringt der Frieden ist; und diesen will sie bei einem Jeden in dem Grade vorhanden sehen, daß er nicht bloß ihn selbst für sich allein besitzt, sondern ihn auch denen welche ihn nicht haben reichlich auszutheilen vermag. Denn, sagt er, Selig sind die Friedfertigen! Ein Friedfertiger aber ist wer einem Anderen Frieden giebt; schwerlich aber würde man einem Anderen ihn geben, hätte man ihn selbst nicht. Er will demnach daß du zuerst selbst erfüllt seiest von den Segnungen des Friedens, und dann so denen die an diesem Gute darben davon darreichest. Mag aber unsere Untersuchung sich nicht allzusehr in tiefere Betrachtung versenken; denn für uns reicht zum Erwerb des Gutes auch die zunächst liegende Auffassung hin. Selig sind die Friedfertigen! Das Gotteswort spendet uns Heilung von vielen Krankheiten in wenigen Silben, indem es in diesem umfassenden und allgemeineren Ausspruch alles Einzelne zusammen begreift. Betrachten wir zunächst was der Frieden ist. Was ist er Anderes als ein Verhalten der Liebe zu seinem Nächsten? Was ist nun das was der Liebe entgegensteht? Das ist Haß, Zorn, Erbitterung, Neid, Rachsucht, Heuchelei, kriegerischer Zusammenstoß. Du siehst wie vieler und welcher Krankheiten heilkräftiges Gegenmittel dieses eine Wort ist. Denn der Frieden tritt jedem Einzelnen von dem was ich aufgezählt habe in gleicher Weise feindlich entgegen, und bewirkt durch sein Kommen Vernichtung des Bösen. Gleichwie

ουσίᾳ. Ὡς γὰρ ὑγιείας ἐπιλαβούσης ἡ νόσος ἐξαφανίζεται, καὶ φωτὸς φανέντος οὐχ ὑπολείπεται σκότος, οὕτως καὶ τῆς εἰρήνης ἐπιφανείσης λύεται πάντα τὰ ἐκ τοῦ
D ἐναντίου συνιςάμενα πάθη. Τοῦτο δὲ ὅσον ἐςὶν ἀγαθὸν οὐδὲν οἶμαι χρῆναι διεξιέναι τῷ λόγῳ αὐτός· σὺ κατὰ σεαυτὸν [22] ἐπιλόγισαι οἷος ὁ βίος τῶν ἀλλήλους δι' ὑποψίας καὶ μίσους ἐχόντων. Ὧν δυςαντητοὶ μὲν αἱ συντυχίαι, βδελυκτὰ δὲ αὐτοῖς τὰ ἀλλήλων πάντα, ἄφθογγα δὲ τὰ ςόματα καὶ ἀπεςραμμένα τὰ βλέμματα, καὶ ἀκοὴ πεφραγμένη τῇ τοῦ μισοῦντος καὶ μισουμένου φωνῇ. Πᾶν δὲ φίλον ἑκατέρῳ αὐτῶν ὃ τῷ ἑτέρῳ μὴ φίλον, καὶ ἐκ τοῦ ἐναντίου πᾶν ἐχθρὸν καὶ πολέμιον ὃ τῷ δυςμενεῖ καταθύμιον. Ὥςπερ τοίνυν τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοΐας τὸν παρακείμενον ἀέρα πλήρη ποιεῖ, οὕτω σοι βούλεται κατὰ περιουσίαν πλεονάζειν τῆς εἰρήνης τὴν
p. 825. χάριν, ὥςτε τὸν σὸν βίον θεραπείαν εἶναι τῆς ἀλλοτρίας
A νόσου. Ὅσον δὲ τὸ τοιοῦτόν ἐςιν ἀγαθὸν ἀκριβέςερον ἂν ἐπιγνοίης, ἑκάςου τῶν ἐκ τῆς δυςμενοῦς προαιρέσεως ἐγγινομένων τῇ ψυχῇ παθημάτων τὰς συμφορὰς λογιζόμενος. Τίς ἂν διεξέλθοι πρὸς ἀξίαν τῆς ὀργῆς τὰ πάθη; τίς ὑπογράψει λόγος τὴν ἀσχημοσύνην τῆς τοιαύτης νόσου; Ὁρᾷς τὰ τῶν δαιμονούντων πάθη τοῖς ὑπὸ θυμοῦ κεκρατημένοις ἐπιφαινόμενα. Λόγισαι [23] παρ' ἄλληλα τοῦ τε δαίμονος καὶ τοῦ θυμοῦ τὰ συμπτώματα, καὶ
B τίς ἐν τούτοις ἡ διαφορά. Ὕφαιμος καὶ διάςροφος τῶν δαιμονούντων ὀφθαλμὸς, παράφορος ἡ γλῶσσα, τραχὺ τὸ φθέγμα, ὀξεία καὶ ὑλακώδης ἡ φωνὴ, κοινὰ ταῦτα καὶ τοῦ θυμοῦ καὶ τοῦ δαίμονος. Κλόνος κεφαλῆς, χειρῶν ἔμπληκτοι κινήσεις, βρασμὸς ὅλου τοῦ σώματος, ἄςατοι πόδες, μία τῶν δύο νοσημάτων ἡ διὰ τῶν τοιούτων ὑπογραφή. Τοσοῦτον μόνον παρήλλακται τοῦ ἑτέρου τὸ ἕτερον ὅσον τὸ μὲν ἑκούσιον εἶναι κακὸν, τὸ δὲ ἀβουλήτως προςπίπτειν οἷς ἂν ἐγγίνηται. Τὸ δὲ κατ' ἰδίαν ὁρμὴν ἐν συμφορᾷ γενέ-
C σθαι τοῦ παρὰ γνώμην παθεῖν ὅσον ἐλεεινότερον; Καὶ

22) M. ἐπιλελόγισαι. — 23) M. παράλληλα.

